DE GRUYTER

Anders Bjørn Drachmann (Ed.)

SCHOLIA VETERA IN PINDARI CARMINA

VOLUMEN III: SCHOLIA IN NEMEONICAS ET ISTHMIONICAS. EPIMETRUM. INDICES

BIBLIOTHECA SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA

DE G

BIBLIOTHECA

SCRIPTORVM GRAECORVM ET ROMANORVM

TEVBNERIANA

SCHOLIA VETERA IN PINDARI CARMINA

RECENSVIT

A. B. DRACHMANN

VOL. III
SCHOLIA IN NEMEONICAS ET ISTHMIONICAS
EPIMETRVM · INDICES

EDITIO STEREOTYPA
EDITIONIS PRIMAE (MCMXXVII)



STVTGARDIA ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVII

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Scholia vetera in Pindari carmina /
rec. A. B. Drachmann. –
[Nachdr.]. – Stutgardiae ; Lipsiae : Teubner.
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
NE: Drachmann, Anders B. [Hrsg.]

[Nachdr.] Vol. 3. Scholia in Nemeonicas et Isthmionicas; Epimetrum; Indices. –
Ed. stereotypa ed. 1 (1927). – 1997
ISBN 3-519-01599-4

Printed in Germany
Druck: druckhaus köthen GmbH
Bindung: Verlagsbuchbinderei D. Mikolai, Berlin

UDALRICO DE WILAMOWITZ-MOELLENDORFF

GRATO PIO ANIMO

EDITOR

PRAEFATIO

Ad scholia vetera Nemeonicarum et Isthmionicarum
edenda praesto sunt codices hi:

Vat. 1312, de quo cfr. praef. vol. I p. VI. Desinit codicis B
folium paenultimum (281) schol. Isthm. VIII 26 (p. 271, 18
huius ed.); incipit folium ultimum (282) sch. J. VIII 83
a voce τῷ Πηλεῖ (p. 274, 25), desinit sch. 95 in voce ἐπ'
(p. 276, 8). Totum autem folium ita male habitum est ut
plura fere legi nequeant quam legi possunt; in extrema
quidem pagina, quae a sch. 95 incipit, vix paucae syllabae
dispiciuntur.

Laur. 32, 52, de quo cfr. praef. vol. I p. VII. Nemea et D
Isthmia non eadem manu scripta sunt qua Olympia et
Pythia, sed aequali. Tertia manus ipsa quoque eiusdem
aetatis scripsit sch. N. IV 17 (p. 66) —43 d (p. 71), et N.
X 64 (p. 174, 11)—69 πρόγονοι (p. 175, 9); fortasse etiam
N. VII 116 (p. 133, 9) usque ad verba παρέοικεν ὡς
(p. 133, 17).

Par. 2403, de quo cfr. praef. vol. I p. X. Continet hypo- P
thesim Nemeonicarum et scholia N. I—IV 107 αὐτοῖς
(p. 83, 2), tum VI 59 τὸ τῆς Ἀρτέμιδος (p. 109, 4)—73
(p. 111, 4); sequuntur Pindari apophthegmata (cf. huius
ed. I p. 3 —4). Haec sicut scholia N. VI alia manu scripta
sunt. Signavi P (V Mommsen et Abel).

Vat. 121 saec. XIII. Continet hyp. Nem. et sch. N. I T
1—4 ἀκούουσιν ἀντὶ το (p. 10, 13), deinde sch. N. I 85—
fin. N. II.

Vindob. 130 saec. XIV. Continet hyp. Nem. et sch. N. U
I—II

Monac. 492 saec. XVI. Continet hyp. Isthm. et sch. J.
I et II 1—9, tum hyp. Nem. et sch. N. I 1—3. Est apo-
graphum codicis B.

Monac. 486 saec. XVI. Continet hyp. Nem. et sch. N. I 1—58. Ex P descriptus est, sed interpolatus.

Angel. C. 1, 1 saec. XVI. Continet hyp. Nem. ex T descriptam (non, ut dixi vol. II p. IX, N. I—II).

Hos codices omnes contulit Abel et lectiones eorum (praeter Monac. 486) in apparatu editionis suae diligentissime adnotavit. Habui praeterea collationes codicum BDU a Mommseno factas et eius partis codicum PTU quae Nemeonicas continet imagines luce expressas. Ipse apparatu Abelii cum collationibus Mommseni comparato omnes locos quibus de scriptura codicum dubitari posse visum erat inspexi. Scholia codicum PTU ad imagines denuo contuli; item, sed ad ipse exemplaria, partes scholiorum BD. Codicem Angel. ex T descriptum esse postquam perspexi, nullam eius rationem habui. Codices Monacenses ipse non vidi, sed natura earum ex apparatu Abelii tam clare apparet, ut eos quoque abicere non dubitaverim; nisi quod Monacensis 492 paucis locis ad codicis B lectionem stabiliendam utilis esse potest.

De ceterorum codicum affinitate et auctoritate omnino recte iudicavit Abel praef. p. 3—4. Itaque, ut rem paucis comprehendam, codicis B eadem natura est in his scholiis quae in Olympionicis et Pythionicis, ut in singulis verbis tradendis ceteris praestet, ordinem scholiorum et quae cum eo coniuncta sunt saepe licenter mutaverit. Eandem prorsus quam B recensionem praebet cod. D inde ab sch. N. I 34; ante eum locum cum PTU facit. PTU recensionem praebent ipsam quoque parum integram, si cum ea compares qualem in Ol. et Pyth. codice E atque etiam codicibus DGQ traditam habemus, sed quae tamen ad antiquiorem scholiorum formam propius quam recensio B accedere videatur. TU adeo similes sunt ut ex uno atque eodem exemplari descripti esse videantur; P suam habet naturam et horum trium sine dubio optimus est. Denique Triclinius in N. I—II codice usus est TU simillimo, in ceteris si non ipso D, codice eius simillimo. Edidit autem scholia Tricliniana Tycho Mommsen libello qui inscribitur Scholia re-

centiora Thomano-Tricliniana in Pindari Nemea et Isthmia (Lipsiae 1865).

Hac in ratione codicum via in textu constituendo sequenda admodum simplex est, nec Abelium fugit (cfr. praef. eius p. 4). Nam ubi plus quam una recensione utimur, ea recensio cuius princeps est P in scholiis ordinandis, lemmatis describendis, ceteris eiusmodi rebus sequenda est; in singulis autem verbis constituendis eligendum quid cuique loco aptius esse videatur, sed ut codicis B auctoritatem non sine gravi causa deseras. Ceterum in maiore huius voluminis parte sola recensio BD superest, neque aliam scholiorum formam quam quae his duobus codicibus tradita est restituere licet, quamvis certo sciamus eam ab antiquiore huius commentarii ratione multum degeneravisse.

In editione mea elaboranda iisdem rationibus atque per duo prima volumina usus sum. Ceterum in codicum lectionibus afferendis, quia tam paucis utimur, aliquanto uberior fui; velut singulas lectiones BD et TU fere adscripsi, in re minimi momenti eligendi incommodum vitans; codicis autem P lectionem nullam sciens praetermisi. Itaque hoc quidem in volumine praeter quisquilias in prosodia et orthographia positas tota fere discrepantia codicum adnotata exstat. Tamen nominis *Ἡρακλῆς* genetivum *Ἡρακλέους* ubique tacite scripsi, cum codices inter *Ἡρακλέους* et *Ἡρακλέος* vacillent, plerumque autem compendio quod utrumvis significare potest utantur. Item *Πελοπόννησος* sim. ubique scripsi, de varia lectione *Πελοπόνησος* fere tacui. — Cum novae editioni imprimendae, ut par erat, textum Abelii subicerem, fieri vix potuit quin et interpunctioni et prosodiae eius plus concederem quam si textum ipse de integro constituissem.

Quae ante annum 1884, quo anno editio Abelii in lucem prodiit, ad haec scholia emendanda contulerunt viri docti, quamquam Abelius diligentissime conquisivit, tamen ipse quoque ut potui recognovi. Inter ea quae post Abelium accesserunt maximi momenti sunt Mauricii Schmidtii coniecturae quas in recensionibus editionis Abelianae (BphW

1884 n. 15 et 41) publicavit[1]; porro quae Wilamowitz per librum qui inscribitur Pindaros sparsit. Praeter haec paucissima inveni. Neque mihi ipsi ut multa vitia corrigerem contigit; quod qui horum scholiorum naturam diligenter cognoverit non mirabitur. Dixi de hac re iam in praef. vol. II p. XIII, atque ad exemplum quod ibi attuli ex hypothesi Nemeonicarum petitum (p. 5, 8—20 huius ed.) qui his scholiis usuri sunt attendere velim; quod hoc in volumine etiam plus habet momenti, propterea quod in maiore eius parte sola recensione B utimur. Itaque, ut alio exemplo utar, sch. N. III 122f. Schroederi coniecturam in textum non recepi. Cum enim verborum Pindari *ἐν δὲ πείρᾳ τέλος διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται* haec tradita sit paraphrasis: *ὅστις ἂν ἔξοχος γένηται, τούτου τὸ τέλος ἐν τῇ πείρᾳ διαφαίνεται*, codex autem P pro *τούτου* habeat *τούτων*, hoc probato Schroeder non sine ratione pro *ὅστις* flagitavit *οἷστισιν*. At hoc si voluit paraphrastes (et voluisse credo), vera paraphrasis forma potius haec erit: *ἐν οἷς ἄν τις ἔξοχος γένηται, τούτων τὸ τέλος κτλ.*; quam invitis codicibus restituere nulla ratio est.

Ceteram rationem editionis nihil fere mutavi, nisi quod inde a N. VII, ubi duobus tantum codicibus BD inter se simillimis utimur, sigla codicum marginalia iis tantum scholiis vel partibus scholiorum addidi, quae uno solo codice servata sunt. Scholia igitur, quibus nihil adscriptum est, in utroque codice exstare tenendum est.

Indices huic volumini adiectos confecerunt Ada Adler, dr. phil., et Oe. Andreasen, stud. philol., nisi quod ipse indices rei metricae et musicae et sermonis scholiorum composui. Quae a nobis separatim elaborata sunt, in ordinem redegit H. H. Raeder, dr. phil. Cum illis duobus, tum Raedero ob laborem alienum benevole susceptum hoc quoque loco libenti animo gratias ago.

---

1) Cum ipso Schmidtii exemplari editionis Abelianae usus sim, fieri potest ut inde unam alteramve adnotatiunculam sumpserim cuius ille mentionem publice non fecerit.

Quibus de causis opus florenti aetate incohatum et ex parte absolutum usque ad senectutem meam tractum sit, referre taedet; illa excusatione uti liceat, quod in ea parte scholiorum quae nunc editur Abelii editione parum commoda illa quidem, sed tamen et codicum lectionibus diligenter adnotatis et sano aestimandi iudicio facta homines docti uti poterant. Gratius munus est, ut amicis qui mihi in codicibus iterum inspiciendis aliisque in rebus administrandis opem tulerunt gratias agam; ex quibus praeter Heibergium nomino Schroederum, qui plagulis correctis et errores haud paucos sustulit et ad scholia emendanda vel melius intellegenda multum contulit. Denique Udalrico de Wilamowitz-Moellendorff, qui non modo studiis meis ab ipsis primordiis mirum in modum favit, sed etiam in nobilissima censura editionis Abelianae rectam scholia edendi viam primus monstravit, ultimum hoc volumen gratissimo animo inscriptum volui.

Scribebam Hauniae mense Martio a. MDCCCCXXVII.

A. B. Drachmann.

INDEX SIGLORUM

B = Vaticanus 1312
B^{ac} = B ante correctionem
B^{pc} = B post correctionem
B^{i} = B infra (in ipso versu)
B^{s} = B supra versum
B ^{p} = B compendio (si compendium in omissa terminatione consistit; cfr. praef. vol. II p. XII)
B^{mg} = scholium marginale (extra ordinem scholiorum scriptum) s. nota marginalis codicis B
B^{a}, **B^{b}** = B priore, B posteriore loco (ubi idem scholium bis scriptum est)
[**B**] lectioni codicis B adponitur quae hodie dispici nequit, sed olim in B fuisse videtur
Item in ceteris codicibus
D = Laurentianus 32, 52
P = Parisinus 2403 (V Abelii)
T = Vaticanus 121
U = Vindobonensis 130
Monac. = Monacensis 492
Tricl. = Triclinius
a = textus editionis Abelianae a. 1884
Abel = Abel in adnotatione eiusdem editionis
b = Boeckh (editio Boeckhiana)
h = Heyne (ed. Heyniana a. 1817)
r = editio Romana a. 1515
Beck = editio Beckiana (Lips. 1811)
$Bergk^{4}$ = Poetae Lyrici Graeci ed. Bergk vol. I ed. quarta (Lips. 1878)
Brub. = editio Brubachiana (Francof. 1542)
Hartung = ed. Hartungiana (Lips. 1856)
Ox. s. Oxon. = editio Oxoniensis a. 1697
Feine = Feine de Aristarcho Pindari interprete (Diss. Jenens. 1883)
Horn = Horn de Aristarchi studiis Pindaricis (Diss. Gryphiswald. 1883)
Kayser = C. L. Kayser, Lectiones Pindaricae (Heidelb. 1840)
Pauw = Ioannis Cornelii de Pauw Notae in Pindarum (Trajecti ad Rh. 1747)

M. Schmidt = Mor. Schmidt in censura ed. Abelianae (cf. supra p. VII sq.)
Schnitzer = Schnitzer de Pindaro nuperrime emendato (Progr. Ellwangen 1867)
Schroeder = O. Schroeder (per litteras)
Wilamowitz = U. de Wilamowitz-Moellendorff, Pindaros (Berlin 1922)
Wiskemann = Aug. Wiskemann, Beiträge zur Erklärung Pindars (Progr. Marb. 1876)
l = lemma (cfr. praef. vol. II p. XII)
l. n. = legi nequit
n. l. = non liquet
[ ] (in apparatu) includuntur verba partesve verborum quae in codicibus olim fuisse videntur, sed hodie legi nequeunt
| (in textu) ad sigla codicum ad marginem apposita pertinet (cfr. praef. vol. I p. XV).

CORRIGENDA

Pag.	1	vs.	16	’Τψιπύλη]	legend.	Ὑψιπύλη
„	27	„	4	οὖν]	„	οὖν
„	46	„	33	ὅσον γε]	„	17 ὅσον γε
„	52	„	12	Ἰόλα]	„	Ἰόλᾳ
„	55	„	23	92.]	„	92a.
„	81	„	10/11	Χείρωνω	„	Χείρωνα
„	105	„	22	38.]	„	38a.
„	147	„	2	αἄξεται]	„	αὔξεται
„	156	„	7	σονισταμένου]	„	συνισταμένου
„	159	„	14	Γελώων]	„	Γελῴων
„	—	„	23	ποήσει]	„	ποιήσει
„	163	„	19	theog. 35	„	theog. 535
„	180	inter text. et app. add.: 125 *Πίνδαρος δὲ τὴν ἐπὶ τάφου στήλην οὕτω καλεῖ.* Suid. s. v. *ἀγάλματα*				
„	181	vs.	8	ὑφηλὸν]	legend.	ὑψηλὸν
„	200	„	22	ἄρματι]	„	ἅρματι
„	203	„	8	36.]	„	36c.
„	—	„	14	Δακεδαιμόνιος]	„	Λακεδαιμόνιος
„	205	„	15	52b.]	„	52c.
„	214	„	17	b.]	„	c.
„	241	„	15	Πυθέα]	„	Πυθέα (fr. 4)
„	242	„	6	ἥλιος]	„	ἧλιος
„	—	„	20	ἀμιλλώμενοι]	„	ἁμιλλώμενοι
„	246	„	18	Αἴγινα]	„	Αἴγιναν
„	258	„	16	Φυλαίδαν]	„	Φυλακίδαν

Ὑπόθεσις Νεμέων. BDPTU

ἀρχὴ Νεμέων· ἐν τέλει τῶν Πυθίων. B

a. Τὸν ἀγῶνα τῶν Νεμέων τινὲς μὲν ὑφ' Ἡρακλέους BDPTU τεθεῖσθαί φασιν ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει, οἱ δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἱστορίαν τινὰ λέγουσιν ἐπ' αὐτῷ ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευσαμένοις διὰ τοῦ ἰδίου θανάτου. ὁ δὲ ἀγὼν ἐπιτάφιος. καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν δεικνύουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου εἰσάγει, οὐδὲ Νέστορα τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον· καί φασιν οὐδὲ ὄνομα τοῦ στεφάνου εἰδέναι τὸν ποιητήν, ἀποδεικνύντες ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εἴρηται· στεφάνας μὲν γὰρ λέγει, στεφάνους δὲ οὔ· τῶν οἳ μὲν καλὰς στεφάνας εἶχον (*Σ* 597).

b. *ἄλλως*. οἱ ἑπτὰ ἐπὶ Θήβας παραβαλόντες τῇ Νεμέᾳ BDPTU διψήσαντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ φερούσῃ τὸν Λυκούργου τοῦ τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλ-

---

1 schol. Lucian. p. 137, 20 R (cf. etiam ad d) 8 sch. Hom. *X* 164. *Λ* 700 11 sch. Hom. *N* 736 15—p. 2, 7 Apollod. 3, 6, 4. Hygin. f. 74. Schol. Clem. Alex. I p. 424, 19 Ddf. — Tzetzes ad Lycophr. 373

---

1 inscr **BPTU**: *τῶν νεμέων* **D** (om. *ὑπ.*) 3 *μὲν* om. **DTU** *ὑφ' ἡρ.*] *ἐφ' ἡρακλέ(ους) καὶ ὑφ' ἡρακλέ(ους)* **B** 4 *τεθῆναι* **DTU** 5 *ἀπὸ*—6 *ἀρχεμόρου*] *ἐπὶ τῷ ὀφέλτῃ μὲν πρότερον, νυνὶ δὲ ἀρχεμόρῳ* a. Locus corruptus 5 *τοῦ*] *τῶν* **DTU** 6 *νυνὶ*] *νῦν* **P** 7 *θήβαις* **P** *στρατευομένοις* **DTU** 9 *ὁμηριδῶν* **TU** *στεφάνων* **DP**(**T**[cp]) 10 *ἑαυτῷ* **DPTU** 12 *οὐδαμῶς* **DP** 13 *εὕρηται* **U** 14 *αἱ μὲν* codd. Hom. *ἔχον* codd. Hom. 15 *ἄλλως* **BP**: *ἄλλως· ἡ ὑπόθεσις* **DT** *ἡ ὑπόθεσις* **U** *θήβας* **B**: *θήβαις περιβαλόντες* **D** 17 *λυκοῦργον* et *λυκούργον* **P** *τοῦ τοῦ* **BTU**: *τοῦ* **P** om. **D** (*τοῦ νεμείου* Tzetzes) *καὶ εὐρ.* **B**: om. **DPTU**

την· ἡ δὲ αὐτοῖς ἀφηγήσατο εἴς τινα πηγήν, καταλιποῦσα τὸν παῖδα ἔν τινι λειμῶνι· ὃν δράκων περιειληθεὶς ἢ ἰὸν ἀφεὶς ἀνεῖλεν. οἱ δὲ ὑποστρέψαντες καὶ τὸ πάθος θεασάμενοι τόν τε δράκοντα ἀνεῖλον καὶ ἀγῶνα ἦγον ἐπιτάφιον τριετηρικόν· ἠγωνίζοντο δὲ στρατιῶται καὶ παῖδες στρατιωτῶν· ὕστερον δὲ καὶ ἐπὶ τὸ δημοτικὸν πλῆθος ἔδραμεν· ἦν δὲ γυμνικὸς καὶ ἅρμα, οὐχὶ δίφρος οὐδὲ κέλης. ἔτυχε δὲ οὕτως Ὑψιπύλη ἐν Νεμέᾳ· ὡρισμένου παρὰ τῶν Λημνιάδων πᾶν τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα ἐνείρξασα κιβωτῷ ἐφύλαττεν· ὕστερον δὲ μετὰ τὸ τοὺς Ἀργοναύτας ἐκπλεῦσαι φανεροῦ γενομένου ταῖς Λημνιάσι τοῦ κατὰ τὸν Θόαντα αὐτὸν μὲν κατεπόντωσαν ἐνείρξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον· ἡ δὲ μαθοῦσα φεύγει. ἐν τοσούτῳ δὲ λῃσταῖς περιτυχοῦσα πιπράσκεται Λυκούργῳ. κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν κατὰ ζήτησιν οἱ ταύτης παῖδες Θόας καὶ Εὔνεως παρέβαλον ἐν Νεμέᾳ, Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βουλομένης διὰ τὸν Ὀφέλτου θάνατον ἀνελεῖν τὴν Ὑψιπύλην, διὰ τοῦτό τε ἔν τινι τόπῳ λαθραίῳ κατακλεισάσης, Ἀμφιάραος μαντευσάμενος δείκνυσι τοῖς παισὶ τὴν Ὑψιπύλην· ἡ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τοὺς ἥρωας τοῖς παισὶ συναγωνίσασθαι.

7—21 cfr. sch. P. IV 88. 449. — Hygin. f. 15

---

1 ἡ δὲ **BP**: ἥτις καὶ **DTU** ἀφηγ. αὐτοῖς **B** 2 ἢ om. **B** 3 ὑποστρέφοντες **U** 4 δράκοντα κτείνουσι, καὶ ἀγῶνα ἐπιτ. ἱστῶσι τριετ. **B** ἐπιτάφιον om. **DP** 6 δημωτικὸν **B** ἀνέδραμεν **D** 7 οὐχὶ] οὐδὲ **P** κέλλης **PTU** 9 ὑψιπύλη] μόνη **P** 10 ἐνείρξατο **T** ἐφύλασσε **D** 11 τὸ om. **DT** φαν. δὲ γεναμένου **D** 12 post θόαντα aliquid excidisse videtur (δόλου? an τῆς κ. τ. θ. ἀπάτης?) 13 τῇ om. **P** καὶ om. **BDP** ὑψιπύλου **TU** 14 δὲ (alt.) **TU**: τὲ **BDP** περιτυχοῦσα **B** Tricl., παρατυχοῦσα **P**: περιπεσοῦσα **DTU** 15 ἐν ἐκείνῳ δὲ τῷ καιρῷ **B** δὲ] τὲ **D** 16 οἱ παῖδες ταύτης **B** αἴνεως **D** παρέλαβον **T** 17 ἐν] τῇ cj. Abel εὐριδίκης **D** βουλοζομένης **P** 18 τὴν om. **D** διὰ τοῦτό τε] καὶ διὰ τοῦτο **D** Tricl. 20 μαντηόμενος **D** τοῖς παισὶ **BD**: τοῖς πᾶσι **P** πᾶσι **TU** 21 τοὺς ἥρωας] τοῖς ἥρωσι **TU** συναγωνίζεσθαι **P** ἀγωνίσασθαι **B**

c. *ἄλλως.* τὰ Νέμεά φασιν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ τῷ Εὐφήτου καὶ Κρεούσης παιδί, ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι τελευτήσαντα ὑπὸ τὸν Θηβαϊκὸν πόλεμον. τοῦτον δὲ ἔτυχε τροφεύουσα Ὑψιπύλη, ἣν ᾔτησαν οἱ Ἀργεῖοι ὕδωρ· τῆς δὲ ἀπελθούσης ὑδρεύσασθαι ὄφις ἐπελθὼν ἀνεῖλε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος Ἀρχέμορον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τοῦ παιδὸς θάνατος, ἐφ' ᾧ καὶ τὸν ἀγῶνα διέθηκαν τὴν Ὑψιπύλην παραμυθούμενοι. ἄλλοι δέ, ὧν ἐστι καὶ Αἰσχύλος (FTG p. 49), ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί· οἱ δὲ ἐπὶ τῷ Ταλαοῦ παιδί. Ἀδράστου δὲ ἀδελφῷ. εἰσὶ δέ τινες οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ Θηβαϊκοῦ πολέμου. ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθιστάντες τὸν ἀγῶνα· ὑπέσχοντο δὲ ἐκ τῶν λαφύρων ὑπονοστήσαντες ἀργυρίτην αὐτὸν ποιῆσαι, καὶ διὰ τοῦτο στεφανίτης πρῶτον ἐκλήθη. προέστησαν δὲ τοῦ ἀγῶνος καὶ Ἀργεῖοι καὶ Κορίνθιοι καὶ Κλεωναῖοι· ἐμπεδοῦντες δὲ αὐτὸν τῷ Νεμεαίῳ ἀνέθηκαν Διΐ. ἐστέφοντο δὲ τὸ παλαιὸν ἐλαίᾳ, ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν Μηδικῶν ἐπὶ τιμῇ τῶν κατοιχομένων σελίνῳ· οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ τοῦτο τεθῆναι. ἔστι δὲ ἡ Νεμέα τῆς τῶν Ἀργείων χώρας μοῖρα, ὠνομασμένη ἀπὸ⟨Νεμέας⟩τῆς Σελήνης καὶ Διός· οἱ δὲ ἀπὸ τῶν βοῶν τῶν ὑπὸ Ἄργου νεμομένων ἐν τῷ χωρίῳ, αἳ ἦσαν BDTU

1—9 cfr. ad hyp. b (in prim. sch. Clem. Al.) 7 cfr. sch. N. VIII 85 10 Aelian. v. h. 4, 5. Cfr sch. N. IX 30a 20 Paus. 8, 48, 2. Serv. ad Ecl. 6, 68 22 EM 176, 36. 600, 23

1 ἄλλως] om. D + ἡ ὑπόθεσις TU 1. 2 εὐφήγου sch. Clem. Alex. 2 εὐφήτην corruptum vid.: ἀρχέμορον? ἀργεῖοι] ἄριστοι D 3 ὑπὸ BD: ἐπὶ TU 4 ἡ ὑψ D 5 ἐπελθούσης T ἀνεῖλαι T 9 ἐστι] ἢ T 11 ἀδρ. ἀδελφ. δὲ B 11. 12 φασὶ τὸν ἀγ. εἶναι D αὐτῷ] τῷ D 14 ἀπονοστ. DTU 15 ἀργυρίτην B: γυμνίτην DTU γυυνήτην Tricl. rectius ποιήσειν καὶ — 16 ἐκλήθη ante ὑπέσχοντο transponenda cj. Abel 17 κλεωναῖοι om. D ἐμπεδοῦν U δὲ om. D 18 νεμέῳ DTU Tricl. ἐπέθηκαν DTU Tricl. ἐλαίαν D ἐλαίας TU ἐλαίαις Tricl. 20 ὑπ' ἀρχ. D τοῦτο TU: τοῦτον B τούτῳ D 21 τῶν ἀργ. τῆς χώρας B τῆς ἀργ. χ. TU 22 suppl. b

Ἥρας ἱεραί· οἱ δὲ ἀπὸ τῶν Δαναοῦ παίδων, οἳ κατενείμαντο καὶ ἐκληρούχησαν τὸ χωρίον.

DPTU d. ἄλλως. καθ' ὃν χρόνον οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγοὶ ἐπεστράτευσαν Θηβαίοις Πολυνείκει συμμαχοῦντες, εἰς Λῆμνον τὴν Θρακικὴν καταντήσαντες καὶ δίψει συσχεθέντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ γυναικὶ καὶ καθικέτευον ἅτε τῶν χωρίων ἔμπειρον οὖσαν ξεναγῆσαι ἐπὶ πότιμον ὕδωρ. τὴν δὲ ἀβλαβῆ χάριν τοῖς λοχαγοῖς ἀπονεῖμαι βουληθεῖσαν καταλιπεῖν ἐπί τινα τόπον τὸν Ἀρχέμορον Λυκούργου τοῦ ἱερέως παῖδα, ὃν εἶχε πρὸς ἀνατροφήν, Ἀργεῖον τὸ γένος· ὄφιν δὲ τῆς χειᾶς ἐξελθόντα κατὰ τὴν τῆς Ὑψιπύλης ἀπουσίαν περιπλακῆναι τῷ παιδὶ καὶ ταῖς σπείραις ἀποτεταμένον ἀποπνῖξαι τὸ βρέφος· τοὺς δὲ ἐπανελθόντας τοξεῦσαι μὲν τὸν ὄφιν, σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, εἶτα τῇ συμφορᾷ βραχεῖάν τινα παραμυθίαν ποριζομένους θάψαι τὸν παῖδα καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς κρίνουσι τοῖς ἀγωνιζομένοις ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ὁ δὲ στέφανος ἐκ χλωρῶν

---

3 sqq. cfr. hyp. b 20 Probus ad Georg. 3, 19. sch. Stat. Theb. 4, 160 22 vit. Thom. (I p. 6, 9 huius ed.)

---

1 οἳ om. D 3 ἄλλως om. D ἑπτὰ] + ἐπὶ θήβαις TU 4 θηβαίοις om. TU πολυνείκη DTU 5 δίψῃ D συσχεσθέντες T 6 τῇ λ. γυν. om. P καὶ om. T ἐγχωρίων TU 7. 8 τοῖς δὲ λοχ. τὴν ἀβλ. χώραν TU 8 βουληθεῖσαν DU: -σα T om. P καταλιποῦσαν P 9 τόπον DPU: τρόπον T χρόνον M. Schmidt (frustra in loco male habito) τοῦ ἱερέως om. P 11 ὑψιπύλου T 12 πείραις T 15. 16 παραμυθ. τινὰ D ποριζόμενοι U -μένω T τὸν om. T 17 νεμαῖον P φαιὰς] τεφρὰς M. Schmidt, cl. Hes. τεφρὸν ἐστολισμένοι T -μένας U 18 στολὰς DP: στερ(ρ)ὰς TU τοὺς ἀγωνιζομένους TU ἀγονιζ. P 20 νικήσας] νισαίσας D καταγωνισάμενος DU (cfr. p. 5, 16): καὶ καταγ. T om. P νεμαῖον P ὡς ἐπεμελ. D 22 ἱερὸν εἶναι P ἐνομοθέτ(ει)? P[cp]

πλέκεται σελίνων· διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμόν, παρόσον ἐκεῖνος ξηρὰ ἔχει τὰ σέλινα. προέστησαν δὲ τοῦ ἀγῶνος πρῶτοι μὲν Κλεωναῖοι, εἶτα Κορίνθιοι, καὶ ἔστι τριετής, τελούμενος μηνὶ Πανέμῳ ιη΄. οὐκ ἀξιοῦντες δὲ πρότερον εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους, ὕστερον δὲ ἐπιλειψάντων καὶ τοῦ ἔθους διαλυθέντος συνέβη τοὺς πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

e. ἄλλως. ὁ ἀγὼν ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ τῷ Λυκούργου B τοῦ ἱερέως παιδί, καθ᾽ ὃν καιρὸν οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγοὶ ἐπεστράτευσαν Θηβαίοις Πολυνείκει συμμαχοῦντες. οὗτοι γὰρ δυσφορήσαντες, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχεῖαν παραμυθίαν τῇ συμφορᾷ ποριζόμενοι ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ᾽ ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὕστερον δὲ νικήσας Ἡρακλῆς καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησε. καὶ ἔστι τριετής, τελούμενος μηνὶ Πανέμῳ ὀκτωκαιδεκάτῃ. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Scholia in Nemeonicarum carmen I.

Χρομίῳ Αἰτναίῳ ἵπποις. PU

Τῆς πρώτης ᾠδῆς τῶν Νεμέων ἡ στροφὴ καὶ ἀντίστροφος BD κώλων δέκα. τὸ α΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὡς τὸ (Archil. fr. 94, 2) τίς σὰς παρήειρε φρένας. τὸ β΄ ἰαμβέλεγος. τὸ

8—20 ex hyp. d excerpta

---

1 καθόσον TU Tricl. 3 μὲν] μὲν δὴ T Argivi excidisse vid. ἔστι] ἔτι D 4 ιβ΄ TU ἀξιοῦντες M. Schmidt: ἐξὸν ὄντος D ἐξὸν ὄντοι P ἐξὸν ὄντα TU 5 δὲ del. M. Schmidt 6 ἔθνους P 8—13 male excerpta; post 13 ποριζόμενοι suppl. λέγονται h (frustra) 19 ὀκτωκαιδεκάτῳ B δωδεκάτῃ r 22 inscr. praem. ὑπόθεσις νεμέων P 23 ἡ μὲν στροφὴ D 24 κώλων] + ἐστὶ D

γ′ πενθημιμερὲς δακτυλικόν. τὸ δ′ ἰαμβέλεγος. τὸ ε′ Εὐριπίδειον. τὸ ς′ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ ζ′ Εὐριπίδειον. τὸ η′ Πινδαρικὸν ἐκ Σαπφικοῦ· σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας,⟨χοριάμβου⟩καὶ ἰάμβου καὶ συλλαβῆς· ὁ δὲ Πίνδαρος τοῦ ἰάμβου τὴν μακρὰν συνέστειλεν. τὸ θ′ Εὐριπίδειον. τὸ ι′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. inscr.a B

BD ἡ δὲ ἐπῳδὸς κώλων ὀκτώ. τὸ α′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ β′ ἑφθημιμερὲς δακτυλικόν. τὸ γ′ πενθημιμερὲς δακτυλικόν. τὸ δ′ Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος τρίμετρον καταληκτικόν. τὸ ε′ Σαπφικὸν ἑνδεκασύλλαβον. τὸ ς′ Ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ′ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ η′ Εὐριπίδειον. 2b B

BDPTU Inscr. a. Γέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ. Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξελὼν Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναρρήσεσιν ἔν τισι τῶν ἀγώνων Αἰτναῖον ἑαυτὸν ἀνεῖπε. ταὐτὸν δέ, φησὶν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον ἑταίρῳ κεχρημένον αὐτῷ. Τίμαιος δὲ (FHG I 232) τὸν ἐπίνικον Ὀλυμπικὸν εἶναι τοῦτον, ἁμαρτάνων· ὁ γὰρ Πίνδαρος ἄντικρυς Νεμεακὸν εἶναί φησιν (vs. 7)· ἅρμα δ᾽ ὀτρύνει Χρομίου Νεμέα τ᾽ ἔργμασι νικαφόροις. 1a B

BDPTU b. ζητεῖται δὲ, τί δήποτε τῷ Ἀλφειῷ προσδιαλέγεται καὶ τῇ Ὀρτυγίᾳ, τῆς νίκης οὐκ οὔσης Ὀλυμπιακῆς, ἀλλὰ Νεμεα-

14 hyp. O. I (p. 7, 19). sch. O. I inscr. a. sch. P. I p. 5, 10. ibid. inscr. a.

3 δὲ om. B 4 suppl. Brub. 6 ἰαμβικὸν mg. Brub.: ἰαμβέλεγος BD 7 τῆς α′ ᾠδῆς ἡ ἐπῳδὴ κ. ὀ. B ἐπῳδὸς h: ἐπῳδὴ 11 βραχυκατ. Pauw: ἀκατάληκτον BD πινδαρικόν mg. Brub. 13 l. ἄμπνευμα σεμνόν praem. DPT ἄμπν. σ. ἀλφεοῦ praem. U 13 14 ἱέρων οἰκ. γὰρ U εἶναι — 16 ἔν τισι om. DP 17 εἶπε B δὲ BD: δὴ PTU δίδυμος] χρόμιος P 18 δὲ] + φησὶ TU 19 ὀλυμπιακὸν TU τοῦτον] + φησὶν B 20 ἄντικρυ P ἀντικρὺ TU νεμεακὸν] + αὐτὸν BTU 21 ἔργμασι omnes (B l. n.) νικηφόροις TU 22 ἀλφειῷ B: ἀλφεῷ προσδέχεται Σ προσεύχεται P 23 ὀλυμπικῆς D

κῆς; ἔνιοι μὲν οὖν φασιν, ὅτι τὰ ἱπποτροφεῖα τοῦ Ἱέρωνος καὶ τοῦ Χρομίου ὁμοίως ἐν τῇ Ὀρτυγίᾳ ἦν· τῷ δὲ ἱερὰν εἶναι τὴν κρήνην Ἀρτέμιδος, τὴν δὲ θεὸν ἱππικὴν εἶναι· καθὸ Σώφρων (fr. 167 Kaib.) μὲν αὐτὴν ἀτρέστην, Ὅμηρος δὲ (Z 205) χρυσήνιον· καὶ ὁ Πίνδαρος προσεφώνησεν αὐτὴν καὶ τὴν ἐπ' αὐτῆς Ἄρτεμιν· διὰ τοῦτο δὲ καὶ ἐν ἄλλοις φάναι τὸν Πίνδαρον (P. II 7)· ποταμίας ἕδος Ἀρτέμιδος. ἀπόχρη δὲ εἰπεῖν, ὅτι ἱππικὴ ἡ θεός, ἀνάκειται δὲ αὐτὴ ἡ νῆσος τῇ θεῷ· ψεῦδος γὰρ τὸ εἶναι τὰ ἱπποστάσια τοῦ Ἱέρωνος αὐτόθι. Ἀριστόνικος δὲ καὶ ἐν Ἐφέσῳ φησὶν εἶναι Ὀρτυγίαν, ἐφ' ἧς ἐδόκει γεγεννῆσθαι ἡ Ἄρτεμις· ὁ μὲν γὰρ Ἀπόλλων ἐν Δήλῳ, αὐτὴ δὲ δοκεῖ ἐν τῇ Ἀσιατικῇ Ὀρτυγίᾳ.

metr. epod. B

1a. Ἄμπνευμα: ἀνάπνευμα καὶ ἀναπνοή· ἔνιοι δὲ ἀναφύσημα· ἀπὸ γὰρ καταδύσεων ἀφανῶν εἰς τὴν Ἀρέθουσαν ἀναφαίνεται. τὸ δὲ ἀνάπαυμα ἐπὶ τῆς ἐρωτικῆς σπουδῆς ἐπὶ τοῦ ποταμοῦ τάττει· ἔστη γὰρ κατὰ Ὀρτυγίαν τὴν νῆσον. ἡ δὲ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος εἶτα προσχωσθεῖσα **BDPTU**

---

1 sch. P. II 10 4 sch. P. II 13 6 sch. P. II 12 17 cfr. ad sch. O. VI 156. — Strab. I p. 59

---

1 οὖν om. **P** ἱπποτροφεῖα **D**[**T**?]**U** Tricl : ἱπποτρόφια (-φία **P**) **BP** 2. 3 ἱερᾶν κρ. εἶναι **T** ἱερᾶν εἶναι κρ. **U** 3 εἶναι om. **P** 4 αὐτὴν] αὐτὸς **U** ἀτρέστην **B** ἀτρεσήν **D** ἀτρέσην **PT** ἀτρέσιν **U** ἀτρέσταν Kaibel ὅμηρος δὲ καὶ (ὁ) π. χρυσήνιον προσεφώνησαν αὐτὴν **TU** (cfr. **D**) 5 προσεφώνησαν **D** (cfr. **TU**) 6 ἐπ' αὐτῆς **B**: ἐπ' αὐτοῖς **DP** μετ' αὐτῆς **TU** 8 εἰπεῖν] εἶπεν **TU** αὐτὴ **h**: αὐτῇ **BD** αὕτη **PTU** 9 τῷ θεῷ **TU** τὸ] τῷ **P** ἱπποτροφεῖα **TU** 10 αὐτόθι] ἐν αὐτῇ **TU** ἀρίστων **B**, om. δὲ φησιν post δέ trp. **T** 11 ἐφ'] ὑφ' **TU** γεγεννῆσθαι Beck: γεγενῆσθαι codd. 14 l. praem ἄλλως **DPT** l **PU**: ἄμπν. σεμνόν **DT** ἄ. σ. ἀλφειοῦ **B** ἀνάπνευμα **TU**: οἷον ἀνάπν. **B** ἀνάπν. σεμνὸν **DP** καὶ om **U** (**T** l. n.) ἀναφ. δὲ ἔνιοι **U** ἀποφύσ. **T** ἀναφύσημα] + p. 8,7 διὰ τὸ — p. 8,9 κρήνη **B** 15 ἀπὸ γὰρ καταδύσεων ἀφανῶν **B**: τὸ γὰρ ἀπὸ κ. ἀ. **U** διὰ τὸ ἀπὸ κ. καὶ ἀ. **T** τὸ γὰρ ἀπὸ καταδύσεως καὶ ἀφανῶν **DP** ἐρέθουσαν **T** 16 ἀνάπνευμα **P** ἐπὶ del. **b** 17 ποταμοῦ **BTU**: ποτοῦ **P** πολλῷ **D** ἔστη scripsi (ὑπέστη **b**, συνέστη **a**): ἔστι codd.

χερρόνησος γέγονεν, ὡς καὶ Ἴβυκος ἱστορεῖ (fr. 22)· παρὰ χέρσον λίθινον ἔκλεκτον παλάμαις βροτῶν· πρόσθε νιν παῖδα νήριτον ἰχθύες ὠμοφάγοι νέμοντο. σεμνὸν δὲ εἶπεν, ἤτοι ὅτι οὐκ ἔτυχε τῆς συνουσίας ὁ Ἀλφειός, ἢ διὰ τὸ καθαρόν, ὡς Εὐριπίδης (Med. 69)·

θάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ.

(B)DPTU b. ἄλλως. ἄμπνευμα: οἷον ἀναπνοὴ διὰ τὸ ἀπορρῶγα καὶ οἷον στόμα εἶναι τοῦ Ἀλφειοῦ τὴν αὐτόθι Ἀρέθουσαν, ἥ
BDPTU ἐστι κρήνη· | ὥστε καὶ τὸ σημαινόμενον εἶναι τοιοῦτον· ὦ Ὀρτυγία, ἐν ᾗ ἐστι τὸ τοῦ Ἀλφειοῦ ἀνάπνευμα. τίς; ἡ Ἀρέθουσα; ἀλλ' οὐ τὴν Ἀρέθουσαν εἴρηκεν ἄμπνευμα, ἀλλὰ τὴν Ὀρτυγίαν, ἐν ᾗ ὁ Ἀλφειὸς ἀναπνεῖ, τῷ περιέχειν τὴν Ἀρέθουσαν. inscr. b B

BDP 2a. θάλος Ὀρτυγία: Ὀρτυγία νῆσος πρὸ τῶν Συρακουσῶν, εἰς ἣν διὰ πελάγους φερόμενος ὁ Ἀλφειὸς ἐμβάλλει καὶ
BDPTU ποιεῖ τὴν Ἀρέθουσαν κρήνην. 4d B b. ἄλλως. κατὰ μὲν τὴν ἱστορίαν οὐκ αὕτη ἡ Ὀρτυγία, καθ' ἣν ἡ Λητὼ τὴν Ἄρτεμιν ἀπέτεκεν, ἀλλὰ περὶ Ἔφεσον ἑτέρα ..... πλησίον τῆς Σικελίας, ἣν χερρόνησον τῶν Συρακουσῶν ἔφαμεν γεγενῆσθαι, καὶ αὐτὴν ἱερὰν τῆς Ἀρτέμιδος διὰ τὴν πρὸς Δῆλον ὁμωνυμίαν· ᾗ

20 Diod. 5, 3, 5

1 χερρόνησος P^{pc}: χερόνησος P^{ac} χερόννησος B χερσόνησος DTU ἴβηκος TU περὶ D 2 ἔκλεκτον b ex Strab. 1, 59: τὸν B τῶν DPU (T l. n.) πρόσθεν PTU νιν B: μιν TU μὴν P μὴ D πεδ' ἀναριτᾶν (cl. Athen. 3 p. 86b) s. πέδα νηριτᾶν b 3 νέμονται P -το et -ται T? εἶπεν et ὅτι om. D ἤτοι om. T 4 ὡς] + καὶ U 6 θάσσασι D πυρήνης DP^{ac}?TU 7 ἄλλως—9 κρήνη hic om. B; cfr. ad p. 7, 14 ἄλλως om. TU ἀπορῶγα P 8 τὴν] καὶ τὴν DP καὶ—εἶναι] εἶναι τὸν νοῦν B καὶ om. PT 9 σημαινόμενον Tricl.: σημαῖνον DTU σημαίνειν P 10 ἀλφεοῦ P ἀνάπνευμα h: πνεῦμα codd. 10. 11 dist. Beck 14 l. om. B θάλλος D 15 εἰς ἣν] εἰσὶ P 16 ἄλλως DP: θάλ λ)ος ὀρτυγία TU ἄμπνευμα σεμνὸν ἀλφεοῦ B 16. 17 τὰς ἱστορίας DPTU cfr. Tricl. ad vs. 4 οὐχ αὕτη Monac.: οὐκ αὐτὴ cett. Ft. οὐχ αὕτη ⟨ἦν⟩ τὴν ἄρτ. ἀπέτ. ἡ λητὼ P 18 lac. indicavi; ἔφεσον· ἀλλ' ἑτέρα b perperam πλησίον] ἡ (ἣ r) πλησίον B σικελίας] + ἣν B 19 [χερ]σονης B χερσόνησον TU χερόνησον DP 20 ᾗ B: ἡ T ἣν DPU

χαριζόμεναι τῇ θεῷ αἱ Νύμφαι καὶ πηγὴν πεποιήκασιν ὀνόματι Ἀρέθουσαν ἐν ταύτῃ τῇ νήσῳ, ἐξ ἧς οὔτε ἀρύσασθαι οὔτε ἰχθῦς λαμβάνειν νόμος. 4° P

3. δέμνιον Ἀρτέμιδος: ὁ μὲν Ἀρίσταρχος τὴν Ὀρτυγίαν ἀκούει, διὰ τὸ κατ' ἐνίους αὐτόθι δοκεῖν αὐτὴν γεγεννῆσθαι· προσθείη δ' ἄν τις, ὅτι συνήθως ὁ Πίνδαρος τοῖς ὁμωνύμοις χωρίοις ἐπιτίθησι καὶ τὰ ἐπὶ τοῖς ἄλλοις ἱστορούμενα· καθὰ καὶ ἐπὶ τῶν Πλειάδων (N. II 10)· ἔστι δ' ἐοικὸς ὀρειᾶν τε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι· ὄρειον δὲ τὸ ζῷον. ἔνιοι δὲ ἱστορικώτερον ἀκούουσι. τὸν γὰρ Ἀλφειόν φασιν ἔρωτι ἁλόντα τῆς Ἀρτέμιδος ἐπιδιῶξαι αὐτὴν ἄχρι Σικελίας· τοῦ δὲ τέλους τῆς διώξεως αὐτόθι γενομένου αὐτόθι συστῆναι τὴν Ἀρέθουσαν. διὰ τοῦτο δὲ καὶ τὴν Ἄρτεμιν Ἀλφειώαν προσαγορεύεσθαι· καὶ ἐν Ὀλυμπίᾳ δὲ ὁ Ἀλφειὸς τῇ Ἀρτέμιδι συναφίδρυται· καὶ τὴν ποταμίαν δὲ Ἄρτεμιν εἶναι οἳ παρὰ τῷ Πινδάρῳ (P. II 7) ἀκούουσι διὰ τὸ ἐπ' αὐτῇ τοῦ Ἀλφειοῦ πάθος· εἶναι δὲ οἳ Ἀλφειώαν τὴν Ἄρτεμιν λέγουσι διὰ τὸ τὸν Ἀλφειὸν διὰ τοῦ πλησίον τῆς Ἠλείας Ἀρτεμισίου καταφέρεσθαι. ἔχοι δ' ἂν οὐ φαύλως δέμνιον Ἀρτέμιδος λέγεσθαι τὴν Ὀρτυγίαν, οἷον ἐνδιαίτημα καὶ δια- BDPTU

6 cfr. sch. O. VI 145b. VII 24. P. IX 6. XII 1. N. II 17. J. I 1
13 cfr. sch. P. II 12 14 sch. O. V 10. Paus. 5, 14, 6

1 πηγαὶ D 1. 2 ἀρέθ. ὀνόμ D ὀνομαστὴν B 2 ἐξ ἧς om. B, distincto ante ἐν ταύτῃ ἀρρύσασθαι B 3 νόμος λαμβάνειν D 4 ἀρτέμιδος om. TU 5 αὐτόθι] τὰ αὐτόθι D αὐτὴν δοκεῖ(ν) TU γεγεννῆσθαι Beck: γεγενῆσθαι codd., Tricl. 8 δὲ οἶκος B 9 τε om D γε codd. Pind. πλειάδων U ὠαρίων ἀνεῖσθαι B ὠρίωνα T ὡρίωνα U ὄρειον b: ὀρείαν BPU (T l. n.) ὀρειᾶν D? ὀρειᾶν δὲ ⟨ὅτι ὄρειον⟩ cj. b ὀρειᾶν δὲ ὡς ζῴων Feine de Aristarcho Pind. interpr. p. 295 11 ἄχρι τῆς σ. B 12 γενομένου Beck: γινομ. codd., Tricl. 13 συστῆσαι PTU Tricl. τὴν ἀρέθουσαν secl. h δὲ om. TU 14 ἀλφειαίαν Beck ὀλύμπῳ P Tricl. ἀλφεὸς D 16 εἶναι οἳ] εἰσὶν οἳ Monac. εἶναι [οἳ] h (οἱ codd. et r) ἔνιοι b περὶ D 17 αὐτῆς T τοῦ] τὸ τοῦ DPTU εἶναι δὲ οἳ DP: εἶναι. οἱ δὲ T εἶναι οἷον U εἰσὶ δὲ οἳ B ἀλφειαίαν Beck 18 διὰ τὸ τὸν ἀλφειὸν om. D τοῦ] τὸ T πλησίον D ἡλιαίας B (cfr. sch. O. VI 55a) 19 ἀρτεμισίου] τοῦ ἀρτ. U ἀρτεμισίας B

τριβήν· ἱερὰν γὰρ τὴν πᾶσαν νῆσον Φερσεφόνης εἶναι· ὅτι δὲ ἡ αὐτή ἐστι τῇ Ἀρτέμιδι, Καλλίμαχος ἐν Ἑκάλῃ (fr. 48)·

οἵ νυ καὶ Ἀπόλλωνα πανάρκέος Ἠελίοιο
χῶρι διατμήγουσι καὶ εὔποδα Δηιώνην
Ἀρτέμιδος.

BDPTU 4a. Δάλου κασιγνήτα: τὴν Ὀρτυγίαν τῆς Δήλου κασιγνήτην εἴρηκε, μετάγων τὰ ἐπὶ τῶν θεῶν λεγόμενα κατὰ τῶν τόπων, οἵτινες ἀπ' ἐκείνων προσηγορεύθησαν. οἱ δὲ διὰ τὴν ὁμωνυμίαν, ὡσανεὶ ἔφη· ἐν ᾗ ἡ Ἄρτεμις ἐγεννήθη ὥσπερ ἐν Δήλῳ· εἴωθε γὰρ ὁ Πίνδαρος μετάγειν τὰς ὁμωνυμίας· ὥστε τὸ λεχθὲν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας, τοῦτο ἐπὶ τῇ πρὸς Συρακούσαις μετήχθη. ἔνιοι δὲ κασιγνήτην ἀκούουσιν ἀντὶ
BDPU τοῦ συγγενῆ διὰ τὴν ὁμοιότητα· κοινὰ γὰρ τὰ ἐφ' ἑκατέρας ἱστορούμενα. καὶ γὰρ νῆσος ἡ Δῆλος, καὶ ἡ Ὀρτυγία ἡ ἐν Συρακούσαις νῆσος, καὶ ὑπεδέξαντο θεοὺς ἀμφότεραι· καὶ ἡ μὲν ἔκρυσιν διὰ πελάγους, ἡ δὲ ἐκ τοῦ Νείλου διὰ τὸν Ἰνωπόν. b. ἄλλως. δοκεῖ μὲν πρὸς τὸ βίαιον τὴν πρὸς ταῖς Συρακούσαις ἀδελφὴν λέγειν τῆς Δήλου· τὸ δὲ ὅλον διὰ τὴν ὁμωνυμίαν αὐτῷ ὁ λόγος προήχθη.

---

15 Tzetzes ad Lyc. 575. Paus. 2, 5, 3. sch. Callim. 3, 171. Strab. VI p. 271

---

1 τῆς φερσ. B εἶναι] φασίν B 2 ἡ om. D ἡ αὐτὴ] ἐν αὐτῇ B καλλίμαχος] φησὶ κ. T μαρτυρεῖ κ. U ἑκάλη DU 3 ἀπόλλωνι D -νος P 4 χῶρι διατμήγουσι U (sed χωρὶ), Bentley: χωρίον διατμ. B χωριδία τμήξουσι D χωρδιατμ. P (T l. n.) ἄποδα P δηωίνην Valckenaer ep. ad Ern. p. 50 6 κασιγνήταν D cp. PTU δήλου] νήσου B 7 κατὰ B: καὶ τὰ cett. τὸν τόπον B 9 ἐν ᾗ] καὶ ἐν ᾗ D 11 τῇ] τῆς B τὴν cj. Abel 12 μετενέχθη U 13 το[υ..] T *cuius f. 87 hic desinit;* f. 88 incipit a sch. 85 ἑκατέραις D 14 νῆσος] ἡ νῆσος B 15 νῆσοι B ὑποδέξαντ(ο) D ἀμφοτέρους D 16 ἔκρυσιν U: ἔκρυψε DP ἐκρύβη B. — Q. s. vix sana; Arethusam et Inopum, illam Alph i, hunc Nilı ἔκρυσιν, comparatos fuisse perspexit Mommsen (15 κρουνοὺς pro θεοὺς cj. Schroeder) ἡ δὲ] οἱ δὲ B διὰ] πρὸς DP οἰνωπόν U 17 δοκεῖ πρ. τὸ β. μὲν U βίβαιον D τὴν ⟨ὀρτυγίαν τὴν⟩ b, ad sensum recte

c. ὁ δὲ νοῦς· ὦ σεμνότατον ἀνάπαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἐνδιαίτημα καὶ τῆς Δήλου ἀδελφή. 8P BDP

ὁ δὲ νοῦς· ὦ σεμνὸν καὶ σεμνότατον ἄμπνευμα καὶ ἀνάπαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας τῶν κλεινῶν θάλος*) καὶ κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος δέμνιον καὶ ἐνδιαίτημα, καὶ τῆς Δήλου κασιγνήτη καὶ ἀδελφή. U

τοῦτο δὲ καὶ διὰ τὴν ὁμωνυμίαν· Ὀρτυγία γὰρ καὶ ἡ Δῆλος ἐκαλεῖτο· καὶ διὰ τὸ θεοφιλές· ἐν Δήλῳ γὰρ ἦν ἡ Ἄρτεμις. 2aB BDU

4d. σέθεν ἀδυεπής: ἐκ σοῦ ἡδυεπὴς καὶ εὔφημος. BD

e. ὁ δὲ νοῦς· ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ὁ ἡδυεπὴς ὕμνος τὴν ὁρμὴν ἔχει, ὥστε θεῖναι καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ὀξυτάτων ἵππων Διὸς ἕνεκεν τοῦ ἐν τῇ Αἴτνῃ· Διὶ γὰρ ἀνάκειται καὶ οὗτος ὁ ἀγών. f. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστι. 3P BDP

g. σέθεν ἀδυεπής: ὁ δὲ νοῦς· σέθεν καὶ ἐκ σοῦ. εὔφημος ὁ ἀδυεπής. ἢ τὸ σέθεν ἀντὶ τοῦ ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ὁ ὕμνος ὁ ἡδυεπὴς ὁρμᾶται ἀντὶ τοῦ τὴν ὁρμὴν ἔχει ὥστε θέμεν καὶ θεῖναι καὶ πληρῶσαι αἶνον καὶ ἔπαινον μέγαν τῶν ἀελλοπόδων καὶ τῶν ὀξυτάτων ἵππων, χάριν καὶ ἕνεκεν τοῦ Ζηνὸς τοῦ Αἰτναίου τοῦ ἐν τῇ Αἴτνῃ. Διὶ γὰρ ἀνάκειται καὶ οὗτος ἀγών. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν. U

7a. Ζηνὸς Αἰτναίου: ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστιν. D

7b. Ζηνὸς Αἰτναίου χάριν: ἢ εἰς χάριν τοῦ Διός, ἢ ἕνεκεν τοῦ Διός, παρόσον ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ᾖδον οἱ περὶ τὸν Ἱέρωνα τοὺς ἐπὶ BDU

---

1 ὦ] ὁ U 2 ἀνάπαυμα BD: ἀνάπνευμα P 5 ἐνδιαίτημα] καὶ ἐνδ. D 6 ἀδελφέ D 7 δὲ καὶ] δὴ καὶ U δὲ D δέ φησι καὶ B καὶ (alt.) om. U 8 ἦν vix sanum 10 l.] + ὕμνος ὁρμᾶται B ἡδυεπής D ἀδυεπὴς D καὶ om. D εὐφήμα D 11 ἡδυεπὴς om. DP ὁρμὴν] ὀρτυγίαν D 12 ὠκυτάτων a 14 ὁ] καὶ D 24 l. B (praem. ἄλλως): spat., deinde αἰτναίου χάριν U om. D 25 ἕνεκεν] ἐκ U ἐν om. DU, unde τὴν πανήγυριν Mommsen 26 ᾖδον scripsi (cfr. p. 12, 1): ἦγον BD ἤγαγον U τοὺς] τοῖς D καὶ τοὺς U

*) θάλλος U

τοῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινίκους [καὶ ᾖδον]. πιθανὸν οὖν φησιν ὁ Δίδυμος καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὸ τῆς πανηγύρεως ᾀσθήσεσθαι. ὁ δὲ τρόπος ποιητικός, ὥστε τὸ ἀπὸ τοῦ αὐτομάτου συμβαῖνον ὡς αἴτιον λαμβάνειν. οὐ γὰρ ἕνεκα τοῦ ᾀσθῆναι τὸν ἐπίνικον ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἐνίκησεν, ἀλλὰ νικήσαντος ἔμελλεν ἡ εἰς αὐτὸν ᾠδὴ ᾀσθήσεσθαι.

EDPU 8. ἅρμα δ' ὀτρύνει Χρομίου: Χρόμιος ἡνίοχος Ἱέρωνος παιδόθεν γεγονώς, ἅτε δὴ βασιλεῖ συνὼν καὶ ἄριστος ὢν τὴν ἱππικὴν ἐπλούτησε καὶ ἤρξατο ἀποστὰς τοῦ Ἱέρωνος καθ' ἑαυτὸν ἱπποτροφεῖν· νικᾷ δὲ νῦν ἵππῳ ἅρματι πρῶτον ἀγωνισάμενος.

DPU 10. ζεῦξαι μέλος: συνθεῖναι ἐγκωμιαστικὸν μέλος. ἔστι δὲ τὸ σχῆμα περίφρασις.

BDPU 11a. ἀρχαὶ δὲ βέβληνται θεῶν: τοῦ ἐγκωμίου. τοῦτο δὲ λέγει διὰ τὸ ἀπὸ θεοῦ τῆς Ἀρτέμιδος κατῆρχθαι, ὥστε ἀρχὰς τὰ προοίμια τῆς ᾠδῆς αὐτὸν λέγειν. ἔθος δὲ Πινδάρῳ θεοῖς ἀνάπτειν τὰ ὁπωσοῦν τοῖς ἀνθρώποις ἐκπονούμενα. b. ὁ δὲ νοῦς· αἱ γὰρ ἀρχαὶ ταῖς δαιμονίαις καὶ θείαις ἀρεταῖς ἐκείνου τοῦ ἀνδρὸς ἐκ θεῶν βέβληνται, ἀντὶ τοῦ ἐκ πρώτης καταβολῆς ἡ τύχη τούτῳ συνέλαβεν. 13b B

---

1 καὶ om. DU; seclusi καὶ ᾖδον 2 τῆς] τὸν D τοῦ U 4 αὐτὸν] αὐτοῖς D ὑπὸ Kayser (ἐπὶ mallet id.): ὑπὲρ codd. αἰσθήσεσθαι BD (item 6. 8) ἀδήσεσθαι U; corr. Tricl., b 5 ὡς] καὶ D 6 ἐν om. D 7 ἐνίκησεν] ἐνέσωσεν D 8 ἡ om. B ἐς D 9 l. B: ἅρμα δ' ὀτρ. DP [ἅρ]μαρ δ' ὀτρ. U ἡνίοχος + ἦν B 10 γεγονὼς PU Tricl.: οὗτος B om. D βασιλεῖ P Tricl. (D[cp] U[cp]): βασιλεῦσι B συνὼν BP: σὺν D παιδόθεν συνὼν U Tricl. (παιδόθεν corruptum esse iud. Leutsch Philol. XIV p. 52) 12 ἱπποτροφῆσαι U ἵππῳ DPU: ἵππων B Tricl. Neutrum verum; ἰδίῳ? πρῶτον] νῦν πρῶτον U 14 ζεῦξα P μέλλος U 15 δὲ τὸ] τὸ δὲ U 16 l. BDU: ἀρχαὶ δὲ βέληνται P τοῦ] ἀρχαὶ τοῦ B 18 δὲ] + τῷ U 20 γὰρ] δὲ cj. Abel (αἱ ἀρχαὶ δὲ Tricl.) τοῖς P δαιμονίοις DP ft. recte 21 ἐκ] ἀντὶ τοῦ ἐκ B τουτέστιν ἐκ U Tricl. 22 συνέλαβεν h: συνέβαλε(ν) codd. συμβάλλεται Tricl.

13a. *ἔστι δ' ἐν εὐτυχίᾳ*: κατὰ πάντα μέρη τοῦ βίου ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης (fr. 1017)· **BDPU**

τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. **14 B**

b. ἢ οὕτως· ἔστι δὲ καὶ ἐκ τῆς εὐτυχίας καὶ εἰς ἄκρον εὐδοξίας ἀφικέσθαι. **13a B**

14. *μεγάλων δ' ἀέθλων Μοῖσα μεμνᾶσθαι φιλεῖ*: ἀντὶ τοῦ μεγίστων ἀγωνισμάτων ἡ Μοῦσα μεμνῆσθαι βούλεται. **BU**

16a. *ἔγειρε νῦν ἀγλαΐαν τινά*: ἔκπεμπε τοίνυν, ὦ Μοῦσα, καὶ σπεῖρε λαμπρότητά τινα τῇ νήσῳ τῇ Σικελίᾳ, ἥντινα ὁ Ζεὺς ἐξαίρετον δέδωκε τῇ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτης, καὶ ἐπένευσε τῇ ἑαυτοῦ κεφαλῇ τὴν Σικελίαν πιειρῶς καὶ λιπαρῶς ἀνορθώσειν, ἢ τὴν πιοτάτην καὶ καλλίστην ὑψώσειν πλουσίων πόλεων ἐνοικήσεσι ταῖς ὑπ' αὐτὴν ἐσομέναις. **BDP**

16b. *ἔγειρε νῦν*: ἔκπεμπε τοίνυν, ὦ Μοῦσα, καὶ σπεῖρε λαμπρότητά τινα τῇ νήσῳ Σικελίᾳ, τὰν καὶ ἥντινα ὁ δεσπότας τοῦ Ὀλύμπου ἤγουν ὁ Ζεὺς ἔδωκεν ἐξαίρετον τῇ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτης, καὶ κατένευσε ταῖς χαίταις καὶ τῇ κεφαλῇ οἱ καὶ αὐτῇ τὴν Σικελίαν πειρῶς καὶ λαμπρῶς ἀνορθώσειν, ἢ τὴν πίειραν καὶ τὴν πιοτάτην καὶ καλλίστην ὑψώσειν πλουσίων πόλεων κορυφαῖς καὶ ἐνοικήσεσι ταῖς ὑπ' αὐτὴν ἐσομέναις. **U**

17. *τὰν Ὀλύμπου δεσπότας*: περὶ τῆς ὅλης Σικελίας ἐστὶν ὁ λόγος. δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀνακαλυπτηρίοις τῇ Φερσεφόνῃ δωρήσασθαι. **BDPU**

---

24 sch. P. XII 3a

---

1 l.] + *πανδοξίας ἄκρον* **D** *ἀντὶ τοῦ* **B** 2 *ἄκρος* **B** *ὁ* om. **U** 4 *ἢ οὕτως*] *ἔστι δ' ἐν εὐτυχίᾳ* **B** *καὶ* (pr.) del. b *ἀτυχίας* **D** *καὶ* (alt.) om. **DU** *εὐτυχίας ἐφικέσθαι* **D** 6 l. **B**: *μεγ. δ' ἀέθλ.* **U** 7 *ἀντὶ τοῦ μεγ.* **U**: *μεγ. οὖν* **B** 8 l. **B**: *ἔγειρε νῦν* **DP** 10 *περσεφ.* **P** *ἀρίστην—11 εὐκαρπ.* post 12 *σικελίαν* trp. M. Schmidt 11 *ἀκαρποτάτης* **D** *εὐκαρποτάτου* **B** *καὶ*] *ἤγουν* **B** 14 *ἐνοικίσεσι* **B** *ἀνοικήσεσι* **DP** 18 *εὐκαρ^π* **U** 19 *χαίτας* **U** 23 l.] *ἄλλως* **B** *τὰν ὀλ.* **U** 24 *αὐτὸν* **D** *αὐτὸς* **U** *τὸν* om. Tricl. 25 *τοῖς* om. **D** *ἀνακαλύπτει κρίοις* **D** *περσ.* **DP** Tricl.

BDPU 20. *εὐκάρπου χθονός*: λέγεται γὰρ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς Δήμητρος εἶναι καὶ Κόρης, τοῦ Διὸς οὕτως ἐξ ἀρχῆς βουληθέντος. ἡ γοῦν Φερσεφόνη περὶ τοὺς τῆς Αἴτνης διατρίβουσα λειμῶνας ἡρπάσθη παρὰ τοῦ Πλούτωνος.

BDPU 21. *πίειραν ὀρθώσειν*: ὅ ἐστι διαφυλάξειν ὀρθὴν τῇ Φερσεφόνῃ διὰ τῶν πόλεων τῶν ἐσομένων ἐν αὐτῇ ἀφνεῶν· οὕτω γὰρ ἔμελλε δηλονότι ὀρθοῦσθαι ἡ Σικελία, εἰ ἀξιολόγους ἔχοι πόλεις ἐν αὐτῇ. 24 B

BDPU 23. *ὤπασε δὲ Κρονίων*: παρέσχε δὲ πρὸς τοῖς εἰρημένοις ὁ Ζεὺς αὐτῇ γενναίων ἀνδρῶν καὶ πολεμικῶν πλῆθος, ὥστε δι' ὅπλων μεμνῆσθαι τῶν πολεμικῶν καὶ ἱππαιχμίαις εὐδοκιμεῖν. 25 B

BDPU 24. *πολέμου μναστῆρα*: οἷον μνήμονα πολέμου, ἐπιστήμονα, οὐκ ἀμελοῦντα τῶν πολεμικῶν, ἀλλὰ κατατιθέμενον ἐν τῷ νόῳ ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολεμικὰ διόλου. ὅμοιον τῷ μνήστορες ἀϋτῆς (Δ 328). 23 B

BDPU 25a. *θαμὰ δὴ καὶ Ὀλυμπιάδων*: οὐ μόνον, φησί, τὰ περὶ πόλεμον δραστηρίους ἀπέδειξε τοὺς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας· οἷον πολλάκις ἐνίκησαν ἐπ' Ὀλυμπίας. ἔστι δὲ ὁ λόγος τῷ Πινδάρῳ οὐ περὶ τοῦ Χρομίου μόνου, ἀλλὰ καὶ περὶ τοῦ παντὸς λαοῦ, οἳ πολλὰς ἔσχον νίκας Ὀλυμπικάς. ἐντεῦθεν ἴσως πλανηθεὶς ὁ Τίμαιος (FHG I 232) Ὀλυμπικὸν

---

1 l. **DPU** (*ἀκάρπ.* **D**, *εὐκ. δὲ χθ.* **U**): om. **B** *γὰρ* **PU**: *δὲ* **BD** 1. 2 *ἐξ ἀρχῆς* om. **D** 2 *εἶναι* om. **B** *καὶ* om. **D** 3 *βουληθέντα* **D** *ἡ—4 πλούτωνος* ad sch. 17 pertinere susp. Abel *ἡ γοῦν* cod. Monac.: *ἡ γὰρ* **U** *ἤγουν* **BDP** (*διὸ καὶ* Tricl.) *φερσεφόνη* **U**: *περσεφ.* cett.; item 6 5 l. **DPU**: *τὸ δὲ ὀρθ.* **B** *ὅ ἐστι*] *ἀντὶ τοῦ* **B** *διαφυλάξαι* **U** 6 *ἀφνειῶν* **P** 7 *ὀρθ. ἡ σικ. δηλονότι* **B** 8 *ἔχοι* **B**: *ἔχει* cett. 9 l.] *ὁ δὲ νοῦς* **B** *ὤπασε* **U** 10 *ζεὺς*] *κρονιων τουτέστιν ὁ ζεὺς* **U** *αὐτῇ* om. **U** *ἀνδρῶν* om. **D** 11 *δι' ὅπλων* sensu cassum: *δι' ὅλου* M. Schmidt (probabiliter) *ὑπαιχμίαις* **D** Tricl. 13 l. **DPU**: *ὤπασε δὲ κρονίων π. μν.* **B** *μνήμονος* **D** *ἐπιστήμονος* et *ἀμελοῦντος* **D** 14 *τὰ πολεμικὰ* **P** 15 *νόῳ* scripsi: *ναῷ* **DPU** *νῷ* **B** 16 *τῷ*] *τὸ* **D** *μήστορες* **B** 17 *δὴ*] *δὲ* **DU** 19 *ὀλυμπία* **U** 20 *δὲ*] + *καὶ* **B** *χρομίου*] *χρόνου* **D** *μόνου* **BU**: *μόνον* **DP** Tricl. 21 *καὶ* om. **DP** *παντὸς τοῦ λαοῦ* **U** *οἳ*] *οἷον* **D** *ὀλυμπιακάς* **U** 22 *ἴσως*] *ἴσθι* **D** *ὁ* om. **U** *ὀλυμπιακὸν* **U**

τὸν ἐπίνικον ῥηθῇ εἶναι. b. ἔστι δὲ καὶ οὕτως ἀναγνῶναι· ἵππαιχμόν θ᾽ ἅμα δή, καὶ ὁ λόγος κατὰ συναλοιφὴν, ἵν᾽ ᾖ· ὁ λαὸς μνηστὴρ ἅμα πολέμου καὶ τῶν Ὀλυμπικῶν ἀθλημάτων.

27a. πολλῶν ἐπέβαν καιρὸν οὐ ψεύδει βαλών: πολλῶν ἐπέβην καὶ ἡψάμην ἐγκωμίων, οὐδαμοῦ τῷ καιρῷ πρὸς ψεῦδος χρησάμενος. b. ἢ οὕτως· οἷον τοῦ καιροῦ τῇ ἀληθείᾳ τυχών. BDPU

29a. ἔσταν δ᾽ ἐπ᾽ αὐλείαις θύραις: ἀμφίβολον πότερον ὁ χορὸς ἢ ὁ ποιητής· δύναται γὰρ ὁ χορὸς κυρίως λέγειν ἐφ᾽ ἑαυτοῦ, δύναται δὲ καὶ ὁ Πίνδαρος μεταφορικῶς εἰπεῖν· ἔστην τῷ λόγῳ καὶ τῇ μολπῇ μέλπων αὐτὸν καὶ ὑμνῶν. ἐὰν μὲν οὖν ὁ χορὸς λέγῃ, κυρίως ἀκουσόμεθα δεῖπνον παρεσκευάσθαι· κῶμον γὰρ στέλλουσιν οἱ χορευταί· ἐὰν δὲ ὁ ποιητής, κεκόσμηται τὰ δοθησόμενά μοι δῶρα, φησί, διὰ τοῦ ὕμνου. BDPU

b. ὁ δὲ νοῦς· ἔστην δὲ παραγενόμενος ἐπὶ τοῖς οἴκοις τοῦ φιλοξένου ἀνδρός, τὰ καλὰ δὲ τούτου ἀναβαλλόμενος. 32b B 34b D BU

32a. θαμὰ δ᾽ ἀλλοδαπῶν: οὐκ ἄπειροι γὰρ τῆς συνεχοῦς δεξιώσεως οἱ τούτου οἶκοι· συνεχῶς γὰρ τοὺς ἐκ τῆς ἀλλοδαπῆς ὑποδέχονται γῆς. 34b B BPU b. οἱ τοῦ Χρομίου δόμοι οὐκ εἰσὶν ἀπείρατοι ξένων, τουτέστι, φιλόξενοί εἰσι. 32a B BU

34a. λέλογχε δέ: ὁ νοῦς· πέφυκε δὲ τοῖς μεμφομένοις τοὺς ἀγαθοὺς οὕτω τήκεσθαι ὥσπερ ὑπὸ πυρὸς ὕδωρ, οὐκέτι BDPU

1 καὶ om. D 2 θάμα P 3 μναστὴρ DU ὀλυμπιακῶν BU ἀεθλευμάτων U 4 l. B: πολλῶν ἐπέβαν DP om. U 5 ἐπέβαν D 6 οἷον om. BD 8 l. BD: ἔσταν δ᾽ ἐπ.᾽ αὐλ. P ἔσταν U αὐλείοις B αὐλίαις D 9 ποιητής] + τοῦτό φησι B γὰρ] δὲ DU χορὸς] λόγος P λέγειν ἐφ᾽ ἑαυτοῦ κυρίως B 10 ἐφ᾽ B: ἀφ᾽ cett. 11 ἔσταν P μέλπειν U 12 λέγῃ BP: λέγειν U om. D παρεσκευάσθαι h: παρασκευάσασθαι codd. 14 δῶρα] + φησι B διὰ om. U 15 ὁ δὲ νοῦς] ὁ λόγος ὡς ἀπὸ τοῦ χοροῦ U ἔστην δὲ] ἔστι U 16 δὲ om. U Tricl.; corruptum iud. b; δὴ Kayser lectt. Pind. p. 67 17 l. P: ὁ δὲ νοῦς B om. U οὐκ ἄπειροι γὰρ U: οὐκ ἄπειροι P οὐ γὰρ ἀπείρατοι B 18 τοὺς] τοῖς U ἐξ ἀλλοδ. γῆς ὑποδ. P 19 sch. 32b praem. θαμὰ δ᾽ ἀλλοδαπῶν οὐκ ἀπείρατοι ξένων B ἢ οὕτως U οἱ ἐκ τοῦ U χρομίου] + φησὶ B 21 l. PU: om. BD ὁ δὲ νοῦς BD πεφύκασι BD 22 οὕτω] οὕτ. D ὑπὸ πυρὸς ὕδωρ b: ὑπὸ ὕδατος πῦρ BDP Tricl. ὕδατος πῦρ U

δυνάμενον φέρειν τὴν θέρμην καὶ τὸν καπνόν. 36BD b. λέλογχε δὲ μεμφομένοις: Ἀρίσταρχος οὕτως· τοῖς δὲ τοὺς ἀγαθοὺς μεμφομένοις τοῦτο λέλογχε καὶ ὑποκείμενόν ἐστιν, οἷον ἀκολουθεῖ, ὥσπερ καπνῷ ὕδωρ φέρειν ἀντίον κατασβεννύναι. καταλείπεται δὲ τῇ ἀρχαίᾳ σημασίᾳ τὸ ἐσλός· καὶ ἡ ἀντίστροφος ἀπῄτει τὸ ῡ. ταῖς δὲ τοιαύταις παραβολαῖς χρῆται ἀποτόμως, οὐ λέγων τὸ καθάπερ. καὶ ὁ μὲν Ἀρίσταρχος ταῦτα. βέλτιον δὲ οὕτως ἀκούειν κατ' ἐναλλαγὴν πτώσεως· μεμφομένοις, ἀντὶ τοῦ μεμφομένους σβεννύειν ὡς ὕδατι καπνόν, ἵνα αὐτὸς ὁ ἀγαθὸς κατασβεννύῃ τὸν φθονερόν, ἀλλὰ μὴ σβεννύηται ὑπ' ἐκείνου. χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ ἀντὶ πυρός, ἐκ τοῦ παρακολουθοῦντος τὸ πρῶτον σημαίνων.

c. ἢ οὕτως· ὅτι τὸ ἐσλός ἀντὶ τοῦ ἐσλούς εἴρηται Δωρικῶς, καὶ ὅτι τὸ λέλογχεν εἶπεν ἑνικῶς ἀντὶ τοῦ λελόγχασι· λελόγχασι δὲ οἱ καταμεμφόμενοι καπνῷ ὕδωρ ἐπιφέρειν· ὅ ἐστι τοὺς ἐχθομένους αὐτῷ οἷός ἐστι καταπραΰνειν, ὥσπερ καπνῷ ὕδωρ ἐπιφέρων. d. τινὲς οὕτως· ὡς ὕδατι καπνὸν σβεννύουσι καὶ πῦρ, οὕτω τοὺς ἐσλοὺς σβεννύουσιν οἱ φθονεροὶ μεμφόμενοι. e. ἄλλως. οὐκ ἀνύουσιν οἱ φθονεροὶ μεμφόμενοι τοὺς ἀγαθούς· ὁ γὰρ ἀγαθὸς ἀγαθός ἐστι, κἂν μυριάκις μέμφωνται αὐτόν. 34aBD

BDPU 36. *τέχναι δ' ἑτέρων ἕτεραι*: τουτέστιν ἄλλοι ἄλλα

---

1. 2 l. **BD** et praem. ἄλλως **U**: ἄλλως **P** 2. 3 τὰ ἀγαθὰ **U** τοῦτο] + καὶ **P**? 4 καπνῷ om. **P** κατασβέννυται **P** ⟨καὶ⟩ κατασβεννύναι **b** (ὡς) κατασβ. Schnitzer p. 45 (interpretandi causa?) 5. 6 καὶ ἡ] ἡ γὰρ **b** ex Monac. Ft. καὶ ἡ ἀντ. ⟨δὲ⟩ 6 ἀπαιτεῖ Bergk[4] p. 27 τοιαύταις] αὐτ(αῖς) **U**[cp] 10 αὐτὸς] αὐτὴν **D** κατασβεννύῃ] σβεννύῃ **P** 11 σβεννύηται] σβέννυται **D** 12 πρῶτον] πρᾶγμα **P** σημαῖνον **DP** 13 ὅτι om. **BD** ἐσλός **DP**: ἐσλώς **B** ἐσλόν **U** ἐσλοῦς **D**[ac] 14 τὸ om. **PU** λελόγχασι semel **PU** 15 οἱ ⟨τοὺς ἀγαθοὺς⟩ καταμεμφ.? Abel φέρειν **D** ab ὅ ἐστι nov. sch. inc. Abel ὅ ἐστι] οἷός ἐστι Horn, del. q. s. οἷός ἐστι 16 ἀχθομένους **P** 17 ὕδωρ ἐπιφέρων.] ὕδωρ: — ὕδωρ δὲ ἐπιφέρων **D** 18 ἐσλοὺς **BP**: ἐσθλοὺς **U** καλοὺς **D** 19 ἄλλως — μεμφόμενοι om. **U** ἄλλως **P**: ἢ οὕτως **BD** οὐκ ἀνίκασιν **D** οἱ] τι οἱ **P** 19. 20 τὰ ἀγαθά **U** γὰρ] δὲ **D** (ἀλλ' ὁ ἀγ Tricl.) μέμφονται **P** 22 l. **BD**: τέχναι δ' ἑτέρων **PU** ἄλλοι] ἄλλος **P**

φιλοτεχνοῦσι. τοῦτο δὲ λέγει· πρὸς ἃ πέφυκέ τις, πρὸς ταῦτα ἀκολουθοῦντα τῇ φύσει ἰέναι, καὶ περὶ αὐτὰ ἐνεργεῖν. ἢ τέχνας, φησὶν ὁ Δίδυμος, ἀκουστέον τοὺς δόλους, ὅθεν καὶ τὸ ἀτεχνῶς παρὰ τοῖς Ἀττικοῖς· ἄλλαι δ' ἄλλων ἐπιτεχνήσιες. εἴρηται δὲ παρὰ τὸ Ὁμήρου (*N* 730).

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα.

38. μάρνασθαι οὖν Ἀρίσταρχος ἀντὶ τοῦ μάχεσθαι καὶ BDPU ἀντερίζειν φύσει χρώμενον κατὰ τρόπον καὶ μηδὲν παρὰ φύσιν πράττειν. μήποτε δὲ τὸ μάρνασθαι οὐκ ἔστι μάχεσθαι, ἀλλ' ἐνεργεῖν, ὥς φησι Δίδυμος, καὶ πραγματεύεσθαι, ὥστε εἶναι τὸ κεφάλαιον τοῦ λόγου· προσήκει δὲ ἀδόλως εὐθὺ πράττειν, καθ' ἣν εἴληχεν ἕκαστος φύσιν, ἢ ἔργῳ ἢ γνώμῃ.

37. χρὴ δ' ἐν εὐθείαις ὁδοῖς: Ἀριστόνικος· χρὴ καθ' BDPU ἣν γεγέννηταί τις φύσιν, ταύτῃ ἀκολουθεῖν καὶ μὴ βιάζεσθαι αὐτὴν εἰς ἄλλα τρέποντα, μηδὲ τῷ φθόνῳ μάρνασθαι πρὸς τοὺς ἀγαθούς, ἀλλὰ συνασκεῖν ἅ τις ἔχει ἐκ φύσεως. ὁ δὲ νοῦς· χρὴ δὲ ταῖς εὐθείαις ὁδοῖς βαδίζοντα καταχρῆσθαι ταῖς ἑαυτοῦ καὶ τῇ φύσει, μὴ δι' ἑτέρων ἐπιτηδευμάτων τὴν ἰδίαν ἐνυβρίζειν τέχνην.

39. πράσσει γὰρ ἔργῳ μὲν σθένος: συμπράσσει καὶ BDPU συνεργεῖ τοῖς μὲν ἔργοις ἡ ἀνδρεία, τοῖς δὲ βουλεύμασι καὶ λόγοις ὁ νοῦς· μετέβαλε δὲ τὸ Ὁμηρικόν (*Π* 630)·

ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ.

---

1 τοῦτο] τουτέστι D 2 ἰέναι ⟨χρὴ⟩ b (ad sensum recte) αὐτὰ] αὐτῷ U 3 δόλους BD: λόγους PU 4 ἄλλων| ἄλλην U ἐπιτεχνήσεις b 5 τὸ ὁμήρου b: τε ὁμήρῳ B (? cp. dub.) D τῷ ὁμήρῳ U τ( ) ὁμήρ( ) P^{cp} 7 οὖν] ἐν D ἀντὶ τοῦ om. PU 8 φύσει χρώμενον DPU: χρώμενον φ. χρ. B 9 μάχεσθαι U: μάρνασθαι BDP 10 καὶ πραγματεύεσθαι ante ὥς trp. U 11 εὐθὺ ἀδόλως B 12 ἕκαστος εἴληχε P 13 l. PU: om. BD ἀριστόνικος PU: ἄριστον οὖν BD 14 γεγέννηται Beck: γεγένηται codd. γένηται Tricl. 16 ἐκ φύσεως ἔχει U ὁ δὲ νοῦς om. D 17 δὲ om. U Tricl. βαδίζοντι D καταχρᾶσθαι B ταῖς codd. τοῖς h. Locus corruptus; ταῖς αὐτοῦ ἀρεταῖς Monac. non male 18 μὴ] καὶ μὴ Tricl. ἑτέρων] + δὲ D 19 ἐνυβρίζεις U 20 l. om. U σθένος B: σθένει D om. P συμπράσει P συμπράσσει γὰρ U 21 ἔργοις] + φησιν BD τοῖς βουλ. δὲ P

BDPU 40. οὕτω τῷ νῷ ὁ λόγος ἕπεται, ὥστε καὶ τὸ μέλλον προγνῶναι ἀκολούθως, ὧν ἐστι συγγενὲς καὶ συμφυὲς καὶ ἀκόλουθον· συγγενὲς γὰρ τὸ συμφυές.

BDPU 42. Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ: ὁ νοῦς· σοῦ δέ, ὦ Χρόμιε τοῦ Ἀγησιδάμου παῖ, περὶ τὸν τρόπον καὶ τὸν βίον ἀμφοτέρων ἡ χρῆσις ὑπάρχει, καὶ λόγων καὶ ἔργων· πρὸς ἀμφότερα χρήσιμος εἶ.

BDPU 43. τῶν τε καὶ τῶν: τῶν ἔργων καὶ τῆς συνέσεως. ἐνεργεῖς γὰρ καὶ προβουλεύῃ.

BDPU 44. οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον: πιθανῶς ὃ θέλει παραινέσαι τῷ Χρομίῳ, ἐφ' ἑαυτοῦ ἐξενήνοχεν· οὐκ ἐπιθυμῶ, φησί, κατακρύψαι θησαυρόν, ἵνα πλουτῶ, ἀλλὰ παρόντων τῶν ἀπὸ τοῦ πλούτου καὶ εὖ παθεῖν καὶ εὖ ἀκοῦσαι θέλω ἐξαρκῶν τοῖς φίλοις. τὸ δὲ ὅλον· δωρητικὸς γίνου.

BDPU 48a. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες: αἱ γὰρ ἐλπίδες καὶ αἱ μέλλουσαι, φησί, προσδοκίαι κοιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν. b. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις τοῖς φίλοις ἐπαρκέσει, οὗτος καὶ ἐλπίδος ποτὲ διαπεσὼν τῆς ἴσης τύχοι ἂν ἀμοιβῆς· ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα.

P 49a. ἐγὼ δ' Ἡρακλέος: οὐκ ἀφίσταμαι τοῦ Ἡρακλέους. ἢ οὕτως· ἐγείρω τὸν λόγον ὄντα ἀρχαῖον τὸν περὶ τῆς Ἡρα-
BDPU κλέους ἀρετῆς· ἀντέχομαι γὰρ αὐτοῦ καὶ ζηλῶ αὐτόν. b. ἐγὼ

---

1 οὕτω τοῖς λόγοις ὁ νοῦς ἕπεται cj. Abel καὶ om. P 2 ὧν PU: ὡς BD 4 l. BD: σέο δ' ἀμφὶ τρόπῳ (-ων U) PU ὁ νοῦς om. BD 5 τῶν τρόπων καὶ τῶν βίων U 7 ἀμφότερα] + γὰρ BD 8 l. P: om. U τουτέστιν BD (h. sch. cum priori continuato) τῶν (tert.) P: ἐπὶ τῶν BD om. U καὶ om. U 9 ἐνεργὴς P γὰρ om. U προβουλεύει P 10 l. BD: οὐκ—μεγάρῳ P οὐκ ἔραμαι U 11 ἐξεν. ἐφ' ἑαυτοῦ B ἐφ' BD: ἀφ' P ἐξ U Tricl. αὐτοῦ U ἐξήνεγκεν P 13 καὶ (pr.) om. U εὐπαθείας P 14 δωρητικὸν D[ac] δωρητ.] + φησι BD 15 l. om U Tricl. 16 μέλλουσαι] + φησι BD 17 εἰσίν om. U Tricl. ἔστι δὲ ὃ λέγει τοιοῦτόν τι U (Tricl.) τοῦ φίλ(ου) U 18 ἐπαρκέσαι Tricl. ἐκπεσὼν U (Tricl.) ἴσης] τύχης U τύχοι ἂν Mommsen: τύχοιεν U Tricl. τύχοι BD τύχῃ P ἂν τύχοι b 19 παρὰ] περὶ D om. U 20 cfr. sch. 49 d, f 21 τὸν (alt.) Monac. 486: τῆς P τῆς ego: τοῦ P 22 sq. l. BD: ἐγὼ δ' ἡρ. U om. P

δ' Ἡρακλέος ἀντέχομαι προφρόνως: ἐπαπορήσειεν ἄν τις, διατί τοῦ Ἡρακλέους μνημονεύει· οὐ γὰρ εὔκαιρος δοκεῖ ἡ μνήμη νῦν Ἡρακλέους. καί φαμεν, ὅτι βουλόμενος δεῖξαι, ὡς οἱ διαφανεῖς ἐν τοῖς ἔργοις καὶ τοῖς λόγοις ἀθάνατοι γίνονται τῇ μνήμῃ, διὰ τοῦτο μέμνηται Ἡρακλέους ἀρετῆς, ἐπιφέρων τοῖς τοῦ Χρομίου θαύμασιν· ὅτι ἐγὼ ἀντέχομαι ἐν ταῖς κορυφαῖς τῶν σῶν ἀρετῶν, καὶ μνημονεύω τῶν κατὰ τὸν Ἡρακλέα διηγημάτων. c. ἄλλως· ἐγὼ δ' Ἡρακλέος· διαπορεῖται τίνι ἀφορμῇ εἰς τοὺς περὶ Ἡρακλέους λόγους παρῆλθε· μηδεμίαν γὰρ ἔχειν εἰς τὰ παρόντα Ἡρακλέα οἰκείωσιν· | ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι οἴονταί τινες, ὅτι ὑπόθεσις αὐτῷ ἐδέδοτο τοιαύτη ὥστε μνησθῆναι τοῦ θεοῦ, ὅπερ ἐστίν, ὡς καὶ αὐτός φησιν Ἀρίσταρχος, ἀπίθανον. μήποτε δέ, ὅτι ἀεὶ ὁ Πίνδαρος ἐπαινεῖ τοὺς φύσει μᾶλλον τῶν ἐκ διδαχῆς περιγινομένων, ὁ δὲ Ἡρακλῆς τοιοῦτος. τοῦτο δὲ ἀπίθανον. τί γάρ, ὅτι τὴν πρώτην περὶ Ἡρακλέους γενομένην συμφορὰν ἰδίως ἐξύμνησεν, εἰς ἔνδειξιν τῶν φυσικῶν ἀγαθῶν; Ἡρακλῆς γὰρ μέχρι παντὸς ἐκ φύσεως ἀγαθὸς ὢν ἀνεφάνη, ὥστε οὐκ ἂν ὡμοίωσε τὸν ἔπαινον, ἓν μόνον τὸ περὶ τοὺς δράκοντας αὐτῷ διαπραχθὲν εἰπών· ἀλλ' εἴπερ ἄρα, ἀπὸ τῶν ἐπιφανεστέρων ἂν ἐπῄνει τὸν Ἡρακλέα. ὁ δὲ Χαῖρίς φησιν, ὅτι ὁ Χρόμιος πολλὰ συμπονήσας τῷ Ἱέρωνι κατὰ τὴν ἀρχὴν ἀμοιβῆς ἔτυχεν ἐξ αὐτοῦ, ὥστε ἐκ περιουσίας καὶ ἱπποτρο-

U (beside line 8); BDPU (beside line 11)

---

1 ἄν] δ' ἄν P 3 ἡ — ἡρακλ.] νῦν ἡ αὐτοῦ μνήμη P, addito μηδεμίαν πρὸς τὰ παρόντα ἔχοντος οἰκείωσιν (cfr. ad 10) 4 ἐν τοῖς λόγοις καὶ ἐν τοῖς ἔργοις D 7 κορυφαῖς] + ταῖς B τὸν om. B 9 cf. ad 3 τίνι ἀφορμῇ Tricl.: τόν( ) (cp. dub.) ἀφορμῆς U τὸν et λόγον Tricl. an παρεξῆλθε? 10 μηδεμίαν γὰρ ἔχειν scripsi ex P (ad 3): μηδὲ γὰρ παρεῖναι U τὰ P (ad 3): τὸν U 11 ὁ μὲν οὖν U: ἄλλως· ὁ μὲν οὖν BD ὁ δὲ P 12 ἐδίδοτο P ὥστε μνησθῆναι] ὅτι ἐμνήσθη D 13 καὶ om. U αὐτός φησιν ἀρ. (ὁ ἀρ. U) DPU: ἀρ. φησιν B 15 διαδοχῆς U περιγενομ U 16 γινομένην B 17 post ἐξύμνησεν sign. interrog. posuit Oxon. ἔνδειξιν] + δὲ B 18 γὰρ] μὲν γὰρ D ἐφάνη P 19 ἐμείωσε cj Schroeder 20 ἀπὸ] ἐπὶ U 21 χαῖρε D 22 χρώμιος U συμπονέσας U ἱέρωτι D 23 ἐξ . .' | αὐτοῦ B ὥστε] + καὶ P

φῆσαι· ὡς οὖν οὗτος ἔπαθλον πόνων ἔλαβε τὴν ἐπιφάνειαν, οὕτω καὶ Ἡρακλῆς πολλὰ ταλαιπωρήσας ἔπαθλον ἔσχε τὴν ἀθανασίαν καὶ τὸν γάμον τῆς Ἥβης. καὶ πρὸς τοῦτον δὲ ἔνεστιν εἰπεῖν· τί δήποτε ὁ Πίνδαρος ἰδίως τὸν ἔπαινον τὴν τοῦ Ἡρακλέους παρέλαβε συμφορὰν εἰς ἐπίδειξιν τῆς φιλοπονίας; μᾶλλον γὰρ ἔδει κοινότερον πάντας τοὺς ἄθλους εἰς ὑπόμνησιν ἀγαγεῖν, ὅτι καθήρας γῆν καὶ θάλασσαν ἀπεθεώθη. ὁ δὲ Χρύσιππος Νεμεακὸν εἶναί φησι τὸν ἀγῶνα καὶ ἐπὶ τούτῳ δὴ τὸν ἐπίνικον· διά τε τὸ Νεμεαῖον εἶναι τὸν λέοντα, ταύτῃ τὸν Ἡρακλέα τοῖς τοῦ νενικηκότος ἐπαίνοις ἐγκαταμεμίχθαι. ἀντιπράττει δὲ καὶ τούτῳ τὸ μηδ᾽ ὁτιοῦν τὸν Πίνδαρον [εἰπεῖν] περὶ τοῦ λέοντος, ὅπερ αἰτιώτατον τῆς παρεκβάσεώς φησιν ὁ Χρύσιππος εἶναι. βέλτιον δέ φησιν ὁ Δίδυμος ἐκεῖνο λέγειν, ὅτι ὃ περὶ τῆς Αἴτνης ἔφη, τοῦτο καὶ νῦν βούλεται δηλοῦν ὁ Πίνδαρος (P. I 33)· ναυσιφορήτοις δ᾽ ἀνδράσι πρώτη χάρις ἐς πλόον ἐρχομένοις πομπαῖον ἐλθεῖν οὖρον. τοιοῦτο λέγοι ἄν τι καὶ ἐπὶ τοῦ Χρομίου· ἐπεὶ νῦν ἦρκται ἀγωνίζεσθαι καὶ ἀρξάμενος εὐθὺς ἐνίκησεν, ἐλπίς ἐστιν αὐτὸν καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων. πρὸς τί οὖν τὸ περὶ Ἡρακλέους ὑπόδειγμα; ὅτι καὶ ὁ Ἡρακλῆς βρέφος ἔτι ὢν μεταχειρισάμενος τοὺς δράκοντας, καὶ τοὺς αὖθις ἄθλους

---

1 ἔλαβε πόνων BD 2 ἔσχε] ἔλαβε P 3 καὶ (pr.) om. U τοῦτο D 4 ἰδίως τὸν ἔπαινον PU: ἰδιώτην ἐπαινῶν BD. Utrumque falsum; ἰδίως τὴν ἐκ παίδων (om. q. s. τὴν) conieci de rec. interpr. Pind. p. 9; ἰδίως τὸν ἔπαινον εἰς (s. ἰδίως ἐπαινῶν) τὴν ⟨πρώτην⟩ Maas WklPh 1903 col. 1171 5 post συμφοράν sign. interrog. pos. Maas l. l. (perperam) 7 καθήρας D καὶ θήρας B: καθάρας PU 8 χρήσιππος U 8—9 ἐπὶ τούτῳ δὴ τὸν scripsi l. l.: τὸν ἐπὶ τούτῳ δῆλον codd. τὸν ἐπὶ τούτῳ δὴ b 9 νεμαῖον D τὸν om. U 10 ἐγκατεμεμῖχθαι P 12 εἰπεῖν om. PU; seclusi τοῦ om. BD τῆς παρεκβάσεως a, Feine: τῆς παραβάσεως BDP τοῖς π(ερὶ) βασιλ(έως) U 13 ὁ om. U χρήσιππος DU 15 δ᾽ om. D 16 εἰς πλεῖν BD ἀρχομ. πεμπαῖον ὀτρύνων οὖρον D 17 λέγοι ἄν τι καὶ BD: ἄν τι λέγοι καὶ P τι λέγῃ ἄν τις U 18 ἐλπὶς] + δ(ὲ) DU 19 πήξεσθαι D 20 ἡρακλέους] + ἐστὶν B καὶ om. P ὁ om. B?r

κατεπράξατο· καὶ ὥσπερ τούτου περὶ τὸν Ἡρακλέα γεγενημένου ὁ Ἀμφιτρύων Θηβαῖον ὄντα τὸν Τειρεσίαν προανέκρινε περὶ τοῦ παιδός, ὁ δὲ προεμαντεύσατο τοὺς ἐσομένους αὐτῷ ἄθλους, οὕτως αὐτὸς ὁ Πίνδαρος ἀπὸ τῆς πρώτης τοῦ Χρομίου νίκης προμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται. d. ὁ δὲ νοῦς· ἐγὼ δ' ἐφίεμαι καὶ οὐκ ἀφίσταμαι BD τοῦ Ἡρακλέους, ἐγείρων τὸν λόγον ὄντα ἀρχαῖον τὸν ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν, οὗ κορυφαῖς τὸν ἐμὸν ὁπλίζων καὶ ἐγείρων λόγον· ἀντέχομαι γὰρ καὶ ζηλῶ αὐτόν. e. ἢ οὕτως· BDPU ἐν ταῖς κορυφαῖς τῶν ἀρετῶν τὸν ἐξ ἀρχῆς παροτρύνων περὶ αὐτοῦ λόγον, οἷον ἀπ' ἀρχῆς τῶν περὶ αὐτὸν γεγονότων μνημονεύων. 58b D f. ἢ ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν κορυφαῖς U τὸν ἐμὸν ὁπλίζων καὶ διεγείρων λόγον.

53. *ὡς ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος αὐτίκα*: διηγήσομαι, φησίν, ὅπως ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς BPU ἦλθε τὰς ἡλιακὰς ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς, ἅμα τῷ ἀδελφῷ Ἰφικλεῖ διδύμῳ ὄντι ἐκφυγὼν τὴν ὠδῖνα. 56 B

54 a. *θαητὰν εἰς αἴγλαν*: τὴν λαμπρὰν ἡμέραν καὶ θαυμαστήν. BPU b. ἄλλως. ἤτοι τὴν ὁρατὴν αἴγλην, τὸ φῶς· ἢ τὴν αἰτίαν τοῦ θεάσασθαι ἡμᾶς· καθὸ καὶ μητέρα τοῦ Ἡλίου Θείαν διεπλάσαντο· θέας γὰρ αἴτιος ἡμῖν ὁ θεός. 58b B

56. *διδύμῳ σὺν κασιγνήτῳ*: τῷ Ἰφικλεῖ. ἐναντίως BPU τῷ Θεοκρίτῳ. ἐκεῖνος γάρ φησι (24, 2)· καί νυκτὶ νεώτερον Ἰφικλῆα. 54 B

---

20 Hesiod. theog. 371. sch. Isthm. V 1

---

2 ὁ om. U προσανέκρινε U προέκρινε D 4 οὕτως] + καὶ U 8 sq. cfr. sch. 49 f. οὗ] οὐ D τῶν ἐμῶν D ὁπλίζω καὶ ἐγείρω b; sed vitium altius latet 9 ἢ οὕτως] τὸ δὲ ἑξῆς PU 11 λόγων D οἷον om. D αὐτῶν U 12 cfr. sch. 49 d 14 pro sch. 53—56 lac. 3 vers. D l. B: ὡς ἐπεὶ (ἐπὶ U) σπλάγχνων PU 15 ὅπως] ὅπερ B 18 l. P: [θ]αυτὰν εἰς αἴγλ(αν) U om. B ἡμ. δὲ λαμπρὰν B, om. τὴν 19 ἄλλως P: om. BU ἤτοι] ἢ U αἴγλαν U 20 τοῦ (alt.) om B 21 συνεπλάσαντο U 22 l. U: διδύμῳ P om. B τῷ ἰφ. om. B ἐναντίως PU: ἐναντίος οὗτος B ἐναντίον Tricl. 24 ἰφικλέ(α) B

BDPU 58a. *κροκωτόν:* ἤτοι ἀπὸ τῆς χρόας κροκοειδές, ἢ ἀπὸ τῆς κρόκης ὑφαντόν. 59BD b. διηγήσομαι οὖν, φησί, καὶ ὅπως μὴ δυνηθεὶς διαλαθεῖν τὴν Ἥραν εἰς κροκοβαφὲς ὕφασμα ἐνετέθη σπαργανωθείς. 58a BD

BDPU 59. *ἀλλὰ θεῶν βασίλεια:* ὁ ἀλλά κεῖται ἀντὶ τοῦ δέ.

BDPU 60a. ταραχθεῖσα τῇ ψυχῇ καὶ ὑπερζέουσα τῷ θυμῷ, οὐ τότε ὅτε ἐνετέθη τῷ κροκωτῷ σπαργάνῳ, ἀλλ' ἔτι πάλαι, ὅτε BDU ἐμίσγετο τῇ Ἀλκμήνῃ ὁ Ζεύς. b. *σπερχθεῖσα:* ἐπιχυθεῖσα, λυπηθεῖσα.

BDPU 61. *τοὶ μὲν οἰχθεισᾶν πυλᾶν:* οἱ μὲν οὖν δράκοντες ἀνεῳχθεισῶν τῶν πυλῶν εἰς τὸ ἐσώτατον τῶν οἴκων παρεγένοντο, ἔνθα κατέκειτο ὁ παῖς. 64b BD

PU 64a. *ἀμφιελίξασθαι:* ἐκ τοῦ προηγουμένου καταφαγεῖν· οὕτω γὰρ εἶπε τὸ ἀμφελίξασθαι, ἐπεὶ μεγαλοστομώτατόν ἐστι τὸ ζῷον καὶ ὅμοιον τῇ εἰλήσει τὴν κατάποσιν ποιεῖ. 64c BD

BDPU b. τὸ δὲ χ' ὅτι ἀντὶ τοῦ μασᾶσθαι ἀπὸ τοῦ παρεπομένου δεδήλωκε, διὰ τὸ συστρέφειν τὰς γνάθους τοὺς μασωμένους.

BDU 64a BD c. *ὃ δ' ὀρθὸν μὲν ἄντεινε κάρα:* ὁ δὲ Ἡρακλῆς ὀρθώσας ἑαυτὸν πρώτης ταύτης τῆς μάχης πεῖραν ἐλάμβανε. 67BD

---

1 κροκωτόν P: κρ δὲ BD κρ. δὲ σπάργανον U ἤτοι] ἢ U* τὸ κροκοειδ. BD 2 τὸ ὑφαντ. BD l. null. PU: ὥστ' οὐ λαθὼν χρυσόθρονον ἥραν BD καὶ om. D 3 δυνηθεὶς B Tricl.: -θῆς PU -θὴς? D 4 ἐνετέθη h: ἐπετέθη codd., Tricl. 5 l. BDP: ἀλλὰ θεῶν U ἀντὶ τοῦ δέ κεῖται U τοῦ om. P 6 ταραχθεῖσα] + δὲ BD τὴν ψυχὴν P ὑπερζέσασα U Tricl. 7 κροκωτῷ σπαργάνῳ] κρόκῳ P 7. 8 ὅτε ἀλκμ. ἐμίσγ. P 8 τὸ δὲ σπερχθ. B τὸ δὲ σπ. ἀντὶ τοῦ D ἐπιχυθεῖσα Beck: ἐπιχεθεῖσα B ἐπεισαχθεῖσα U om. D ἐπειχθεῖσα Schroeder 9 ἢ λυπ. ἔπεμψε τοὺς δράκοντας U 10 l. BD: τοὶ μὲν οἰχθ. P τοὶ U οὖν om. U 11 ἀνοιχθεισῶν U 13 l. (sed ἀμφελίξασθαι) P (Tricl.): [ὠ]κείας γνάθους U 14 ἢ ἐπεὶ BD 15 ποιεῖται U 16 τὸ δὲ χ' ὅτι] τὸ δὲ χ^ω ὅτι U τὸ χ̄ τέθεικεν Tricl. τὸ δὲ ἀμφιελίξασθαι (ἀμφελ. D) BD ἢ P ἀντὶ τοῦ] τὸ Tricl. μασσᾶσθαι B 17 δεδήλωκε] + τουτέστι καταφαγεῖν BD τοὺς om. P μασωμένους D Tricl.: μασσωμ. BP μασσομ. U 18 l. BD: ἔντεινε κάρα U ἀνέτεινε D ἡρακλῆς] + φησιν BD 19 πρώτης] πρὸ U

66a. *πειρᾶτο δὲ πρῶτον*: αὔτη γὰρ πρώτη μάχη PU ἐγένετο Ἡρακλεῖ ἡ πρὸς τοὺς δράκοντας. b. εἰσὶ δὲ οἳ BDPU ὑπὸ Ἀμφιτρύωνος ἐπιπεμφθῆναι τοὺς ὄφεις λέγουσιν ἐπὶ διαπείρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διός, ὡς Φερεκύδης (FHG I 77 M, I 79 J), ἐνιαυσίοις οὖσιν ἤδη· καὶ ὁ μὲν Ἰφικλῆς, ὥς φασι, φεύγει, ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας ἀμφοτέρους ἀπέπνιξε. 69 BD

67. *δισσαῖσι*: καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο θῆρας BDPU ἐκ τῶν αὐχένων σφίγξας οὕτως ἀφύκτως κατεῖχεν. 66b BD

69. *ἀγχομένοις δὲ χρόνος*: τούτους οὖν, φησί, τοὺς BDPU δράκοντας στρεβλουμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον, καὶ νεκρὸν εἴασαν τὸ παμμέγεθες σῶμα.

69. *μελέων ἀφάτων*: ἀρρήτων, οὐκ ἐπιδεχομένων τὸ BDPU φατισθῆναι διὰ τὸ μέγεθος· ἢ φθαρτικῶν ἄγαν, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ᾱ· φάσαι γὰρ τὸ φθεῖραι, ὅθεν καὶ τὸ φάσγανον.

71. *ἐκ δ' ἄρ' ἄτλατον δέος πλᾶξε γυναῖκας*: ἐξέπληξε BDPU δὲ τοῦτο τὸ ἀνυπομόνητον κακὸν τὰς ἐκεῖσε γυναῖκας πάσας, ὅσαι ἔτυχον περὶ τὴν θεραπείαν τῆς Ἀλκμήνης καὶ τὴν κοί-

---

3 Apollod. 2, 4, 8 4 Apollod. 2, 4, 8, 4 13 Hes. *ἄφατον* 14 Orion 160, 27. EM 788, 41. EG 403, 41; 549, 44; 54. sch. B *Α* 190. Ap. Soph. 161, 19. Eust. *ρ* 455 (1827, 63). Hes. *φάσγανον*. Phot. *πρόσφατος*

---

2 *δὲ* **PU** Tricl.: *οὖν* **BD** 3 *ἐπιπεμφθῆναι* **B**: *ἐπιπεμφθεῖναι* **P** *ἐπιμεμφθῆναι* **U** *πεμφθῆναι* **D** Tricl. *ὄφεις*] *δράκοντας* **U** Tricl. *λέγουσιν* **PU**: *φασὶν* **BD** *ἐπὶ διαπείρᾳ* **BD**: *ἐπεὶ διαπειρᾶται* **PU** 4 *φερεκύδης*] + *φησὶν* **BD** 5 *οὖσιν*] *ἔσιν* **D** *οὖσιν πάλαι* (sed *πάλαι* delet.) **P** 6 *ὥς φασι* om. **BD** (hab. Tricl.) *ὁ δὲ*] + *ἡρακλῆς* **U** (Tricl.) *εὐνῆς*] *γονῆς* **D** 8 l. Tricl.: *δισσαῖσιν* **P** *δισσαῖς* **U** om. **BD** (continuata paraphrasi post *ἐλάμβανε*) *καὶ* om. **U** *ἑαυτοῦ*] *αὐτ(οὺς)* **U** 9 *οὕτως* om. Tricl. *κατέσχεν* **PU** (*ἐκράτει* Tricl.) 10 l. **BDU**: *ἀγχομένους* **P** *τούτους* — 11 *στρεβλ.*] *στρεβλ. δὲ τοὺς δράκοντας* **P** 13 l. **PU**: *ἀφάτων μελέων γάρ φησιν ἀντὶ τοῦ* **BD** 14 *τὸ* om. **BDP** *ἄγαν φθαρτ.* **U** *φθαρτικῶν*] *φθαρῆναι* **D** 15 *φάσαι* **BD**: *φθάσαι* **U** *φᾶσαι* **P** (*φᾶσθαι* EM) *ὅθεν* **PU** Tricl.: *ἔνθεν* **BD** *τὸ* om. **U** Tricl. 17 l. **BD**: *πλᾶξε γυναῖκας* **P** om. **U** 18 *ἀνυπόμνητον* **D** *ἀνυπονόητον* **P** *ἐκεῖ* **D**

P τὴν. (73.) συνεχῶς δὲ ὁ Πίνδαρος τὸ ἀρήγειν τάσσει ἐπὶ τοῦ θεραπεύειν.

BDPU 74a. *καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρούσαισ'*: τὴν ἄπεπλον οὐ δεκτέον γυμνήν· ἀπρεπὴς γὰρ ἡ εἰκών· ἀλλὰ νοητέον, ὅτι τὸν μὲν πέπλον ἔρριψεν, ἐν δὲ τῷ χιτωνίσκῳ ἀνήλατο νεοτόκος οὖσα. 76 BD b. καὶ γὰρ αὐτὴ ἡ Ἀλκμήνη ἄπεπλος αὐτοποδὶ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης ἐπὶ βοήθειαν ἠπείγετο πρὸς τὴν τῶν θηρίων βλάβην. 82b BD

BDPU 76. *ὕβριν κνωδάλων*: τὴν βλάβην τῶν δρακόντων. κνώδαλα κυρίως τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, καταχρηστικώτερον δὲ πᾶν θηρίον (ρ 317)·

κνώδαλον ὅ,ττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιῄδει. 74b BD

BDPU 82a. *τὸ γὰρ οἰκεῖον πιέζει*: ἕκαστος δάκνεται τῷ οἰκείῳ κακῷ, ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακά, εὐκόπως ὑπομένει. 85b BD b. ἄλλως· τὸ γὰρ οἰκεῖον καὶ ἴδιον κακὸν ὁμοίως πιέζει καὶ λυπεῖ τοὺς οἰκείους πάντας.

BDPU 83. *εὐθὺς δ' ἀπήμων*: περὶ δὲ τὰ ἀλλότρια συμπτώματα καὶ κακὰ ἀβλαβὴς καὶ ἄλυπος ἡ καρδία παραχρῆμα γίνεται. 82a BD 85b TU

BDPTU 85a. *ἔστα δὲ θάμβει*: ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βα-

---

10 sch P. X 56b

---

1 sch. 73 etiam Tricl. 3 l. D: καὶ — ἄπεπλος B ἄπεπλος ὀρούσασα P ἄπεπλος U ποσὶν B ὀρούσαις D 6 ἀνήλετο B ἀνήλλατο U ante sch. 74b l. omisi: ὁ δὲ νοῦς BD ἄλλως P καὶ γὰρ αὐτ(ὰ) U ἄπεπλος scripsi: μονόπεπλος codd. μονοχίτων? Bergk Philol. XVI p. 601 7 αὐτοποδητὶ BD 8 ἐπείγεται P 9 l. P Tricl.: [ἀ]μῦνος ὕβριν U om. BD δρακόντων] + ἐκφεύγουσα BD (h. sch. cum 74a continuato) 10 κνώδαλα U: κν. δὲ BD Tricl. κν. γὰρ P τῇ θαλάσσῃ] $\tau\eta\rho^{\alpha\sigma\sigma\eta}$ D παρὰ τὸ κινεῖσθαι ἐν τῇ ἁλί U ἀπὸ τοῦ κνώσσειν ἤτοι διατρίβειν ἐν τῇ ἁλί Tricl. (cfr Et. Gud. 331, 12) ἐν ἁλὶ om. P 11 καταχρηστικῶς δὲ (+ καὶ B² Tricl.) πᾶν B Tricl. θηρίον] + ὡς καὶ ὅμηρος BD 12 ὅττι B: ὅτι DPU δήλοιτο P ἵειτο U ἴχνεσι γὰρ] ἴχνισσι πᾶν U 13 l. P: τὸ γὰρ οἰκ. U Tricl. ἄλλως BD 15 ἄλλως P: ἢ U τὸ γὰρ οἰκ. πιέζει BD οἰκεῖον καὶ om. P 16 οἰκείους suspectum 17 l. om. BD Tricl. δὲ om. U 20 *inc. f. 88r* T (a sch. 85b) l. P: ὁ δὲ νοῦς οὕτως BD ἄλλως TU

ρυτάτη καὶ τέρψει πολλῇ συγκραθείς. Ὅμηρος (Z 484)· δακρυόεν γελάσασα. καὶ ἐν ἄλλοις (τ 471)· τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα. 86 BDT 88 U

85b. δυσφόρῳ τερπνῷ τε: δυσυπομονήτῳ. πῶς δὲ BDPTU ταὐτὸν δυσυπομόνητον καὶ τερπνόν; ὅτι μὲν δρακόντων ἦν ἔφοδος ἐπὶ νεογνὰ τὰ τέκνα, δύσελπις ἐγένετο· ἐπεὶ δὲ εἶδεν αὐτοὺς ἀγχομένους ὑπὸ Ἡρακλέους, ἐτέρφθη. διὸ ἐξεπλάγη δυσφορῶν ἅμα καὶ τερπόμενος. 85a BDT

86a. ἐκνόμιον: ἤτοι ἀπὸ τῶν παρὰ τοὺς νόμους τινὰ BDPTU πραττόντων καὶ βιαζομένων, ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες. b. ἐθεάσατο γὰρ ἄηθες καὶ οὐ νομιζόμενον δυνάμεως ἔργον τοῦ Ἡρακλέους. 85a U

88. παλίγγλωσσον δέ οἱ ἀθάνατοι: τὴν ἐναντιόφημον, BDPTU τὴν ἐναντίον τοῖς προηγγελμένοις τὸν λόγον ἔχουσαν· οἱ μὲν γὰρ ἄγγελοι ἐσήμαινον, ὅτι νεκρὰ ἦν τὰ βρέφη, ὁ δὲ εὗρε σώους τε καὶ ὑπ' αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους· ἐναντίον οὖν ἐγένετο τοῖς ὁρωμένοις τὸ ἄγγελμα, | ὅ ἐστιν ἐναντιόφημον. BD

90. γείτονα δ' ἐκκάλεσαν Διὸς ὑψίστου προφάταν BPTU ἔξοχον: ἐκάλεσεν δὲ τὸν ἔξοχον προφήτην τοῦ Διός, πλησίον ὄντα, τὸν ἀληθῆ μάντιν Τειρεσίαν.

92. ὁ δέ οἱ φράζε καὶ παντὶ στρατῷ: ὁ δὲ μάντις BPTU

---

5 sch. Z 484 9 Soph. fragm. 922

---

2 δακρυόεις B δακρύειν U γελάσασι D τὴν δ' codd. Hom.: τῇ δ' B τὸ δ' D τὸν δ' PTU 3 φρένας TU 4 l. P: ἔστα δὲ θάμβει δυσφόρῳ BD ἔστα δὲ θάμβει TU 6 ἐπὶ BD: ἐπεὶ PTU ἐπεὶ δὲ PU Tricl.: ἐπεὶ T καθὸ δὲ BD εἶπεν D 7 αὐτῇ D δεχομέμους P εὐχομένους T 9 ἐκνόμιον TU: ἐκν. λῆμα P εἶδε γὰρ ἐκν. λ. D εἶδε γὰρ ἐκν. λ.: ἐκνόμιον λῆμα B τῶν] τοῦ T 10 καὶ BDP: ἢ καὶ TU τοῦ νομοῦ TU καθὸ — βόες om. TU 11 sch. 86b praem. ὁ δὲ νοῦς BD ἄλλως P ἢ οὕτως TU 12 τοῦ PTU: τοῦ υἱοῦ, τουτέστι τοῦ BD 13 l. BD: παλίγλωσσον δέ οἱ P Tricl. παλίγλ. δὲ U παλίγγλ. T 14 τὴν (pr.)] ἢ τὴν U τὴν ἐναντίον om. D γὰρ om. T 15 ἄγγελοι] ἄλλοι P 16 ὑπ'] ἐπ' P 17 ὁρωμένοις BD: εἰρημένοις PTU (τοῖς ἀγγελθεῖσι τὸ θέαμα Tricl.) 18 l. B: γείτονα δ' ἐκκάλεσαν P γείτονα δέ TU ἐκάλεσαν B 19 ἐκάλεσε(ν) δὲ BPT: ἐκάλεσαν U 21 l. B: ὁ δέ οἱ φράζε P Tricl. ὁ δέ οἱ T om. U μάντις om. P Tricl.

Τειρεσίας εἶπεν αὐτῷ, τῷ Ἀμφιτρύωνι, καὶ ὅλῳ τῷ ὄχλῳ τῶν Θηβαίων, ὁποίαις συντεύξεται καὶ συναναστραφήσεται πράξεσί τε καὶ τύχαις ὁ Ἡρακλῆς.

BDPTU 96. *θῆρας ἀϊδροδίκας: ἀπέκτεινε γὰρ καὶ τὸ κῆτος τὸ ἐν τῇ Τρωάδι. μέμνηται δὲ τούτου καὶ Ὅμηρος* (*Υ* 146)·

τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο. 97c BDTU

BDPTU 97a. *καί τινα σὺν πλαγίῳ: καί τινα συμβήσεται ἄνδρα ἄδικον πλούτῳ ἐπαιρόμενον δίκην ὑποσχεῖν καὶ ἐχθροτάτῳ καὶ ἀπευκτῷ μόρῳ περιπεσεῖν. εἶπεν αὐτῷ καὶ τοῦτο ὁ μαντευόμενος Τειρεσίας.* 100BD b. *ἄλλως. καί τινα σὺν πλαγίῳ: οὐ κατ' εὐθὺ ἰόντι, οὐκ ἀπὸ τοῦ δικαίου περιουσιαζομένῳ. μετῆκται δὲ ἀπὸ τῶν κακούργων· οὐ γὰρ τὴν λεωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι, τὰς ἐρήμους. τείνει δὲ ὁ λόγος ἐπὶ Βούσιριν καὶ Ἀνταῖον· οὗτοι γὰρ δι' ὕβριν ὑφ' Ἡρακλέους ἀπώλοντο ἑκάτεροι.* 97a BD 101 TU c. *καί τινα σὺν πλαγίῳ: πρὸς τὸ ὀρθὸν τοῦ λόγου ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν ἀκουστέον, ἵν' ᾖ· καί τινι ἀδίκῳ ἀνδρὶ αὐτόν, τὸν Ἡρακλέα, ἔφασκε δώσειν μόρον, ἀντὶ τοῦ τοὺς ἀδίκους ἀνελεῖν.* 97b BD 97a TU

BDPTU 100. *καὶ γὰρ ὅταν θεοί· καὶ ὅταν οἱ θεοὶ τοῖς Γίγασιν εἰς μάχην συνάπτωσιν· ἔξωθεν γὰρ τὴν εἰς πρόθεσιν παραληπτέον.* 104TU

BDPTU 101. *Φλέγρα τόπος ἐν Θρᾴκῃ καὶ κώμη, ἔνθα οἱ Γίγαντες ἀνῃρέθησαν ὑπὸ θεῶν. τῶν δὲ ἐχόντων τὴν μάχην πρὸς τοὺς*

---

4 l. **PTU**: *ὅσσους* (*ὅσους* **D**) *δ' ἐν πόντῳ θῆρας* **BD** *γὰρ*] *δὲ* **U** *καὶ* om. **U** Tricl. 5 *τριάδι* **D** *καὶ* om. **U** 6 *τό ῥά οἱ*] *τό ρααςοἱ* **T** *τὰ ῥά οἱ* **U** *καὶ*] *τε καὶ* **D** 7 *ὑπεκφυγὼν* **BD** 8 l. **PTU**: *ὁ δὲ νοῦς* **BD** 9 *ἄνδικον* **B**[ac] *πλούτῳ*] *πάντων* **D** *καὶ* **B**: om. **DPTU** 10 *ἀπευκταίῳ* **P** *εἰπεῖν* **B** 11 *ἄλλως*] *ἢ* **U** om. **D** l. **TU** Tricl.: *σὺν πλαγίῳ* (*πλαβίῳ* **D**) **BD** om. **P** 12 *ἰόντι* **b**: *ὄντι* codd. *οὐκ*] *οὐ καὶ* **T** 13 *οὐ*] *καὶ* **U** 14 *εἰστρεπόμενοι* **TU** *τὸν λόγον* **U** 16 *ἀμφότεροι* **P** l. **BD**: *σὺν πλ. ἀνδρῶν κόρῳ* **P** *σὺν πλ.* **TU** 17 *τῷ λόγῳ* **TU** 18 *ἵν' ᾖ* om. **D** 20 l. **BDP**: *ἄλλως* **T** *ἢ οὕτως* **U** *καὶ* om. **U** *ὅταν*] + *δὲ* **D** *οἱ θεοὶ* om. **D** 21 *ἅπτωσιν* **T** *τῆς εἰς προθέσεως* **T** 23 l. null. **BD**: *καὶ γὰρ ὅταν θεός* **TU** *ἐν πεδίῳ φλέγρας* **P** *φλέγρα*] + *δὲ* **BD** 24 *τῶν δὲ*] + *θεῶν* **U** (Tricl.) *τὴν* om. Tricl.

Γίγαντας καὶ μὴ περιγινομένων τῆς μάχης, φασὶν εἰρηκέναι τὴν Γῆν μὴ ἄλλως ἁλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων· Ἡρακλέους τοίνυν καὶ Διονύσου συνελθόντων ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων. προεῖπεν οὖν ὁ μάντις ὅτι καὶ τὴν ἐκεῖ τὴν ἐν τῇ Φλέγρᾳ πρὸς τοὺς Γίγαντας μέλλοι ἔσεσθαι, ὅτε ὁ πόλεμος τῶν θεῶν ὑπὸ τοῖς τοῦ Ἡρακλέους τόξοις πεσοῦνται, καὶ τὴν κόμην αὐτῶν τὴν φαιδίμην συμφυρήσεσθαι τῇ γῇ συμβήσεται. 100 TU

104. *γαίᾳ πεφυρήσεσθαι κόμαν*: διὰ τοὺς ἀγῶνας τοὺς **BDPTU** πρὸς τοὺς Γίγαντας. σκληρότερον δὲ ἐξενήνεκται· μᾶλλον γὰρ ἐπὶ νεκροῦ ἑλκομένου τάσσεται τὸ τοιοῦτο. Ὅμηρος (Χ 405)· ὣς τοῦ μὲν κεκόνιστο κάρη ἅπαν.

105. *ἔννεπεν αὐτὸν μὲν ἐν εἰρήνᾳ*: ὁ νοῦς· καὶ τοῦτο **BDPTU** δὲ προεῖπεν αὐτῷ ὁ μάντις, ὅτι καὶ τοῦ λοιποῦ αὐτός, ὁ Ἡρακλῆς, ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διάξει, ταύτην ἀμοιβὴν τῶν ἑαυτοῦ πόνων λαβών, καὶ ὅτι λήψεται μὲν γυναῖκα τὴν θαυμασίαν Ἥβην παρ' αὐτῷ τῷ Διῒ τελουμένης τῆς εὐωχίας τοῦ γάμου, οὗτινος Διὸς καὶ θαυμάσει τὴν σύνοδον, εἷς δὲ ἐκ τῶν θεῶν γενόμενος σύννομος ἔσται τοῖς οὐρανίοις θεοῖς.

108. *ποινάν*: τὴν ποινὴν ὁ Πίνδαρος ἰδίως ἐπὶ ἀγαθοῦ **PTU**

---

20 sch. *E* 266. Eust. ibid. (546, 23) et *P* 207 (1102, 55)

---

1 καὶ om. Tricl. μὴ om. **P** τῇ μάχῃ Beck φησὶν **P** **5** τὴν (alt) om. **D** μέλλει **TU** **6** ἔπεσθαι **P** ἕπεσθαι **T** ἕρπεσθαι **U** — Locus corruptus; μάχην ante μέλλοι add. **r**; [ὅτι] καὶ [τὴν ἐκεῖ] τὴν ἐν, deinde μάχην μέλλειν ἔσεσθαι, ὅτε ὁ πολέμιος **h**; ὅτι καὶ ἡνίκα ἐν τῇ φλ. πρὸς τοὺς γίγαντας μέλλοι ἔσεσθαι ὁ πόλεμος τῶν θεῶν, ὑπὸ τοῖς κτλ. v. Wilamowitz Pind. p. 497; ὅτε — θεῶν post φλέγρᾳ trp., τὴν ἐκεῖ τὴν del. Schr. ὑπὸ] καὶ ὑπὸ **U** **7** πεσοῦνται **PTU** Tricl.: πεσεῖται **BD** (edd. ante **a**) αὐτῆς **b** **9** l. **P**: γαίᾳ πεφ. **TU** om. **BD** πεφυρήσασθαι **T** τοὺς (alt.) om. **U** **10** σκληρ. ἐξήνεκται δὲ **U** **11** τὸ τοιοῦτο τάσσεται **B** ὡς ὅμ. **PTU** **12** τοῦ] τοὺς **U** κακόνιστο **D** ἅπαν om. **BD** **13** l. **BD**: ἔννεπεν αὐτὸν μέν **PT** ἔννεπεν **U** ὁ νοῦς] + δὲ **U** om. **BD** Tricl. **14** αὐτῷ **TU**: αὐτὸν **P** om. **BD** Tricl. **15** διάξει] διατελέσει **B** **17** στελουμένης **D** τελουμένη **T** **18** θαυμάσει] θαυμασίαν **P** ἐκ del. Bergk **19** ἔσται] ἐστὶ **D** **20** l. **U**: ποινήν **T** μεγάλων ποινᾶν **P** ἰδίως Tricl.: ἰδίᾳ codd.

τάσσει, ὅταν ἀμοιβὴ γένηται ἀντὶ κακοπαθείας εἰς ἀγαθόν. καὶ Ὅμηρος (*I* 632)· *καὶ μέν τίς γε κασιγνήτοιο φίλοιο ποινὴν ἢ οὗ παιδὸς δέξατο τεθνειῶτος.*

TU 111. *καὶ γάμον δαίσαντα: εὐωχήσαντα τοὺς θεοὺς τὸν Ἡρακλέα.*

TU 112a. *σεμνὸν αἰνήσειν: εὐαρεστήσειν τῷ παρὰ θεοῖς νόμῳ.* b. *ἢ οὕτως· τὴν διανέμεσιν τὴν παρὰ θεοῖς ἐπαινέσειν.*

Scholia in Nemeonicarum carmen II.

DTU *Τιμοδήμῳ Ἀθηναίῳ Ἀχαρνεῖ παγκράτιον.* 1c D 1d DT

BDPTU *Ἡ δευτέρα ᾠδὴ μονόστροφός ἐστιν, ἔχει δὲ κῶλα η'.*
BD *τὸ α' Γλυκώνειον. τὸ β' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ γ' λογαοιδικὸν Ἀλκαϊκόν. τὸ δ' δίμετρον δακτυλικόν. τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ϛ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ ζ' ἰαμβικὸν πενθημιμερές. τὸ η' δακτυλικὸν τετράμετρον.* 1c B 16b D

PTU 1a. *ὃν τρόπον, φησίν, οἱ Ὁμηρίδαι ῥαψῳδοῦντες ἀπὸ τοῦ*
BPTU *Διὸς ἄρχονται, οὕτω καὶ οὗτος ὁ ἀνὴρ | τὴν καταβολήν, τουτέστι τὴν ἀρχὴν καὶ τόν θεμέλιον τῶν ἱερῶν ἀγώνων ἀπὸ τοῦ Διὸς πεποίηται, Νέμεα νικήσας πρῶτον. Διὶ δὲ ἀνάκειται ὁ Νεμεακὸς ἀγών. ὅτι δὲ καταβολὰς ἔλεγον τὰς ἀρχὰς οὑτινοσοῦν ἔπους, Καλλίμαχός φησιν* (fr. 196)·

Ἀρσινόης, ὦ ξεῖνε, γάμον καταβάλλομ' ἀείδειν.

μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰς οἰκίας κατασκευαζόντων καὶ βαλλόντων τοὺς θεμελίους. ἐλπὶς οὖν, φησίν, ἐστὶν ἀπὸ Διὸς αὐτὸν ἀρξάμενον τῶν ἀγώνων καὶ μετὰ ταῦτα νικήσειν· ὃ καὶ

---

2 *καὶ* (pr.) om. P *γε*] *τε* Tricl., vulg. Hom. *φίλοιο*] *φόνοιο* s. *φονῆος* codd. Hom. 3 *ἐδέξατο* Tricl. cum codd. Hom. *τεθνειῶτος* om. TU Tricl. 6 l. U: *τὸ δὲ σ. αἰν. ἀντὶ τοῦ* T 7 *οὕτως* om. U 9 *παγκρατεῖ* D 10 *ἡ δευτέρα* BD: *ἡ* P *ἄλλως· ἰστέον ὅτι ἡ* T *ἰστ. ὅτι ἡ* U *η'*] *β'* P 14 *ἰαμβικὸν* D: *ἰωνικὸν* B *πενθυμιμ.* D 16 sch. 1a praem. *ὁ δὲ νοῦς* P 17 *ἔρχονται* T 22 *ξένε* TU 24 *θεμέλους* P *ἐστὶν* om. TU 25 *ἀρξάμ. αὐτὸν* B (*αὐτὸν* om. Tricl.)

ἐγένετο εὐθέως· μετὰ γὰρ τὴν Νεμεακὴν νίκην ἐστεφανοῦτο τὰ Ὀλύμπια. (9c B) | τὸ δὲ τὰ πόλλ' ἀοιδοί ἀντὶ τοῦ ὡς ἐπὶ PTU τὸ πλεῖστον. τοῦτο δὲ λέγει, ἐπεὶ οὐκ ἀεὶ ἀπὸ Διὸς ἤρχοντο, ἀλλὰ καὶ ἀπὸ τῶν Μουσῶν. b. ὅλοι γὰρ οὗτοι εἰς τὸν Δία BDPTU προοιμιασάμενοι τοὐντεῦθεν ἤδη τῆς ἐποποιΐας ἥπτοντο· τῷ δὲ μὴ διὰ παντὸς ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς προσέθηκεν ὁ Πίνδαρος τὰ πολλά, ἵν' ᾖ· ὡς ἐπὶ τὸ πλέον.

1f BD

1 c. Ὅθεν περ καὶ Ὁμηρίδαι: Ὁμηρίδας ἔλεγον τὸ μὲν BDPTU ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοὶ οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὓς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. ἦν δὲ ὁ Κύναιθος τὸ γένος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραφὼς ὕμνον ἀνατέθεικεν αὐτῷ. οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐραψῴδησε τὰ Ὁμήρου ἔπη κατὰ τὴν ξθ' Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν (FHG IV 433).

9 TU d. ἄλλως. τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολο-

---

9 Harpocr. s. v. Ὁμηρίδαι 15 Strab. XIV p. 645
19—p. 31, 20 cfr. Eustath. Il. p. 6, 12 οὐ μόνον δὲ γράμματα τὰ τοιαῦτα, ἀλλὰ καὶ ῥαψῳδίαι καλοῦνται διὰ τὸ κατὰ συνθήκην τεχνικὴν ῥάπτεσθαι οἷον τὴν ᾠδήν. καὶ φέρεται εἰς τὴν τοιαύ-

---

2 τὰ P Tricl.: τὸ TU 3 ἀεὶ om. T 4 τῶν om. P μουσέων T sch. 1b praem. ἄλλως PT ἄλλως· ὅπερ καὶ ὁμηρίδαι U ὅλοι BDTU: ὅλοι καὶ P ὅλως h. Locus corrupt. 5 παροιμ. P τὸ ἐντεῦθεν TU 6 διὸς] + τῆς ῥαψῳδίας B, sed delet. 9 l. BD et (praem. ἄλλως) T: ἄλλως P ἢ U 10 ἀπὸ] ἐκ D γένους ὁμήρου TU 11 ᾖδον κατὰ διαδοχήν D μετὰ δὲ ταῦτα BTU: μεταταῦτα δὲ D Tricl. μεταταῦτα P τοὺς ῥαψῳδοὺς et ἀνάγοντας Volkmann Gesch u Krit. d r Wolf'schen Prolegg. p. 260 13 κίναιθον PU (T l. n.) οὓς] οὗ P Tricl. ποιήσαντα P (om. Tricl) 14 τὴν] τοῦ P κίναιθος PU τὸ γένος om. BD 15 τὸν εἰς] τοῦ εἰς τὸν TU 16 ἀπόλλω D γεγραφὼς— αὐτῷ PTU: γεγραμμένον ὕμνον λέγεται (λέγ. ὕμν. D) πεποιηκέναι BD 17 κίναιθος PU ἐρραψ. Tricl. 18 ξθ'] ἕκτην ἢ τὴν ἐννάτην Welcker Ep. Cycl. I p. 243 19 ἄλλως BDP: ὅθεν περ καὶ ὁμηρίδαι TU ἐτυμολουγοῦσι U

γοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος (fr. 138)·

καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον
ἠνεκὲς ἀείδω δεδεγμένος.

οἱ δέ φασι τῆς Ὁμήρου ποιήσεως μὴ ὑφ' ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτήν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας. οὕτω καὶ ὁ Πίνδαρος ἐκδέδεκται. οἱ δέ, ὅτι κατὰ

την ἔννοιαν Ἡσιόδου ῥῆσις αὕτη ἐν μέτρῳ ἡρῴῳ· ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν. ὅτι δὲ καὶ παρὰ τὴν ῥάβδον ἡ ῥαψῳδία εἴρηται, οἱονεὶ ῥαβδῳδία τις οὖσα, φασὶ καὶ τοῦτο οἱ παλαιοὶ ἀκολουθοῦντες τῷ Καλλιμάχῳ εἰπόντι· τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον. δαφνίνη δὲ ἦν ἡ ῥάβδος, ἣν κατέχοντες ἐποιοῦντο τὰς τοιαύτας ᾠδάς. καὶ τὴν αἰτίαν οἱ τῆς γραμματικῆς ἐξηγηταὶ λέγουσι .... οἱ δὲ πλείους τῶν παλαιῶν τήν τε ὅλην Ὁμηρικὴν ποίησιν ῥαψῳδίαν λέγουσι καὶ ῥαψῳδοὺς τοὺς αὐτὴν ᾄδοντας· ἔτι δὲ καὶ ῥαβδῳδοὺς διὰ τὴν ἄνω ῥηθεῖσαν δαφνίνην ῥάβδον· διὰ δὲ τὴν αὐτὴν καὶ στιχῳδούς· στίχοι γάρ, φασίν, ὑπό τινων αἱ ῥάβδοι ἐλέγοντο. ἀλλὰ καὶ ἀρνῳδούς· ἐπειδὴ οἱ ἀγωνιζόμενοι ἐν ᾠδῇ Ὁμηρικῇ καὶ νικῶντες ἄρνα ἐλάμβανον ἔπαθλον. Πινδάρῳ δὲ ἀρέσκει οὐκ ἀπὸ ῥάβδου ἀλλ' ἐκ τοῦ ῥάπτειν τοὺς ῥαψῳδοὺς λέγεσθαι· περιφράζων γὰρ τοὺς ῥαψῳδοὺς ῥαπτῶν ἐπέων ἀοιδοὺς αὐτοὺς λέγει. ῥάπτειν δὲ ἢ ἁπλῶς, ὡς εἴρηται, τὸ συντιθέναι, ἢ τὸ κατὰ εἱρμόν τινα ῥαφῇ ὁμοίως εἰς ἓν ἄγειν τὰ διεστῶτα. σποράδην γάρ, φασί, κειμένης καὶ κατὰ μέρος διῃρημένης τῆς Ὁμηρικῆς ποιήσεως οἱ ᾄδοντες αὐτὴν συνέρραπτον οἷον τὰ εἰς ἓν ὕφος ᾀδόμενα. ἢ καὶ ἄλλως, διότι κατὰ μέρος, φασί, τῆς ποιήσεως διαδεδομένης τὴν σύμπασαν ποίησιν ἐπιόντες οἱ ᾄδοντες καὶ τὰ ἐξ ἑκατέρας Ὁμηρικῆς βίβλου συρράπτοντες ὡς ἐβούλοντο, ῥαψῳδοὶ ἐντεῦθεν προσηγορεύθησαν .... τοῦ δὲ ἀπαγγέλλειν τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν ἀρχὴν ἐποιήσατο Κύναιθος ὁ Χῖος. ἐλυμήναντο δέ, φασίν, αὐτῇ πάμπολλα οἱ περὶ τὸν Κύναιθον καὶ πολλὰ τῶν ἐπῶν αὐτοὶ ποιήσαντες παρενέβαλον. — Dion. Thr. gr. § 5 c. scholl. Phot., Suid. ῥαψῳδοί. sch. Plat. Ion. 530

1 ῥάβδων P 4 δεδειγμένος P δειδεγμένος Bentley 6 καὶ κατὰ BTU: καὶ τὰ D κατὰ P μέρη BDTU: μέρος P Eust. ῥαψῳδοῖεν] ῥαψῳδοὶ TU 7 ποιεῖν παραπλ. ποιεῖν P πλησίον U 8 ἄγοντας BD: ἄγοντες P συνάγοντας T συναγαγόντες U εἰσδέδεκται B

μέρος πρότερον τῆς ποιήσεως διαδεδομένης τῶν ἀγωνιστῶν ἕκαστος ὅ τι βούλοιτο μέρος ᾖδε, τοῦ δὲ ἄθλου τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένου προσαγορευθῆναι τότε μὲν ἀρνῳδούς, αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης τοὺς ἀγωνιστὰς οἷον ἀκουμένους πρὸς ἄλληλα τὰ μέρη καὶ | τὴν σύμπασαν **BPTU** *ποίησιν ἐπιόντας, ῥαψῳδοὺς προσαγορευθῆναι. ταῦτά φησι Διονύσιος ὁ Ἀργεῖος* (FHG III 26). *Φιλόχορος* (FHG I 417) *δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν | τὴν ᾠδὴν οὕτω φησὶν* **BDPTU** *αὐτοὺς προσκεκλῆσθαι. δηλοῖ δὲ ὁ Ἡσίοδος λέγων* (fr. 265)·

ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς (FHG IV 464). *Μέναιχμος δὲ ἱστορεῖ τοὺς ῥαψῳδοὺς στιχῳδοὺς καλεῖσθαι διὰ τὸ τοὺς στίχους ῥάβδους λέγεσθαι ὑπό τινων.* e. *ἄλλως. Ὁμηρίδαι πρότερον μὲν οἱ Ὁμήρου παῖδες, ὕστερον δὲ οἱ περὶ Κύναιθον ῥαβδῳδοί· οὗτοι γὰρ τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν ἐμνημόνευον καὶ ἀπήγγελλον· ἐλυμήναντο δὲ αὐτῇ πάνυ. | αἰεὶ οὖν τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πλεῖστον ἐκ Διὸς ἐποι-* **BDTU** *οῦντο προοιμιαζόμενοι, ἐνίοτε δὲ καὶ Μουσῶν.* 1b **BD** f. *ὁ δὲ νοῦς ὅλος· ὅθεν δὴ καὶ οἱ Ὁμηρίδαι λεγόμενοι ἀοιδοὶ τὴν ἀρχὴν τοῦ λέγειν ὡς ἐπὶ τὸ πολὺ ποιοῦνται ἐκ Διὸς προοιμια-*

---

1 *διαδεδομένης* **PTU**: *διαδιδομ.* **B** *διαδομ.* **D** 2 *ὅ τι*] *εἴ τι* **D** *ᾖδον* **D** 3 *ὑποδεδειγμένου καὶ προσαγ.* **D** 4 *ἑκατέραν* **P** *συνεχθείσης* **T** *συναχθείσης* **U** 5 *ἀκουμένους* b (*ἀκειομένους* Salmasius ad Solin. p. 610a): *ἀκουομένους* codd. *πρὸς ἀλλήλοις* **P** *τὴν*—8 *ῥάπτειν* om. **D** 7 *διόνυσος* **P** 8 *φασὶν* **PTU** 9 *αὐτοὺς* **BDP**: *αὐτὸν* **T** *αὐτὴν* **U** 10 *πρῶτον*] + *λέγων* **TU** *ἀοιδοὶ καὶ ὅμ.* **P** 11 *ἀοιδὰν* **TU** *ἀοιδᾶν* **P** 12 *φοῖβον*] *φίλον* **TU** *τέκεν ηλυτώ* (s. *κλυτώ*) **T** 13 *φησι* **B**: *φασι* **DTU** *φησι αὐτὸν* **P** 14 *μέλαιχμος* **D** 15 *τὸ* om. **U** *τινος* **P** 16 *ὁμηρίδαι*] om. **T** *ὅθεν περ οἱ ὁμηρίδαι* **U** *πρότερον*] *πρῶτον* **U** 17 *κύναιθον* **B**: *κύναιον* **D** *κίναιθον* **PTU** *σχεδασθ* **T** 18 *ἐπήγγελλον* **B**? 19 *αἰεὶ* **DT**: *ἀεὶ* **U** *αὐτοὶ* **B**?r Neutrum verum; exspectes *οὗτοι* *ἐκ διὸς* om. **TU** 22 *τοῦ*] *τὴν* **T** *ὡς* om. **TU** *τὸ* om. **D** *προοιμιαζόμενοι*— p 32, 4 *νίκην*] *πρόκνην* **D**

DTU ζόμενοι, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ (1a B) | ὁ Τιμόδημος τὴν καταβολὴν καὶ τὴν πρώτην ἀρχὴν τῶν ἱερῶν ἀγώνων ἐποιήσατο καὶ τὴν ἐξ αὐτῶν νίκην ἐδέξατο, ἀπὸ Νεμέας φημί, ὃς αὐτῷ τῷ Διῒ ἀνάκειται καὶ τελεῖται. metr. TU 9a D

BDPTU 9a. ὀφείλει δ' ἔτι: Ἀρίσταρχος· οὐκ ἐπὶ τοῦ ἀνδρὸς τὸ ὀφείλει, ἀλλ' ἐπὶ τοῦ πράγματος, ὡς ἄν τις εἴποι· ὀφειλόμενον δ' ἔτι ἐστίν. οὕτω γὰρ τὰ ἑπόμενα συναρμοσθήσεται, ὅταν λέγηται· Πυθίοισί τε νικᾶν Τιμονόου παῖδα. οὐ γὰρ εἴρηκε παῖς. b. ὀφειλόμενον δέ, τουτέστιν ἀναγκαῖόν ἐστι νικᾶν αὐτὸν καὶ Πύθια καὶ Ἴσθμια, εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων ὁ εὐθυπομπὸς αἰὼν δέδωκεν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις· ἀναγκαῖον οὖν νικᾶν αὐτόν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νέμεα· ὡς τῶν προγόνων ἱερονικῶν γεγονότων. 16b B metr. D c. ὀφείλει δ' ἔτι πατρίαν: ὀφειλόμενον καὶ πρέπον ἐστί, τὸν Τιμονόου παῖδα· οὕτω τὸ ὑπέρβατον δεῖ νοεῖν. 9a BD

BDPTU 16a. Τιμονόου παῖδα: εἰκός ἐστι καὶ προσδοκητέον τὸ νικῆσαι αὐτὸν ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμονόου ὄντα παῖδα καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρὸς, ὥσπερ εἰκός ἐστι καὶ τῶν ὄρων καὶ τῶν τόπων, ὧν ἔχουσιν αἱ Πλειάδες,

---

1 ὁ (pr.) om. U 3 νεμέων D νεμέαν TU ὃς ⟨ἀγὼν⟩ Schroeder 4 τελεῖται ⟨ὁ ἀγών⟩ cj. Abel 5 l. om. BD ἀρίσταρχος Bergk: ἀρίσταρχος δὲ B καὶ ἴσταρχος δὲ D om. PTU Tricl. 6 ὀφείλειν D τοῦ om. TU Tricl. πράγματος] + φησιν BD εἴποι Tricl.: εἴπῃ codd. 7 δ' ἔτι P^{ac}: δέ τι cett. συναρμοσθήσονται P 8 λέγεται D τιμονίου T τιμωνίου U 9 παῖς] πᾶς P? 10 καὶ (pr.) om. U 11 ἠθύπομπος D αὐτῷ U 12 ἀναγκαῖον—13 νέμεα om. U Tricl. ὡς—13 νέμεα BPT: καὶ πύθια καὶ ἴσθμια, ὡς οἱ π. αὐτοῦ ἐνίκ. D (καὶ πύθια καὶ ἴσθμια et Tricl.) 13 νέμεα] πύθια a ἱερονίκων codd.; corr. h 14 l. BDP: ἄλλως T ἢ U δ' ἔτι P^{ac}: δέ τι 15 τὸν] τῶν D τιμονίδου U δεῖ] δὴ D 16 νοεῖν PTU: νοηθῆναι BD 17 l. TU: τ. παῖδες P om. BD εἰκός TU: ἐοικὸς P εἰκὸς οὖν BD 18 νικήσειν cj. Abel 19 παῖδα ὄντα T 20 τῶν ὅρων B: τὸν ὅρον D τῶν ὡρῶν U τῶν ὀρῶν PT; cfr. p. 34, 4 καὶ (alt.)—p. 33, 2 ὡρίων om. D ὧν ἔχουσιν BD: ἔχουσι(ν) δ' PTU πληιάδες TU; item p. 33, 1

μὴ πορρωτέρω μηδὲ μακρὰν τὸν Ὠρίωνα πορεύεσθαι ἀλλ' ἐγγύς. τὸ δὲ σύντομον· ὥσπερ γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὐδὲ αἱ Πλειάδες τοῦ Ὠρίωνος, οὕτω καὶ τοῦτον πάρεδρον ἔσεσθαι τῇ νίκῃ εἰκός ἐστιν. 17b BD 17a TU

b. ἄλλως. *Τιμονόου παῖδ' ἔστι δ' ἐοικός*: εἰκὸς δέ ἐστι τὸν Τιμονόου παῖδα. ἵνα δὲ ἀξιωματικὸν ποιήσῃ τὸν λόγον, ἐλλειπτικῶς εἶπε. λείπει γὰρ τὸ νικᾶν αὐτὸν ἀεί· τοῦτο γὰρ ἔδει προσκεῖσθαι. 16a BD 19 TU

17a. *ὀρειᾶν γε Πελειάδων*: τῶν Πλειάδων τῶν ἀστέ- PTU
ρων· ὃ ἔθος αὐτῷ τε Πινδάρῳ λέγειν καὶ Σιμωνίδῃ (fr. 18) τὰς Πλειάδας. | ἔστι δὲ ἄστρον κατὰ τὴν ἱστορίαν καὶ τὸν BDPTU
λόγον ἐξ ἑπτὰ ἀστέρων συγκείμενον, κατὰ δὲ τὴν ὄψιν ἕξ, ὡς καὶ Ἄρατος (257)·

ἑπτάποροι δὴ ταί γε κατ' ἀνθρώπους ὑδέονται
ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.

---

9 (cfr. p. 34, 17. 35, 15) cfr. Athen. 11, 490e: *καὶ Σιμωνίδης δὲ τὰς Πλειάδας Πελειάδας εἴρηκεν ἐν τούτοις· δίδωτι δ' εὖχος Ἑρμᾶς ἐναγώνιος, Μαίας εὐπλοκαμοιο παῖς, ἔτικτε δ' Ἄτλας ἑπτὰ ἰοπλοκάμων φίλαν θυγατέρων τάν γ' ἔξοχον εἶδος, καὶ καλέονται Πελειάδες οὐράνιαι. σαφῶς γὰρ τὰς Πλειάδας οὔσας Ἄτλαντος θυγατέρας Πελειάδας καλεῖ, καθάπερ καὶ Πίνδαρος· ἐστὶ δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι· σύνεγγυς γάρ ἐστιν ὁ Ὠρίων τῇ ἀστροθεσίᾳ τῶν Πλειάδων· διὸ καὶ ὁ περὶ ταύτας μῦθος, ὅτι φεύγουσι μετὰ τῆς μητρὸς τῆς Πληιόνης τὸν Ὠρίωνα. ὀρείας δὲ λέγει τὰς Πλειαδας ἐν ἴσῳ τῷ οὐρείας κατὰ παράλειψιν τοῦ ῡ, ἐπειδὴ κεῖνται ἐπὶ τῆς οὐρᾶς τοῦ ταύρου.* — Eust. Od. 1713, 4

---

1 πορωτέρω **P** ὡρίωνα etc. **BU** varie **DP** 3 οὐδὲ αἱ] αἱ δὲ **U** 3. 4 τοῦτον εἰκός ἐστιν π. εἶναι τῇ ν. **P** 4 οἰκός **TU** 5 ἄλλως om **BD** l. **BDT**: τ παῖδα **U** om **P** παῖδ' ἔστι δ' **DT**: παῖδα δ' ἔστιν **B** ἐεικός **T** εἰκὸς—6 παῖδα om. **BD** ἐστι om. **TU** 6 δὲ om. **BD** ποιήσει **D** 7 λείπει] λέγει **D** 9 l. **P**: τὸ δὲ ὀρειᾶν πελειαδᾶν **TU** 10 ὃ vix sanum; ἃς s. οὓς exspectes αὐτῷ τε scripsi· αὐτῷ τε καὶ **TU** αὐτῷ **P** λέγει **T** 11 πελειάδας scribend. videtur, om. τάς ἔστι δὲ—12 λόγον **PTU**: αἱ γὰρ πλειάδες κατὰ τὴν ἱστορίαν ἄστρον ἐστὶν **B**; item, sed ἄστρον εἰσὶ κ. τ. ἑ. **D** 14 μετ' codd. Arati ὑδέονται **BD**: οἰδ. **PT** εἰδ. **U** 15 οὖσαι **D** ἐπόψιοι **BD** (-ιαι codd. Arat.) ὀφθαλμοῖσιν om. **BDTU**

BDP πλησιάζουσι δὲ τῷ Ὠρίωνι αἱ Πλειάδες. 17c BD b. ἄλλως. ἤτοι τῶν πρὸς τὸν Ὠρίωνα κεκλιμένων· ἢ τῶν ὀρείων, ἐπειδὴ ὁ Ἄτλας ὁ τῶν Πλειάδων πατὴρ ὁμώνυμα ἔσχεν ὄρη· ἢ ὅτι ὅροι εἰσὶ τοῦ ἀμήτου· ἢ λιτότερον, τῶν ὅρων καὶ τῶν τόπων BDPTU ἐν οἷς εἰσιν οἱ ἀστέρες. 17a BD c. ἄλλως. Ἀρίσταρχος· ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ (fr. 74) τὴν Πληιόνην φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζῴδιον. ταῦτα μὲν ὁ Ἀρίσταρχος. θέλοι δ' ἂν δηλοῦν τοῦτο, ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν καὶ Πυθικὴν καὶ οὕτως ἀκολουθεῖν, ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται. ἐπέχει γὰρ τῇ ἐπιτολῇ τοῦ Ταύρου ὁ Ὠρίων κυνηγετικὸς ὤν· διό φησιν Ἄρατος (322)·

λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς
Ὠρίων.

BPTU | εἰσὶ δὲ αἱ Πλειάδες ἐπὶ τῇ οὐρᾷ τοῦ Ταύρου. καὶ ὁτὲ μὲν Πληϊάδας καλεῖ πληθυντικῶς, ὁτὲ δὲ Πληϊόνην ὡς μίαν (fr. 74)· τρεχέτω μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων. δοκεῖ γὰρ κατ' αὐτὸν τὸν Πίνδαρον ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, BDPTU | καὶ διώκειν αὐτὴν ἐπὶ πολλοὺς χρόνους· ὑπομνήματα δὲ τούτων ὁ Ζεὺς κατηστέρισε. παρὸ δή φησιν· ὁ Ὠρίων ἐπιὼν ταῖς Πληϊάσι. ζητεῖται δὲ διὰ τί ὀρείας εἶπε τὰς Πλειάδας· καὶ

---

3 cfr. Hesiod. op. 381 sq. 17 sch. Arat. 354

---

1 πελειάδες D πληιάδες P ἄλλως P: τὸ δὲ ὀρειᾶν γε πελειάδων BD 2 ἤτοι τῶν] κατὰ τὸν D κεκλιμένον D 3 πελειάδων P ὅροι εἰσὶ B: ὄρη εἰσὶ P ὄρη ἐστὶ D 4 ⟨ἀπὸ⟩ τῶν ὅρων? ὅρων B ὁρῶν D?: ὀρῶν P 5 εἰσιν] ἐστιν D ἄλλως om., post ἀρίστ. add. δὲ BD 6 ἐπέχειν BDP: ἐπάγειν TU 7 πληιόνην v. Wilam. ap. Horn p. 56: πλειάδα codd. διώκει D 8 ταῦτα — ἀρίσταρχος om. BD 9 τοῦτο δηλοῦν TU Tricl. 10 ἰσθμικὴν B[1] Tricl. 12 κυνηγερὸς D 13 λοξὸς BD[1]P: λοξῶς D[s] ἄρατος, sed delet., T lac U τομὴ BD 15 μὲν] + τὰς P 16 πληιάδας BTU: πλειάδας T δὲ] + τὸ P 17 τρεχέτω] + δὲ B δὲ αὐτῷ B 18 αὐτῆς B: αὐτοῦ T αὐτοῖς P cp. U 19 πολλοὺς χρόνους DTU: πολλοῖς χρόνοις B πολὺν χρόνον P τούτῳ P 20 ἐπίτω cj. Bergk 21 πληιάσι(ν) PTU: πλειάσι BD

τινὲς μὲν ἔφασαν, ὅτι Νύμφαι ἦσαν, ὧν οἱ ἀστέρες οὗτοι (Hesiod. fr. 275)·

Τηϋγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις,
Ἀλκυόνη τε καὶ Ἀστερόπη δίη τε Κελαινώ,
Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας.

Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν εἰπών (fr. 18)· Μαιάδος οὐρείας ἑλικοβλεφάρου· κατὰ λόγον· αὕτη γὰρ (Hesiod. fr. 276)

Κυλλήνης ἐν ὄρεσσι θεῶν κήρυκα τέχ' Ἑρμῆν.

τινὲς δὲ ἐπὶ τὴν τῶν ὁμωνύμων ὕλην ἀποχωροῦντες Ἄτλαντός φασι λεγομένας θυγατέρας, ἐπειδὴ ἐκεῖ τι κληΐζεται, κατὰ τὴν τοῦ πατρὸς ὁμωνυμίαν ὡς ἐξ ὄρους γεγεννημένας ὀρείας προσηγορεῦσθαι. οἱ δὲ οὕτως· καθὸ Πελειάδας αὐτὰς εἶπε, καὶ ὀρείας· αἱ γὰρ περιστεραὶ ὄρειαί εἰσιν· εἴωθε δὲ ὁ Πίνδαρος ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι ἔθει ἰδίῳ ἔνιοι δὲ διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ υ [λέγεσθαι], ὡς καὶ τὸ (Pind. fr. 308) Κλειὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς. εἶπε δ' ἂν οὐραίας, ὡς καὶ παρ' Ὁμήρῳ (Ψ 519)·

τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
οὐραῖαι.

6—9 Tzetzes ad Lyc. 217 (p. 102 S.)

---

1 ὧν PTU: ὡς BD (in lit.?) ὡς ὁ Ἄρατος, αὗται cj. Hecker Philol. 5 p. 426 ⟨ἡσίοδος δ'⟩ ὅτι ἀστέρες οὕτω C. Schenkl ap. Rzach 3 et 4 om. T 3 ὑΰγετή D τηιγέτη U 4 ἀλκυόνη] καὶ ἀλκ. P 6 τιμωνίδης D 7 οὐρείας TU: ὀρείας BDP ὀρείης Tz. κατὰ λόγον P: κατάλογον BTU Tz. κατάλογος D (corr. iam h) 8 αὐτὴ PTU αὕτη γὰρ κατὰ τὸν α' κατάλογον cj. Bergk ad Sim. fr. 18 9 κυλήνης B ὄρεσι BDT Tz. θεὸν BTU 10 ἄτλαντας Kayser lectt. Pind. p. 69 11 ἐκεῖ τι PTU: ἔκητ(ι) B ἕκατι D ἑκάστη b. Locus lacunosus 12 τοῦ om. D γεγεννημένας T: γεγενημ. B^pc DPU γενημ. B^ac προσηγορῆσθαι D 13 οὕτως om. BD 15 ἐπαναπεύεσθαι P ἔθει ἰδίῳ om. BD 16 λέγεσθαι om. BD; seclusi 17 κλειὸς PU: κλεὸς B κλέος D κλειοῦς T 18 κλέους D εἶπεν ἂν δ' TU οὐραίας Beck: οὐραίαις BD οὐραίους P οὐρέαις TU. Expectes ὀραίας ὡς om. P 19—20 om. TU lac. rel. 19 ἐπισώτρου codd. ἄκρα D 20 οὐραῖα D

εἰ μὴ καθὸ ἀπόγειον ἄνεμον λέγομεν, οὕτως οὐρείας τὰς οὐραίας ἀκουστέον. τάχα δὲ ἀπὸ τοῦ συνόντος Ὠρίωνος τὰς ὠρείας ἐν συστολῇ γενέσθαι ὀρείας. βέλτιον οὖν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον οὕτως εἰρηκέναι, ἢ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἐτράφησαν. ὁ δὲ Κράτης γράφει θερειᾶν Πελειάδων, ὅτι θερείας ἐπιτέλλουσι· τούτῳ δὲ ἀντιπράσσει ἥ τε ἀντίστροφος καὶ τὸ μὴ μόνον θέρους αὐτὰς ἐπιτέλλειν, ἀλλὰ καὶ χειμῶνος. δύναιτο δ' ἂν καὶ ὀρείας λέγειν τὰς ὀρουστικάς, τουτέστιν ὁρμητικάς, διὰ τὸ φεύγειν τὸν Ὠρίωνα ἢ διὰ τὸν φόβον τῶν Ἡρακλέους βελῶν. 16b TU

BDPTU 19. *καὶ μὰν ἁ Σαλαμίς γε: ζητεῖται διὰ τί δήποτε τὰ περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προσῆκται· οὐ γὰρ δήπου Σαλαμίνιος ἦν· ἄντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τῶν δήμων. Ἀρίσταρχος μὲν οὖν τῆς Αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς· οἱ γὰρ Ἀχαρνεῖς τῆς Οἰνηΐδος φυλῆς εἰσιν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασίν, ὅτι εἰκός ἐστιν αὐτὸν εἶναι τῶν τὴν Σαλαμῖνα κατακληρουχησάντων Ἀθηναίων· εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος*

1 cf BA 47, 14

1 *ἀπόγειον*] lac. **TU** *ἄνεμον* repet. **TU** *οὕτως* **PTU**: *οὕτω(ς) καὶ* **BD** *ὀρείας* **D** 1. 2 *τοὺς οὐραίους* **B**[1] 2—3 *τὰς ὠρείας* om. **U** 3 *ὡρείας* **DT**: *ὠρείας* **BP** *γενέσθαι* **BD**: *γεγενῆσθαι* **P** *λέγεσθαι* **TU.** Locus vix sanus *οὐρείας* **P** *ἀποδιδόναι* om. **P** 5 *κυλλήνης* **PTU**: *κυλήνης* **B** om. **D** *ἐν ᾗ ἐτράφησαν* **PU**: *ἐνήδετράφησαν*(?) **D** *ἐν ᾗ ἐτράφη* **B** *ἐν ᾗ ἐτράφησε* **T** 6 *πληιάδων* **PTU** *θερϝίας* **PTU**: *θέρει* **BD** *ἐπιτέλουσι* **D** *τοῦτο* **T** 7 *αὐτὰς*] *αὐτὸς* **TU?** 8 *ἐπιτέλειν* **D** *δύναιτο δ' ἂν καὶ* **BDP**: *δύναται δὲ* **T** *δύναται δ' ἂν* **U** 9 *ὁριστικάς* **TU** 10 *ἢ —βελῶν* hic om. **P**; cfr ad 12 *τὸν*] *τὸ* **U** *ἡρακλείων* **B** 11 l. **PTU** Tricl.: *καὶ μὰν ἁ σ. γε θρέψαι* **B** *ἁ σ. γε θρ.* **D** *μὴν* **TU** *διὰ*] *δὲ διὰ* **U** 12 *περὶ*] + *διὰ τὸν φόβον τῶν ἡρ. βελῶν* **P** (cfr. ad 10) *τιμόδημον*] *τὸν μόδημον* **D** *εἰσῆκται* **TU** 14 *φασι* **PTU** *τὸν δῆμον* **BD** Tricl. *μὲν*] *μὴ* **D** (qui post *ἀρίστ* distinx.) *ὁ μὲν οὖν ἀρίσταρχός* ⟨*φησι*⟩ *τῆς αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς δέ φησιν* Horn 15 *εἶναι* om. **D** *ὀρθῶς*] + *δέ φησιν* **BD** *οἰνηίδος* Holsten ad Steph. Byz. *Ἀχάρνα*: *οἰνόπιδος* (*οἰνοπίδος* **D**) codd. *εἰσιν* om. **TU** 16 *φησιν* **T**pc 17 *τῶν*] *τὸν* **D** 18 *τετράφθαι* **PU** *τετραῦθαι* **T**

δέ φησιν, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης καὶ Κίμων καὶ Ἀλκιβιάδης καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου. ἴσως δὲ, ὅτι διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα, ὡς μὴ μόνον φυλὴν Αἰαντίδα ἀποδεῖξαι, ἀλλὰ καὶ κλίνην αὐτῷ μετὰ πανοπλίας κοσμεῖν, λόγον τε ἔχειν παγκρατιαστὴν ὄντα τὸν Τιμόδημον τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδρειοτάτῳ παραβεβλῆσθαι. θρέψαι οὖν ἡ Σαλαμὶς ἱκανή ἐστιν ἄνδρα μαχητήν· τίς ἀπόδειξις; ἡ ἐπιφερομένη.

21a. *ἐν Τροίᾳ μὰν Ἕκτωρ Αἴαντος ἄκουσε: τούτῳ* BDPTU *γὰρ μονομαχήσας ἐλείφθη.* b. *δυνατός: ἀντὶ τοῦ δυνατή,* PTU *ὡς θερμὸς ἀϋτμή* (h. Hom. Merc. 110. *μ* 369?), *καὶ Πίνδαρος* (N. IV 1)· *ἄριστος εὐφροσύνη ἀντὶ τοῦ ἀρίστη.*

22a. *Αἴαντος ἄκουσεν: ἤσθετο τῇ πείρᾳ. καὶ Ὅμηρος* BPTU (*Λ* 532)· *τοὶ δὲ πληγῆς ἀΐοντες, ἀντὶ τοῦ αἰσθόμενοι. ἔοικε δὲ ὁ Πίνδαρος τὸ παρ' Αἴαντος ῥηθὲν πρὸς Ἕλληνας ὑπονενοηκέναι εἰρῆσθαι πρὸς Ἕκτορα· φησὶ γάρ* (*Η* 198)·

ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως
ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.

εἰ μὴ ἄρα τις τῇ πείρᾳ μεμαθηκέναι ὑποστήσεται τὸν Ἕκτορα,

---

2 Marcell. vit. Thuc. 2sqq. — Plat. Alc. I p. 121a 12 sch. *Σ* 222. *δ* 442. — sch. N. IV 1 15 sch. *Λ* 532. *Ο* 252. *ζ* 185. Ap. soph. 16, 1. Hes. *αἴον. ἀΐοντες*

---

1 *ἀναφέρει* **PTU** 2 *καὶ ἀλκιβιάδης* **BD**: *ὁ ἀλκ.* **T** *ἀλκ.* **U** om. **P** *οἱ Λακκιάδαι* cj. M. Schmidt Did. fr. p. 331 3 *ὁ* (pr.) om. **PTU** (hab. Tricl.) *ὁ συγγραφεὺς* secl. v. Wilamowitz Herm. XII p. 342 *ὁ* (alt.) om. **TU** *ἰολόρου* **U** *δὲ* om. **B** Tricl. *ὅτι*] + *καὶ* **D** 4. 5 *φυλὴν αἰαντίδα* **PTU** Tricl.: *αἰαντ. φυλὴν* **B** *αἰαντ. φιλεῖν* **D** 5 *αὐτὸν* **D** 6 *κατακοσμεῖν* **B** 8 *τίς* **BP**: *καὶ τίς* **TU** *τίς δὲ* **D** Tricl. 9 *ἡ* om. **DU** *ἐπιφερομένους* **D**? 10 *τροίη* **P** *αἴαντος*] *ἐν τροίᾳ* **TU** om. **P** *ἤκουσε* **PT** *ἄκουσαι* **D**[s] *τοῦτο* **DT** 11 *δυνατός* **T**: *δ. δὲ* **U** *τὸ δὲ δ* **P** *δυνατή*] *δυνατὸς* **T** 12 *ὡς θερμὸς* om. **U** 13 *εὐφροσύνη*] *ἡδονὴ* **U** *ἀντὶ τοῦ ἀρίστη* om. **P** 14 *ἤσθετο τῇ πείρᾳ*] *ἀντὶ τοῦ ἐπήσθετο ἐν τῇ π.* **P** *πείρᾳ*] + p. 38, 4 *ὅτι — 5 ἀγαθούς* **BP** *καὶ* **P**: *ὡς καὶ* **BTU** 15 *πληγαῖς* **U** 19 *γεγενῆσθαι* **U** *τετραφέμεν* **BTU** Eust. ad h. l.

ὡς ἐπιτηδείως ἡ Σαλαμὶς ἔχει πρὸς τὴν τῶν ἡρώων γένεσιν. b. ὁ δὲ νοῦς· τούτου γοῦν τοῦ τὴν Σαλαμῖνα φέρειν ἀνδρείους τὴν πεῖραν ἔσχεν ὁ Ἕκτωρ ἐν τῇ Ἰλίῳ τῇ πείρᾳ τοῦ Αἴαντος.
(BP)TU c. ἄλλως· ἄκουσεν ἀντὶ τοῦ ἐπήσθετο, ὅτι ἡ Σαλαμὶς φέρει ἄνδρας ἀγαθούς.

BDPTU 25a. *Ἀχάρναι δέ*: φανερὸν ἐκ τούτων, ὅτι Ἀχαρνεὺς τῶν δήμων ὁ νικηφόρος. καὶ σὺ οὖν Ἀχαρνεὺς τυγχάνων ἀγαθὸς ἀνὴρ πέφυκας. b. ἢ οὕτως· καὶ αἱ Ἀχάρναι δὲ, ὅθεν ὑπάρχεις, ἀπ' ἀρχῆς ὡς εὔανδροι ὑμνοῦνται. Ἀχάρναι δὲ δῆμος
BDTU τῆς Ἀττικῆς, ὅθεν ἦν ὁ Τιμόδημος. c. *παλαίφατοι δὲ* ἀντὶ τοῦ ἐξ ἀρχῆς λέγονται.

BDPTU 26. *ὅσσα δ' ἀμφ' ἀέθλοις*: θαυμαστικῶς ἀντὶ τοῦ πάνυ· πλειστάκις ἐν τοῖς ἄθλοις οἱ πρόγονοί σου προεκρίθησαν. 28c BD

BDTU 28a. *προλέγονται*: ἀντὶ τοῦ προκέκρινται. Ὅμηρος (*N* 689)· οἱ μὲν Ἀθηναίων προλελεγμένοι. b. ἢ οὕτως· ἐν
BDPTU τοῖς πρὸ τούτου χρόνοις λέγονται. 29b BD c. Τιμοδημίδαι δὲ φατρία, ὅθεν οἱ πρόγονοι τοῦ Τιμοδήμου, ἀπὸ πάππου Τιμοδήμου. 28a BD 30 TU

BDPTU 29a. *πὰρ μὲν ὑψιμέδοντι*: καταχρηστικῶς ἀντὶ τοῦ
BDP ὑψηλῷ. 30 BD 32 TU b. Παρνασὸς ὄρος τῆς Φωκίδος. τῇ Πυθοῖ. 29a BD

---

2 φέρειν **BP**: τρέφειν **TU** 3 αἴαντος **BP**: ἕκτορος **TU** 4 sch. 22c hic om. **BP**; cfr. ad p. 37,14 ἄλλως **T**: ἢ **U** 6 l. **DP**: + παλαίφατον **T** + παλ. εὐάνορες **B** [ἀ]χάρναι **U** ὅτι] ἐστὶν **D** 6. 7 τὸν δῆμον **B** Tricl. 8 πέφ. ἀνήρ **P** δὲ om. **BU** ὑπάρχει **TU** 9 ἀπ' ἀρχῆς om. **P** ὑμνοῦντο **P** 10 παλαίφατα **TU** ἀντὶ τοῦ om. **TU** 11 λέγεται **D** 12 l. **PTU**: + τιμοδημίδαι: τὸ ὅσσα **BD** 13 ἐν τοῖς ἄθλοις om. **P** 15 l. **TU**: τὸ δὲ προλ. **BD** προλέγεται et προκέκριται **D** 16 προλεγόμενοι **DT** 17 πρὸ om. **TU** τιμ. δὲ **TU**: οἱ δὲ τιμ. **P** τιμ. γὰρ **BD** 18 ἀπὸ —τιμοδ. om. **T** ἀπὸ] + τοῦ **D** 20 l. **P**: ὑψ. δὲ **BDU** ὑψ. **T** καταχρηστικῶς **BDP**: παραγώγως **TU** ἀντὶ τοῦ **DTU**: ἀντὶ τοῦ τῷ **B** τῷ **P** 21 ὑψηλοῦ **T** l. null **P**: πὰρ μὲν ὑψιμέδοντι παρνασ(σ)ῷ **BD** παρνασὸς] + δὲ **P** παρνασσὸς **D** τῆς om. **P** τῇ πυθοῖ **BD**: ἐν πυθῶνι **P**

30. *τέσσαρας ἐξ ἀέθλων*: ὡς τῶν προγόνων αὐτοῦ τέσσαρας νίκας Πυθικὰς εἰληφότων. 29a TU BDTU

32 a. *ἀλλὰ Κορινθίων*: ὁ ἀλλά ἀντὶ τοῦ καί· καὶ Ὅμηρος (K 316)· καὶ δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης, ἵν' ᾖ· καὶ ποδώκης. PTU b. ἄλλως· ὁ ἀλλά σύνδεσμος ἀντὶ τοῦ δέ, καὶ ἡ ὑπό ἀντὶ τῆς παρά, BDT(U) | ἵν' ᾖ· παρὰ δὲ Κορινθίων ἐν ταῖς πτυχαῖς τοῦ Πέλοπος, τουτέστιν ἐν Πελοποννήσῳ, ἔλαβον ὀκτὼ νίκας, ἐπεὶ Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα· ἑπτὰ δὲ στεφάνους ἐν τῇ Νεμέᾳ, φησίν, ἔλαβον, ἤτοι οἱ Ἀχάρναι ἢ οἱ Τιμοδημίδαι. BDPTU

35. *τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ*: τὰ δὲ οἴκοι ἐν ταῖς Ἀθήναις μείζονά ἐστιν ἢ ἀριθμεῖσθαι, οἷον ὑπερβαίνει ἀριθμὸν ἃ ἐνίκησαν οἴκοι. τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγών, τουτέστι τὰ Ὀλύμπια. BDPTU

37a. *τόν, ὦ πολῖται*: ἢ τὸν ἀγῶνα τῶν Ὀλυμπίων ἢ τὸν Δία, ᾧ ἀνατίθεται ὁ ἀγών, σὺν τῷ Τιμοδήμῳ κωμάσατε καὶ μετὰ κωμασίας ὑμνήσατε, εὐκλεῶς παραπέμποντες διὰ τῶν ἡδυτάτων ὕμνων. b. ἢ οὕτως· σὺν τῇ ἀπονοστήσει ἀπὸ τῆς Νεμέας κωμάξατε· ἀπὸ τοῦ κώμου τὸ ἐγκώμιον νοητέον· τουτέστιν ὑμνήσατε αὐτόν. BDPTU

---

1 l. TU: φησὶ δὲ BD τῶν om. TU 2 εἰληφότα D 3 τοῦ καί T Tricl.: καί P τοῦ δέ U καὶ ὅμηρος P: ὡς καὶ παρ' ὁμήρῳ TU Tricl. 4 δή τοι P Tricl.: lac. TU εἶδος] δέμας P 4. 5 ἵν' ᾖ καὶ ποδώκης om. P 5 ἄλλως—τοῦ δέ om. U ἄλλως T: ἀλλὰ κορινθίων D ἀλλὰ κορ. ὑπὸ φωτῶν B δέ BT: καί D 6 ἵν' ᾖ] ὁ δὲ νοῦς P παρὰ (alt.)] περὶ D καὶ παρὰ κορ. δὲ TU παρὰ κορινθίῳ P 7 πελοπονήσῳ DPTU 8 τότε] τε D στέφανοι P 9 οἱ codd.; αἱ Beck (vix recte) ἀχαρνάναι P 11 l. B: τὰ δ' οἴκοι DP τὰ δ' οἴκοι μάσσον TU ἀριθμᾷ B οικοι (alt.) om. P 12 ἐστιν] εἰσὶν P ἀριθμὸν] πάντα ἀρ. B 13 δὲ] καὶ TU διὸς] διὸ D τουτέστι om. TU 14 ὀλυμπιεῖα mallet b 15 l.] + κωμάξατε B ἢ] τινὲς ἢ TU τῶν] τὸν T 16 καὶ] ἀντὶ τοῦ TU 19 τῆς om. P κωμάσατε B ἀπὸ] + δὲ P (Tricl.) τουτέστιν BD: om. PTU 20 αὐτόν] + τὸν τιμόδημον U *Deficiunt codices* TU

Scholia in Nemeonicarum carmen III.

D *Ἀριστοκλείδῃ Αἰγινήτῃ παγκρατιαστῇ.*

B *Τῆς τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ΄. τὸ α΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ β΄ ἐπιχοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ γ΄ ἰθυφαλλικόν. τὸ δ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε΄ τὸ αὐτό. τὸ ϛ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ζ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ η΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ θ΄ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ι΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ια΄ Σαπφικὸν ἑνδεκασύλλαβον. τὸ ιβ΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ ιγ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.*

ἡ ἐπῳδὸς κώλων η΄. τὸ α΄ χοριαμβικὸν τρίμετρον ὑπερκατάληκτον. τὸ β΄ ἰαμβικὸν πεντασύλλαβον καὶ ἰωνικὸς ἀπ᾽ ἀδιαφόρου ἀρχῆς, εἶτα πάλιν ἰωνικὸς ἀπεμφαίνων διὰ τὴν λύσιν καὶ συλλαβή. δύναται καὶ ὅλον ὡς ἰαμβικόν, παρακεχαραγμένον μέντοι διὰ τὸν τελευταῖον πόδα. τὸ γ΄ δίμετρον χοριαμβικὸν καταληκτικόν. τὸ δ΄ δοκεῖ ἀντισπαστικὸν εἶναι. τὸ ε΄ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ϛ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ ζ΄ ἰωνικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβῶν. τὸ η΄ δακτυλικὸν τετράμετρον παρὰ τὴν ἐν ἀρχαῖς συλλαβήν. 5 B D

BDP 1a. *ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα:* *μητέρα ἑαυτοῦ*

---

2 *ἀριστοκλεῖ* Et. m. 818, 34 4 (ad col. 1) *ἢ μᾶλλον ἰωνικὸν δίμετρον ἀκατάληκτον* mg. Brub. 6 *τρίμετρον*] *δίμετρον* mg. Brub. 11 *καταληκτικόν* Pauw (Brub.): *ὑπερκατάληκτον* B (*ἢ καὶ προσοδιακὸν ὑπερκατάληκτον* mg. Brub.) 13 *τρίμετρον* Pauw: *τετράμετρον* B 14 *ἰωνικὸς ἀπ᾽ ἀδιαφόρου* scripsi (*ἰωνικὸς ὁ ἀπὸ διαφ.* Pauw): *ἴωνος τοῦ ἀπὸ διαφόρου* B 15 *ἰωνικὸς ἀπεμφαίνων* Pauw (nisi quod *ὁ ἀπεμφ.*): *ἴωνος τοῦ ἀπεμφαίνοντος* B 16 *συλλαβή* Pauw: *συλλαβήν* B 19 *τρίμετρον* Pauw: *δίμετρον* B 20 21 *τὸ ζ΄ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον δύο συλλαβῶν?* Pauw. Potius *ἰων. δίμετρον κατ. ὀκτὼ συλλαβῶν* 23 l. B: *ὦ π. μοῦσα* D *μοῖσα μᾶτερ* P *αὐτοῦ* P

εἶπε τὴν Μοῦσαν ὁ Πίνδαρος, ὡς ἂν ἐπιπνεόμενος ἐκ τῶν Μουσῶν (Hes. theog. 94)·

ἐκ γάρ τοι Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν.

ἢ τροφὸν, διὰ τὸ ἀποζῆν αὐτὸν ἐξ ὧν ἔγραφεν ἐπινίκων. ἄμεινον δὲ, ὅτι προσηνὴς ἦν αὐτῷ ἡ Μοῦσα, ὥσπερ Ὀδυσσεῖ ἡ Ἀθηνᾶ (Ψ 183)·

μήτηρ ὡς Ὀδυσσῆϊ παρίσταται ἠδ' ἐπαρήγει. 1c BD b. ὁ δὲ νοῦς· ἱκετεύω σε, ὦ ἐντιμοτάτη Μοῦσα, ἡμετέρα μῆτερ, παραγενοῦ μοι εἰς τὴν πολύξενον νῆσον τὴν τῶν Δωριέων τῶν Ἀργείων ἄποικον· ἐν τῇδε τῇ ἱερομηνίᾳ τῆς Νεμεάδος ἧκε εἰς τὴν Αἴγιναν. 6 BD c. ἄλλως. ἐζήτηται, πῶς ἐπικαλεῖται τὴν Μοῦσαν ἐλθεῖν εἰς Αἴγιναν ὑπὲρ τοῦ τὸν ὕμνον ᾀσθῆναι, καὶ ἅμα τοὺς νεανίσκους φησὶ μένειν, δι' οὓς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ ἀλλ' ἐν Νεμέᾳ· ὁ γὰρ Ἀσωπὸς οὐκ ἐν Αἰγίνῃ, ἀλλὰ περὶ Φλειοῦντά ἐστι καὶ Νεμέαν. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ἤτοι τὸν χορὸν ὑπὸ τὸν καιρὸν τῆς νίκης αὐτοσχέδιόν τινα ἐπίνικον ᾆσαι, ἢ τὸν Ἀρχιλόχου Καλλίνικον, οὗ καὶ τὸν Πίνδαρον μνημονεύειν διὰ τούτων (O. IX 1)· τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν, καὶ τὰ ἑξῆς. μεταβάντος οὖν τοῦ χοροῦ εἰς τὴν Αἴγιναν καὶ μέλλοντος ᾄσειν τὸν ὑπὸ τοῦ Πινδάρου πεποιημένον εἰκότως φάναι· ὕδατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίαι· ὥσθ' ὃ βούλε-

6 Eust. Il. 1329, 39

3 μουσάων P; cfr. ad P. IV 313a 4 ἔασσιν B 5 ἢ P: ἀντὶ τοῦ BD ἔγραφεν r ($B^{cp}D^{cp}$): ἔγραψεν P 9 μήτηρ P 10. 11 ἄποικον τῶν ἀργ. D 11 ἐν δὲ τῇ ἱερ D ἱερονουμηνίᾳ B τῆς] τῇ τῆς P ἥκεν BDP^{ac} 12 ἄλλως· ἐζήτηται P: ἐζήτηται δὲ BD καλεῖται P 13 εἰς τὴν αἴγ. B τῶν ὕμνων D 14 φασὶ P 15 ἐν νεμέᾳ] ἐνεμέα D 16 φλιοῦντα B νεμέοις D οὖν om. P 17 ἤτοι post νίκης transponend. cj. M. Schmidt χορὸν B: χρόνον DP τὸν καιρὸν τῆς νίκης a (similiter Feine, Horn): τὸ ἱερὸν τ. ν. DP τ. ν. τὸ ἱερὸν B 18 τινα] γὰρ P ἐπίνικον] ἐπὶ μρ͡ P ἀρχελόχου D; item 20 19 μνημονεύει D 22 πεποιημένον ⟨ὕμνον⟩ Horn φάνα P ὕδ. μὲν γὰρ ὄντι ἐπ' ἀσωπῷ μ. τ. ὕμνων (om. νεανίαι) P 23 μελιγαρίων D ὥσθ' ὃ] ὡς τὸ D ἄσθ' ὃ P

ται εἰπεῖν, τοιοῦτόν ἐστιν· οἱ γὰρ ἐπὶ τῷ Ἀσωπῷ τὸν αὐτοσχέδιον ὕμνον τεκτηνάμενοι χοροὶ ἀναμένουσί σε ἐν τῇ Αἰγίνῃ ᾀσόμενοι τὸν ὑπὸ Πινδάρου ποιηθέντα ἐπίνικον. ὁ δὲ Δίδυμος διηπατῆσθαί φησι τοὺς ὑπομνηματισαμένους τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν· οἱ γὰρ Ἀσωποὶ πλείους, ὧν ἕνα φησὶν εἶναι καὶ τὸν ἐν Αἰγίνῃ· ὁ δὲ Καλλίστρατος Ἀσωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ ἐπὶ τοῦ ἐν Βοιωτίᾳ Ἀσωποῦ ποταμοῦ ἀκούεσθαι, ὡς τῶν ἐξ Αἰγίνης χορευτῶν τῷ Πινδάρῳ προσλιπαρούντων ἕνεκα τοῦ γράφειν Ἀριστοκλείδῃ τὸν ἐπίνικον.

BDP 4. ἱερομηνίᾳ Νεμεάδι: τουτέστι τῇ τῶν ἐπινίκων εὐωχίᾳ. ἱερομηνίαν δὲ λέγουσι κατὰ σύντμησιν τὴν ἱερονουμηνίαν· αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ ἱεραί εἰσι τοῦ Ἀπόλλωνος, καθὸ ὁ αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ. ἐν ἱερομηνίᾳ ἐλθὲ Νεμεάδι, ἐν ᾗ μέλλομεν ἡμέρᾳ τὸν εἰς τὴν Νεμεακὴν νίκην ὕμνον γράφειν. οἱ δὲ ἱερὸν μῆνα καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται· ἱερομηνίαι δὲ λέγονται αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι οἷαι δήποτε θεοῖς ἀνειμέναι· τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος (FHG I 413) ὅλον ψηφίσασθαι τοὺς Ἀθηναίους ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν. ..... ἱερομηνίαν φησὶν ἐν τούτοις (Dem. 24, 29)· ἁπάντων ὑμῶν ἀγόντων ἱερομηνίαν. ἔοικε δὲ ὁ Πίνδαρος νῦν ἱερομηνίαν λέγειν τὴν τῶν ἐπινίκων ἑορτήν· οὐ γάρ ἐστι δημοτελής. 1[b]BD

---

16 sch. Thuc. 5, 54. EM 469, 14   19 Harpocr. ἱερομηνία

---

1 τοιοῦτόν ἐστιν om. D   2 τεκτείναντες D   3 ὑπὸ] ἐπὶ D   5 τῶν] + πόλεων B, sed delet. ἀσωποὶ] + εἰσὶ P ὧν] ὃν D φασὶν BD   6 ἀσωπίδα B: ἀσωπίδι P ἀσωπιῶν D. Locus corruptus; αἴγιναν pro ἐν αἰγίνῃ cj. v. Wilam. ap. Horn. p. 58   7 ποταμοῦ ἀσωποῦ BD   8 χωρευτῶν τὸν πίνδαρον D   9 οὕνεκα P ἀριστοκλεῖ B -κλῇ D   10 ἱερομηνίᾳ] + δέ φησι BD   11 ἱερονουμηνίαν BP: ἱερομηνίαν D   12 αἱ BP: ἐν D   13 ἱερομηνίᾳ DP: ἱερονουμηνίᾳ B ἐλθὲ P: ἐλθεῖν BD (unde λίσσομαι οὖν τὴν μοῦσαν suppl. b)   14 γράφειν] ᾄδειν cj. Abel   15 λέγουσι κεκλῆσθαι BD: γράφουσιν P   19 ἱερομηνία D ἑορτή D lac. indicavi   20 ὑμῶν Dem.: ὕμνων P ἡμῶν BD ἡμῶν ἁπάντων ἀγ. D

5. *νᾶσον Αἴγιναν:* Αἴγινα μία νῆσος τῶν Σποράδων ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος τῶν Ἀργείων. ἔοικε δὲ βραδύτερον ἀποδιδοὺς τὸν ἐπίνικον σπεύδειν γράφειν, ἴσως καὶ τῆς πανηγύρεως κατεπειγούσης. 1a BD 10P BDP

6a. *ὕδατι γὰρ μένοντι:* ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ, ἐν ταῖς Θήβαις λέγω, προσμένουσιν ἡμᾶς οἱ νεανίαι οἱ τῶν ἡδυτάτων ὕμνων τέκτονες καὶ χορευταί, τὴν σὴν φωνήν, ὦ Μοῦσα, ἐπιζητοῦντες ἀεί. BDP b. μένοντι δὲ ἀντὶ τοῦ μένουσιν Δωρικῶς εἶπε. 20P P

10a. *διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου:* διψῇ δὲ καὶ ἐπιθυμεῖ ἄλλο μὲν ἄλλου πράγματος, ἡ δὲ ἐκ φιλονεικίας ἔρις, ἡ ἀθλονικία, μάλιστα φιλεῖ τοὺς ἐπαίνους καὶ τοὺς ὕμνους· τῶν γὰρ στεφάνων καὶ ἀρετῶν ἐπιδέξιος καὶ καλλίστη ὀπαδὸς ἡ ᾠδή. b. ἡ γὰρ ᾠδὴ καὶ τὸ ἐγκώμιον, φησίν, ἕπεται ταῖς ἀρεταῖς καὶ τοῖς στεφάνοις τοῖς τοῦ νικηφόρου. BDP

14. *τᾶς ἀφθονίαν ὄπαζε:* ταύτης οὖν τῆς ᾠδῆς, ὦ Μοῦσα, ἀφθονίαν δίδου ἀπὸ τῆς ἐμῆς διανοίας. BDP

16a. *ἄρχε δ' οὐρανῷ:* Αἰολικῶς ἀντὶ τοῦ οὐρανοῦ. BD

b. ὁ μὲν Ἀρίσταρχος Οὐρανοῦ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος (fr. 13) καὶ Ἀλκμὰν (fr. 119) ἱστοροῦσιν· ὁ δὲ Ἀμμώνιος προστίθησιν, ὅτι διὰ τοῦτο κρέοντα κέκληκε τὸν Οὐρανόν, ὅτι πρὶν Κρόνον βασιλεῦσαι οὗτος ἐβασίλευσεν. ἤλλακται δὲ ἡ πτῶσις, ἀντὶ τοῦ τοῦ πολυνεφέλου οὐρανοῦ BDP

---

1 Tzetzes Lyc. 176 (p. 86 S.) 8 Greg. Cor. Dor. 28. — Cfr. sch. O. I 47 18 Gregor. Cor. Aeol. 8 19 Diod. 4, 7

---

1 l. om. BD αἴγινα] αἰγίνη D 2 δὲ om. D 3 ἐπινίκιον D 5 l. om. BD μένοντ(ι) P 6 ἐν — λέγω P: τουτέστιν ἐν τ. θ. BD 7 ἡδάτων D 8 ἀεί om. BD μένονται P, corr. a 10 l. B: δ. δὲ πρ. DP πράγος BP: πρῶτος D 11 ἐπιθυμῇ ἄλλοι μοι ἄλλου D φιλονικείας D 12 ἀθλονεικία P[1] καὶ τοὺς ὕμνους om. D 14 ἡ (alt.)—15 νικηφόρου BD: ἕπεται γὰρ τὸ ἐγκώμιον τῷ νικήσαντι P 16 l. BD: τᾶς ἀφθ. P ἀφθονίων D 18 l et P ἄρχε BP: ἄρδε D οὐρανώα P 20 μίμνημος r (B aegre legitur) μίμνερκος D μίμερμνος P ἀλκᾶν D 22 ἐβασίλευεν D 23 τοῦ τοὺ B: τοῦ DP

θύγατερ. βέλτιον δέ φησιν ὁ Δίδυμος ἀκούειν τὸ ὅλον οὕτως· τοῦ πολυνεφέλου κρέοντος οὐρανοῦ θύγατερ, τοῦ Διός.
BD κρέων γὰρ οὐρανοῦ ὁ Ζεύς, Διὸς δὲ Μοῦσαι. c. ὁ δὲ νοῦς· κάταρχε δὲ αὐτὴ ὦ Μοῦσά μοι καὶ πάρεχε δόκιμον ⟨ὕμνον⟩ καὶ κάλλιστον, ὦ τοῦ πολυνεφέλου οὐρανοῦ βασιλέως θύγατερ.

BD 18a. ἐγὼ δ' ἐκείνων τέ μιν ὀάροις: ἐκ τῶν νεανίσκων, φησί, τῶν μενόντων παρ' ἐμοὶ τὸν ὕμνον κοινῶς ᾄσομαι· μετ' ᾠδῆς γὰρ καὶ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι. b. ὁ δὲ νοῦς· ἐγὼ δὲ ταῖς ἐκείνων τῶν χορευτῶν φωναῖς καὶ ταῖς λύραις κοινῶς τὸν ὕμνον ᾄσομαι.

P 18c. ἐγὼ δ' ἐκείνων: ἐγὼ δὲ ταῖς τῶν χορευτῶν φωναῖς καὶ ταῖς λύραις κοινῶς τὸν ὕμνον ᾄσομαι· μετ' ᾠδῆς γὰρ καὶ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι. 6 P

BDP 20a. χαρίεντα δ' ἕξει πόνον: ἀμφίβολον πότερον ἡ Αἴγινα τὸν ὕμνον ἕξει τῆς χώρας αὐτῆς ὄντα ἄγαλμα, ἢ τὸν πόνον ἕξει, τουτέστι τὸν ὕμνον. χαρίεντα δὲ ἀντὶ τοῦ ἐπίχαριν. b. ἢ οὕτως· ἡ Αἴγινα, ἥτις ἐστὶ χώρας ἄγαλμα, ἕξει μοι τὸν ὕμνον ἐπὶ χάριτι. c. ἄλλως. τὸν δὲ χαρίεντα πόνον τοῦ παγκρατίου διὰ τῶν ὕμνων ἕξει μνημονευόμενον ἡ Αἴγινα ἡ οὖσα ἄγαλμα τῆς περὶ αὐτὴν πάσης χώρας. d. ἢ χαρίεντα πόνον τὸν ὕμνον ἕξει ἡ Αἴγινα ἡ οὖσα τῆς περὶ αὐτὴν χώρας ἄγαλμα.

---

16 Suid. χάριεν

---

1 θύγατερ P: θυγατέρα BD^{cp} δὲ BP: οὖν D δίδυμος h: πίνδαρος codd. 3 ὁ om. P 4 suppl. b (ante δόκιμον) 5 βασιλ(έως) B^{cp}: βασίλεια D 6 l. B: ἐγὼ δ' ἐκείνων D ἐκ corruptum; de delendo vel in ἐκείνων mutando cogitab. Abel. Sed et q. s. vix sana 9 χωρευτῶν D 15 ἕξει BP: ἧει D ἄγαλμα] + τὸν πόνον P 16 πόνον om. in lac. P τουτέστι BD: τουτὶ P. Locus corruptus; ὕμνον ⟨τῆς περὶ αὐτὴν χώρας οὖσα ἄγαλμα⟩ cj. Abel (cfr. 20d) ἕξει τῆς χώρας αὐτῆς ὄντα ⟨ἄγαλμα, ἢ τῆς περὶ αὐτὴν χώρας οὖσα⟩ ἄγαλμα τὸν πόνον ἕξει, τουτέστι τὸν ὕμνον M Schmidt 18 ἐν χάριτι cj. Abel 19 τοῦ BD: διὰ τοῦ P τὸν δὲ χαρ. πόνον ⟨τὸν⟩ τοῦ παγκρ. ⟨ἀκουστέον, ὃν⟩ διὰ τῶν ὕμνων cett. M. Schmidt (explicandae sententiae causa) 21. 22 ἕξει — ἄγαλμα om. P

21. *Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν*: περὶ τῶν Μυρμιδόνων Ἡσίοδος μὲν οὕτω φησίν (fr. 76)· BDP

ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.
αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
οἳ δή τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.

Θεογένης (FHG IV 511) δὲ ἐν τῷ περὶ Αἰγίνης οὕτω γράφει· ἄλλοι δέ τινες πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. ὀλιγανθρωπούσης γὰρ τῆς νήσου φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι, αὐτοὺς παντελῶς ἀκατασκεύους ὄντας, καὶ τοὺς μὲν γινομένους καρποὺς εἰς ταῦτα καταφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γεώργια

2—8 Tzetzes ad Lyc. 176 (p. 85 S.); Chil. VII 306 8 cfr. sch. O. VIII 26e 10—p. 46, 8 Strab. VIII p. 375. — Tzetzes ad Lyc. 176: *Θεογένης δὲ ὁ ἱστορικὸς ἐν τῷ περὶ Αἰγίνης φησὶν ὀλιγανθρωπούσης τῆς νήσου τοὺς ἐν αὐτῇ ἐν σπηλαίοις οἰκεῖν ἀκατασκεύους ὄντας, καὶ τοὺς μὲν γεωργουμένους καρποὺς ἐν τοῖς σπηλαίοις τίθεσθαι, τὴν δ' ἐκ τούτων ὀρυττομένην γῆν εἰς τὰς γεωργίας ἀναφέρειν ὡς ὑπάντρου τῆς νήσου τελούσης καὶ μᾶλλον ἐπὶ τῶν πεδινῶν. Αἰακὸς δ' ἐλθὼν μετά τινων ἐκ Πελοποννήσου καὶ οἰκήσας τὴν νῆσον ἐξημέρωσεν αὐτὴν πάντα διδάξας τὰ πρὸς πόλεμον καὶ ἁπλῶς εἰπεῖν ὅσοις ἄνθρωποι κέχρηνται. ὅθεν ἐμυθεύσαντο ὅτι Αἰακῷ χαριζόμενος ὁ Ζεὺς τοὺς τῆς Αἰγίνης νήσου μύρμηκας ἀνθρώπους ἐποίησε, τουτέστιν ἡ εἱμαρμένη καὶ ὁ νοῦς Αἰακοῦ — Ζεὺς γὰρ καὶ ἡ εἱμαρμένη καὶ ὁ νοῦς λέγεται — μετέστρεψεν αὐτοὺς καὶ μετερύθμισε πρὸς τὸ κατ' ἀνθρώπους πράττειν τὰ σύμπαντα ἔργα αὐτῶν.* — id. Chil. VII 311

1 l. **B**: *μ. ἵνα πρότερον* **D** *μυρμιδόνες* **P** 3 *ὑποκυσσαμένη* **P** Tzetzes(?) 4 *ἥρης πολυκρόντου ἥκετο* **D** 5 *ἤσχαλε* **P** *δ'* om. **D** 6 *ἔνδοθεν* **D** 8 *δή τοι* **P**: *δή τι* **D** (**B** l. n.) *δ' ἤτοι* **b** *δ' ἤτοι* al. (cfr. ad O. VIII 26) *τεῦξαν* sch. Ol. *ζευκανῆας* **D** 9 *θεογένης* **B**, pars codd. Tzetzae: *θεαγένης* **DP** Tz. Chil. *γράφει*] *φησὶν* **D** (Tzetzes) 10 *πιθανότερον* **D** 11 *γὰρ* om. **D** *αὐτῇ* **P** 12 *καταγείας* **D** *αὐτοὺς* **BD**: *αὐτοῖς* **P** om. r (Tzetzes) 13 *γινομένους*] *γεωργουμένους* Tzetzes 14 *ὀρυσσομένην* **P** *ἐπὶ* **BD**: *εἰς* **P** Tzetzes *τὰς γεωργίας* Tz.

ἀναφέρειν, οὔσης ἐπιεικῶς ὑπάντρου τε καὶ ὑποπέτρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. διόπερ ἀφομοιούντων αὐτούς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι. μεθ' ὧν συνοικίσαντα τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγενομένους, ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικήν, ᾗ χρησαμένους αὐτοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι.

BDP 23. *ὧν παλαίφατον ἀγοράν: ὧν, τῶν Μυρμιδόνων, τὴν πάλαι πεφατισμένην, τουτέστιν ὑμνουμένην ἀγορὰν καὶ σύνοδον οὐδαμῶς ὕβρισε καὶ ὀνειδισμοῖς ἐμίανεν ὁ Ἀριστοκλείδης, ἀλλὰ τοὐναντίον καὶ προσηύξησεν· ὡς καὶ Ὅμηρος* (*O* 11)· *ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν· ἀλλὰ ἰσχυρότατος δηλονότι.*

BDP 25. *διὰ τὸ σόν, φησί, μέρος, ὦ Μοῦσα, ἢ ὦ Αἴγινα. ὅ ἐστι τοῦ ὕμνου τυχών. κατὰ τὴν ἑαυτοῦ μερίδα καὶ σπουδήν, ὅσον γε αὐτῷ ἀνῆκε.*

BDP 27a. *παγκρατίου στόλῳ: στόλῳ μὲν τῇ στάλσει. εἰσὶ δὲ οἳ τὸ παγκράτιον ἀπαρχαΐζοντες καὶ τὸν Θησέα φασὶ τῷ Μινωταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ* (fr. 475) *Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι.* b. *ὁ δὲ νοῦς· τῇ τοῦ παγκρατίου ὁ μῇ,*

---

18 sch. Hom. A *O* 11, *Λ* 330

---

1 *ὑπάντρου*] *πάντρου* D *τε* om. BD *ὑποπετραίου* P 2 *αὐτῆς*] *αὐτοῖς* P 3 *αὐτοὺς*] *αὐτοῖς* P 4 *συνοικήσαντα* codd.; corr. h 5 *τοὺς*] *τοῖς* P *πελοπονήσου* DP 6 *παραγενομένους* D: *-οις* P *παραγινομένους* B *ἐξημεροῦσθαι* D *δοῦναι* om. P 8 *γενέσθαι*] + *ἀνθρώπους* B (cfr. Tz. p. 86, 2 S.) 9 l. BD: *ὧν παλ.* P 10 *πάλαι — τουτέστιν* om. D 12 *ἀλλὰ* — 14 *δηλονότι* post 17 *ἀνῆκε* P (sed *τουναντίον δὲ* pro *ἀλλὰ τουν.*) *καὶ* (alt.) om. P 13 *ἐπεὶ* om. P *βούλ'* D 15 sch 25 praem. *ἄλλως* BD *ἢ οὕτως* P 16 *τυχὸν* D cfr. v. Wilamowitz, Pind. p. 276 *μερίδα*] *προαίρεσίν τε καὶ μερίδα* P *ὅσον γε* b: *ὅσσον τε* B *ὅσον τε* DP 17 *ἀνῆκεν αὐτῷ* B. — 15 *ἢ ὦ αἴγινα* delend., 16 ante *κατὰ* inserend. *ἢ* cj Abel 18 *στόλῳ* (pr.)] *στόλος* D *στάλσει* Beck: *στάσει* codd. 20 *μινοταύρῳ* D 21 *φησι λεύκ.* P *φασι* D *λακαρνᾶνα* P

τοῦτο γὰρ λέγει στόλῳ, καὶ ὁρμῇ τῇ περισθενεῖ καὶ πανταχόθεν συνεχομένῃ μαλαχθεὶς καὶ γυμνασθεὶς ἱκανῶς. τῶν δὲ ἐπιπόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων τῶν κατὰ τὴν μεγάλην Νεμέαν βοήθημα καὶ ἴαμα ὑγιεινὸν φέρει τὴν νίκην.

29. *ἄκος ὑγιηρόν: τὴν νίκην φάρμακον ἔσχε τῶν πληγῶν· οἱ γὰρ νικήσαντες οὐδὲ εἰ τραύματα ἔχουσιν αἰσθάνονται διὰ τὸ ἥδεσθαι.* BDP

32. *εἰ δ' ὢν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ: εἰ δὲ τὸ εἶδος ὢν καλὸς ἰσορρόποις τοῦ εἴδους σεμνύνεται πράξεσιν ὁ τοῦ Ἀριστοφάνους παῖς Ἀριστοκλείδης, οὐκέτι οἷόν τέ ἐστι περαιτέρω τὴν μὴ πλεομένην θάλασσαν περᾶν, ἀλλ'⟨ἄβατον⟩ ὑπὲρ τὰς Ἡρακλείους στήλας τοῖς πλέουσιν.* BDP

37. *ὑπὲρ Ἡρακλέος περᾶν: ἀρκείσθω τούτοις τοῖς ἀγαθοῖς καὶ τῷ κάλλει καὶ τῷ νικᾶν, καὶ μὴ ζητείτω ἔτι πλείονα ἀγαθά· ὡς γὰρ οὐ δυνατὸν ὑπερθέσθαι τὰς Ἡρακλείους στήλας, οὕτως οὐδὲ τὴν ἀπὸ τούτου δόξαν.* BDP

38a. *ἥρως θεὸς ἃς ἔθηκεν: ὁ Ἡρακλῆς. διατί δὲ αὐτὸν ἥρωα καὶ θεὸν εἶπε; λέγεται γὰρ ὅτι τῆς Ἑλλάδος προσελθούσης τῷ Ἀπόλλωνι καὶ ἐρωτώσης, ὅπως δεῖ τιμᾶν τὸν Ἡρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ θεός· νῦν μὲν ὡς ἥρωα, τῇ δὲ ἐπιούσῃ ὡς θεόν.* b. *ὁ δὲ νοῦς ὅλος· ἅστινας στήλας ὁ ἥρως καὶ θεὸς Ἡρακλῆς τῆς τελευταίας ναυτιλίας καὶ τοῦ ἐσχάτου πλοῦ ἔστησε περιφανέστατα σημεῖα. ὡς ἐν* BDP

---

1 *τοῦτο—ὁρμῇ* post 2 *ἱκανῶς* P *ὁρμῇ*] *στάλσει*? Abel (parum recte; sed locus vix sanus) 2 *μαλαχθεὶς*] + *γὰρ* D ⟨*οὐ*⟩ *μαλ. ἅτε γυμν.* Schroeder 4 *τῶν* delend. cj. Abel 5 *φέρειν* B 6 l. P: om. BD *τὴν νίκην* P: *ταύτην γὰρ* BD (sch. 29 cum 27 continuato) 9 l. B: *εἰ δ' ὢν καλός* DP (*δ' ὢν* D) 12 *περαιτέρω*] + *πλεῖν* BD *περᾶν* om. BD *ἀλλ' ἄβατον* b: *ἀλλ'* codd. *ἅλα* h *ἢ ἅλα* nescio quis ap. b 13 *ἡρακλείους* B?D: *ἡρακλέος* P 14 l. P: om. BD, add. *φησί* post *ἀρκείσθω* 16 *ἡρακλείους* B (D[cp]): *ἡρακλέος* P 17 *τούτων*? 18 l. B: *ἥρως θεὸς ἐπέθηκεν* D *ἥρως θεός* P *αὐτὸν—19 θεὸν* B: *ἥρωα κ. θ. αὐτὸν* D *αὐτὸν ἥρ. κ. θ. αὐτὸν* P 19 *γὰρ* om. P *τῆς ἑλλάδος* mirum *προελθούσης* D 21 *νῦν*] *νυνὶ* D 22 *δὲ* (pr.)] *γὰρ* D 23 *ἥρως καὶ θεὸς* om. P 24 *περιφανέστατον σημεῖον* P

παρεκβάσει δὲ λέγει, ὅτι καὶ ἀνεῖλε θαλάσσια θηρία, οἷον τὸ κῆτος. λέγεται γὰρ ὁ Ἡρακλῆς διαπλεῦσαι τὰ δυτικὰ μέρη καὶ Λιβύην καὶ ἔτι περαιτέρω, καὶ θεασάμενος ἄπειρον τὸ πέλαγος ὅρους τοῦ πλοῦ δύο κίονας ἔστησε, τὸν μὲν ἕτερον ἐν Λιβύῃ, τὸν δὲ ἄλλον εἰς τὸ ἕτερον κλίμα.

BDP 40. *μάρτυρας κλυτάς: ἀμφίβολον πότερον τῆς ἐσχάτης μάρτυρες ναυτιλίας αἱ στῆλαι, ἢ κατὰ τὸ πληθυντικὸν τὰς ἐσχάτας μάρτυρας ἐμφανιζούσας ἔθηκεν, ὅτι μέχρι αὐτῶν δεῖ πλεῖν. ἔστι δὲ καὶ περισπάσαι τὸ κλυτᾶς, ἵν' ᾖ· τῆς κλυτῆς ναυτιλίας ἐσχάτας μάρτυρας τὰς στήλας ἔθηκεν. αἱ δὲ Ἡράκλειαι στῆλαι καὶ Βριάρεω λέγονται εἶναι, καθά φησι......* (Fr. Ep. Gr. ed. Kinkel p. 7)·

στῆλαί τ' Αἰγαίωνος ἁλὸς μεδέοντι Γίγαντος.

BDP 42a. *ὑπερόχος ἰδίᾳ τ' ἐρεύνασε: Δωρικῶς ἀντὶ τοῦ ὑπερόχους, οἷον ὑπερέχοντας καὶ μεγίστους. ἡ δὲ ἀπότασις αὐτῷ ἐπὶ τοῦ κήτους τοῦ περὶ τὴν Ἴλιον καὶ τὸν Λαομέδοντα.*

b. *τὸ δὲ ἰδίᾳ τ' ἐρεύνασεν ἔνιοι γράφουσι διά τ' ἐρεύνασε, διηρεύνησέ τε.* c. *ἰδίᾳ: οὐκέτι προστάξαντος Εὐρυσθέως, ἀλλ' ἀφ' ἑαυτοῦ καὶ κατὰ τὸ φιλόπονον αὐτοῦ διηρεύνησεν, ὅθεν ἦν δυνατὸν ἐπανελθεῖν τινας. Καλλίμαχος* (fr. 120)·

---

11 sch. Dion. Perieg. 64. 456. Ael. v. h. 5, 3. Hes. *Βριάρεω στῆλαι.* Tzetzes exeg. Il. p. 23, 11 14 Gregor. Cor. Dor. 131. — sch. O. I 84c. N. III 49b. X 114a

---

2 *δυττικὰ* **P** 3 *τὸ* om. **P** 4 *ὅρους τοῦ πλοῦ* om. **D** 4. 5 *τὸν μὲν ἕνα ἐν λ., τὸν δὲ ἕτερον εἰς τὸ ἄλλο κ.* **P** 6 *τὸ δὲ μάρτ. κλ.* **BD** *κλυτὰ̃ς* **B** *κλυτᾶς* **P** 7 *αἱ στῆλαι*] *ἔστειλεν* **D** 7. 8 *τὰς ἐσχάτας* **b**: *τῆς ἐσχάτας* **P** *τῆς ἐσχάτης* **BD** *τῆς ναυτιλίας ἐσχάτας* cj Abel 8 *αὐτῶν δεῖ*] *δεῖ αὐτὸν* **D** 9 *τὸ* om. **P** 10 *ἐσχάτους* **D** *ἡράκλειοι* **BD**: *ἡράκλειαι* **P** 11 *βρυάρεω λέγεται* **D** *εἶναι λέγονται* **P** *καθὸ* **B** lac. indic. **b**; excidit nomen poetae (*Εὐφορίων?*) 13 *τ'* **b**: *τὴν* codd. 14 l. **B**: *ὑπ. ἰδίᾳ* **DP** *ὑπέροχος* **B**[1]**DP**: *ὑπερόχως* **B**[s] 15 *οἷον* om. **P** 17 *ἐρεύνησεν* (pr.) **B** *δία* **D** *δία* s. *δῦα* s. *δϋία* **P** 18 dist. Abel (in adn) *οὐκέτι — 19 διηρεύνησεν* **P**: *ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ, οὐκ ἐπιτάξαντος εὐρ., ἀλλὰ κ. τ. φ. αὐτὸς δι' ἑαυτοῦ ἠρεύνησεν* **BD**

χαῖρε βαρυσκίπων, ἐπιτακτὰ μὲν ἑξάκι δοιά,
ἐκ δ' αὐταγρεσίης πολλάκι πολλὰ καμών,

τουτέστι τὰ πάραθλα.

43a. τενάγη δὲ λέγονται αἱ δίυγροι καὶ παραποτάμιοι ὀφρύες, ἤτοι παρατεταμένη τις καὶ ὑπερέχουσα γῆ οὖσα, ἢ ἀπὸ τοῦ τέγγεσθαι. BDP b. ἢ νησώδης. DP

45a. καὶ γᾶν φράδασε: ἀντὶ τοῦ φραδητὴν ἐποίησε καὶ δήλην ἕως τίνος ἐστὶ πορευτὴ καὶ ἕως τίνος ἡ θάλασσα πλωτή, ἐπιστήσας τὰς στήλας αὐτός. BD

45b. θυμέ, τίνα πρὸς ἀλλοδαπάν: ἐπιλαμβάνεται ἑαυτοῦ ὡς περαιτέρω ἢ πρ σῆκεν εἰς τοὺς περὶ Ἡρακλέους ἐπαίνους τραπέντος, δέον λέγειν περὶ τῶν προγόνων τοῦ νενικηκότος, Αἰακοῦ καὶ Τελαμῶνος· προσεχέστεροι γὰρ οὗτοι Ἡρακλέους τοῦ ἐπαινουμένου ἕνεκεν Ἀριστοκλείδα· ὁ μὲν γὰρ Αἰγινήτης ἐστὶν ὥσπερ Αἰακός, ὁ δὲ Ἡρακλῆς Θηβαῖος. ἀλληγορεῖ δὲ πρὸς ἄκραν ἀπευθύνειν λέγων τὸν πλοῦν, ἀπὸ τῶν κυβερνητῶν τῶν ἐχομένων ἄλλων ἀκρωτηρίων ἀλλ' οὐ τῶν προκειμένων, δέον εὐθυπλοεῖν κατὰ λιμένα. τουτέστι, μὴ καὶ τὸν νοῦν περιφέρειν ἔξω τοῦ σκοποῦ τοὺς ἐπαίνους ἄγοντα, ἀλλ' ἐπὶ τὸν ἐπαινούμενον τρέπειν. διὸ καὶ ἐποίσει ἐντόπιά τινα καὶ οἰκεῖα· Αἰακῷ σε φημὶ γένει τε Μοῖσαν φέρειν· τὸ ποίημα δεῖν οἶμαι φέρειν, ὦ θυμέ, Αἰακῷ σε· Αἰγινήτης γὰρ ὅ τε ἐπαινούμενος καὶ ὁ Αἰακός. BDP c. ἄλλως. ἀποστρέφει τὸν λόγον πρὸς ἑαυτόν· ᾔσθετο γὰρ ἑαυτοῦ παρεκβάντος, καί φησι·

4 Hes. τενάγη (?) 6 EM 751, 53. EG 525, 60. 629, 44. Orion 150, 30

1 βαρυσκίπω D 4 λέγεται D παραποτάμιοι BD: αἱ ποτάμιοι P 5 ἤτοι BD: ἢ P καὶ ὑπερέχ om. P οὖσα] οὖρα D ὕδατος Hartung 6 τέγγεσθαι] + τουτέστι βρέχεσθαι r νησιώδης P 10 l. BP: θυμὲ τίνα D 12 τοῦ om. D 16 τὸν] τὴν B? 18 λιμένας B μὴ καὶ BD: καὶ μὴ P. Neutrum verum; μὴ γὰρ Schr.; ft. δεῖ μὴ 20 τρέπειν P: τρέπει D πρέπει B 21. 22 γένει — φέρειν om. P 22 δεῖν οἶμαι P: δεῖν εἶναι D δεῖ B αἰακῷ σε om. P 23 ὁ om. B αἰκός D 23. 24 πρὸς ἑαυτὸν τὸν λόγον P παρεκβάντος ἑαυτοῦ D

τίνα πρὸς ἄκραν ἀλλοτρίαν ἐκπλέεις, ὦ θυμέ; ἀντὶ τοῦ διατί τὰ Ἡρακλέους νῦν διηγῇ θαύματα ἐάσας τὰ τῶν Αἰακιδῶν; λέγε μᾶλλον περὶ Αἰακοῦ καὶ τούτου τοῦ γένους· ἢ τῶν πολέμων· καὶ ἐν τούτοις τὴν Μοῦσαν τὴν σὴν, ἤτοι τὸν ὕμνον φέρε.

BDP 49a. *ἕπεται δὲ λόγῳ δίκας: ἕπεται δὲ τῷ λόγῳ καὶ ἀκόλουθον φαίνεται, ὅστις λόγος τῆς δίκης ἄωτός ἐστι· τί ἕπεται; ὅτι δεῖ τοὺς ἀγαθοὺς πάντας ἐπαινεῖν, ἀλλ' οὐ καλὸν ἐξ ἀλλοτρίων κοσμεῖσθαι. κατ' ἔλλειψιν δὲ εἶπε τὰ πλεῖστα.*

b. *ἄλλως. τὸ ἐσλός ἀντὶ τοῦ ἐσλούς· οἷον δίκαιόν ἐστι τοὺς ἀγαθοὺς ἐπαινεῖν. τοῦτο δὲ πρὸς τὸν Αἰακὸν, ὅτι δεῖ αὐτὸν ἐπαινεῖν· ἀγαθὸς γὰρ ἦν.* 54P

BD 51. *οὐ καλοὶ γὰρ οἱ ἔρωτες, φησίν, οὐδὲ ἀρίστη ἡ ἐπιθυμία, τὸ ἀνδρὶ προσάπτειν καὶ προσφέρειν ἔπαινον ἐξ ἀλλοτρίων ἐγκωμίων καὶ μὴ ἰδίων.*

BD 53a. *οἴκοθεν μάτευε: ἐκ τοῦ ἰδίου τοίνυν γένους ἀνεύρισκε καὶ ἐπιζήτει τὰ ἐγκώμια καὶ μὴ ἀπὸ τοῦ Θηβαίου Ἡρακλέους.*

P 53b. *οἴκοθεν μάτευε: ἐκ τοῦ ἰδίου γένους ἀνεύρισκε καὶ ἐπιζήτει γλυκύ τι φωνεῖν εἰς τοῦτον ἐγκώμιον, μὴ ἀφ' Ἡρακλέους· οὐχ ὑπ' ἐμοῦ δὲ μόνον ὑμνεῖται ὁ Πηλεύς, ἀλλ' ἔτι πάλαι ὑμνεῖτο.* 57P

BDP 54a. *ποτίφορον δέ: πρόσφορον, οἰκεῖον ἔπαινον ἔλαχες καὶ ἔχεις, ὅπερ δὴ γλυκύτατόν ἐστι λέγειν, τὸ ἀπὸ τῶν ἰδίων καλῶν ἐγκωμιάζεσθαι.* b. *ἢ οὕτω· τοῦτο, φησίν, ἔλαβες ἐκ θεῶν, κοσμεῖν τοὺς ἀξίους, ἵν' ᾖ ὡς πρὸς αὐτὸν λέγων. κόσμον δὲ τὸν ἔπαινον.* 53bP

---

2 *νῦν* om. D *τῶν* om. D 3 *περὶ*] *τὰ* D *ἢ τῶν πολέμων* sensu cassa 4 *ἤτοι τὸν* P: *τὸν* B om. D 6 l. B: *ἕπεται δὲ τῷ λόγῳ* P *ἕπεται δέ* D 7 *ἄωτος* Beck: *ἀκόλουθος* codd. 8 *καλῶν* D 10 *ἄλλως*—11 *ἐπαινεῖν* BD: *ἐσλὸν αἰνεῖν· ἀντὶ τοῦ ἐσλοὺς ἀγαθοὺς ἐπαινεῖν* P 11 *αἰακόν*] + *φησιν* BD 12 *αἰνεῖν* P 13 *καλλοὶ* D *ἡ* om. D 14 *τὸ* B: *τῷ* D 16 *μάντευε* D 20 *τοῦτον* a: *τούτων* P 23 l. om. BD *οἰκεῖον*] + *ὃς* P 25 *ἔλαβες* BD: *ἔλαχες* P 26 *ὡς* P: om. BD *αὐτὸν* codd. 27 *δὲ* P: *γάρ φησι* BD

55. *παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ*: ἔτι πάλαι, φησίν, ὑμνεῖται ὁ Πηλεὺς καὶ ὑμνεῖτο, οὐ νεωστὶ οὐδὲ ὑπ' ἐμοῦ μόνον. οὐ γὰρ λέγει, ὅτι νῦν γέγηθεν ὁ Πηλεὺς ὡς νῦν πρῶτον ἐπαινούμενος, ἀλλ' ἔτι πάλαι ὑμνεῖτο. BD

57. *ὑπέραλλον αἰχμάν*: ἀντὶ τοῦ ἐξαίρετον, ἐξέχουσαν καὶ ὑπερβάλλουσαν. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά (*Τ* 390)· BDP

Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων.

ἀντιτάττεται δὲ τοῖς Ὁμήρου· ὁ μὲν γὰρ ὑπὸ Χείρωνός φησι τμηθῆναι αὐτὴν καὶ δοθῆναι Πηλεῖ, οὗτος δὲ ὑπὸ Πηλέως φησὶν αὐτὴν τμηθῆναι. δόξει δὲ ὁ Πίνδαρος διὰ τὸν Αἰγινήτην χαρίζεσθαι τῷ Πηλεῖ· οὐ γὰρ μόνος εἷλε τὴν Ἰωλκόν, ἀλλὰ μετὰ Ἰάσονος καὶ τῶν Τυνδαριδῶν, ὡς ἱστορεῖ Φερεκύδης (FHG I 78 M., I 78 J.).

58. *ὃς καὶ Ἰωλκόν*: ὃς ὁ Πηλεὺς καὶ τὴν Ἰωλκὸν ἐπόρθησε μόνος πολεμήσας πρὸς Ἄκαστον τὸν Πελίου παῖδα. BDP

60. *ποντίαν Θέτιν κατέμαρψεν*: ἀντὶ τοῦ περιεγένετο αὐτῆς τῶν ἐπιβουλῶν· διωκομένη γὰρ ὑπ' αὐτοῦ μετέβαλλε τὰς μορφάς, ὅτὲ μὲν εἰς πῦρ, ὅτὲ δὲ εἰς θηρία· ὁ δὲ καρτερήσας περιγέγονε. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Τρωΐλῳ (fr. 561)· BDP

ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,
τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε.

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς (fr. 154)·

---

11 Apollod. 3, 13, 7. Nic. Dam p. 446 Vales. Suid. Ἀταλάντη.

---

1 l. B: π. δ' ἐν ἀρ D 2 ὑμνεῖται B: ὕμνον D καὶ ὑμνεῖτο om. D 5 l. P: τὸ δὲ ὑπ. αἰ. ταμὼν BD ἔχουσαν P 7 φίλοι D[ac]? τάμε] πόρε v. l. ap. Hom. 8 ἀντὶ τοῦ τάττεται δὲ τῆς ὁμ. D γὰρ φησὶν ὑπὸ χείρ. τμ. D 9 οὗτος BP: αὐτὸς D 10 αὐτὴν om. B 11 τὴν] τὸν Beck (ubique) 12 ὡς om. P 14 l. P: οὗτος δέ φησιν ὅτι BD, om. ὃς ὁ om. B πηλεὺς P: π. μόνος B π. μόνον D ἰωλκὴν P 16 l. BD: ποντίαν θέτιν P ἀντὶ τοῦ om. P παρεγένετο P 17 μετέβαλε BD 20 ζωίλῳ D[s] 21 om. P γάμους B: μα.... (4 litt. spat.) D 22 τῇ om. P παντομόρφῳ Heath: πανταμόρφῳ BP ποντομόρφῳ D 23 ἐν om. P

τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων
δράκων τε, πῦρ, ὕδωρ. (61a P)

ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπέκλεπτε τοὺς πρὸς τὸν Πηλέα γάμους, δημώδης ὁ λόγος· ὥσπερ καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβεν. 61c P

P 61a. ἐγκονητί: ἀντὶ τοῦ ἐνεργῶς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀθλευόντων. 60 ὅτι P

BD 61b. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμών: ἀπὸ μὲν τοῦ Λαομέδοντος τὴν πόρθησιν τῆς Ἰλίου σημαίνει, ἀπὸ δὲ τοῦ Ἰόλα, ὃς ἦν Ἰφικλέους υἱός, τὴν Ἡρακλέους στρατηγίαν· τῷ δὲ Ἡρακλεῖ συγκαθεῖλε Τελαμὼν τὴν Ἴλιον.

P 61c. εὐρυσθενὴς Τελαμὼν Ἰόλα: τῷ Ἡρακλεῖ λέγει ἐκ
BD συσσήμου· Ἰόλας γὰρ Ἡρακλέους ἡνίοχος. d. ἄλλως. Ἰόλαος Ἡρακλέους ἦν ἡνίοχος· ἐκ συσσήμου οὖν λέγει Ἰόλᾳ, τουτέστι
BDP τῷ Ἡρακλεῖ. | φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παραστάτης ὢν τοῦ Ἡρακλέους ἅμα τῷ Ἰόλᾳ ἐπόρθησε τὸν Λαομέδοντα.

BDP 64a. καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκάν: χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολεμικὰς Ἀμαζόνας ἀπιόντι τῷ Ἡρακλεῖ συνηκολούθησε, φησίν, ὅτε πρὸς τὴν Ἱππολύτην διὰ τὸν ζωστῆρα ἦλθεν. b. ἄλλως. περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι . . . . . . (Hesiod. fr. 278)

Τελαμὼν ἀκόρητος ἀϋτῆς
ἡμετέροις ἑτάροισι φόως πρώτιστος ἔθηκε
κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην,
αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης.

ἔνιοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτῷ συνεστράτευσεν, Ἑλλάνικος δὲ πάντας τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας Ἡρακλεῖ συστρατεῦσαί φησιν (FHG I 49 M., I 134 J.)

---

24 Tzetzes ad Lyc. 1329

---

1 μόχρος D ἐπεστάτα D 2 πῦρ] + καὶ P 3 διαφόρῳ BD: διφρῳ P 8 l. B: λαομέδοντ' εὐρυσθενής D 10 ἰόλα] ἰόλαος D 14 οὖν] ἦν D 16 ἰολάῳ B ἰόλη P 17 l. B: καὶ π. χαλκ. DP χαλκοτόξων BD 19 συνηκολούθουν P τὴν] τὸν P 23 ἑτάβοισι D 26 αὐτῷ P: αὐτοῖς BD 27 ἀργῇ D ἡρακλῆς P

66a. *οὐδέ μίν ποτε φόβος ἀνδροδάμας*: ὁ τοὺς ἄνδρας δαμάζων φόβος. BDP b. οὐδέποτε δὲ αὐτοῦ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φόβος τις ἔπαυσεν· οὕτως ἄρα τῇ ἐκ φύσεως εὐδοξίᾳ πᾶς τις ἐπαίρεται καὶ μέγα φρονεῖ. δεῖ οὖν, φησί, καὶ τούτους ἐφ᾽ ἑαυτοῖς μέγα φρονεῖν· ἐκ φύσεως γὰρ ἀγαθοί. 72c BD 86 P

71a. *ὃς δὲ διδάκτ᾽ ἔχει, ψεφηνὸς ἀνήρ*: ἀντὶ τοῦ σκοτεινός· ψέφος γὰρ τὸ σκότος. P b. ὁ δὲ νοῦς· ὅστις δὲ ἐξ ἐπιτηδεύσεως καὶ μαθήσεως ἔχει τὰ καλά, σκοτεινός ἐστι καὶ οὐχ ὁμοίως ἐκλάμπων, οὐκ ἀεὶ τὰ αὐτὰ φρονῶν ἀλλ᾽ εὐμαρῶς μεταβαλλόμενος διὰ τὸ σαθρὸν τῆς ἐπιτηδεύσεως ἀφ᾽ ἑτέρων εἰς ἕτερα. BDP 76 BD

72a. *οὔποτ᾽ ἀτρεκεῖ*: οὐ διαπαντὸς διομαλίζων, ὡς ὁ ἐκ φύσεως τὸ ἀγαθὸν περιπεποιημένος, ἀλλὰ νῦν μὲν ἐπιτυγχάνων, νῦν δὲ οὔ. BDP ὁ γὰρ φυσικὴν μὲν οὐδεμίαν ἔχων ὁρμὴν οὐδὲ εὐφυΐαν, διδακτὰ δὲ πάντα, οὗτος οὐδέποτε ἐφ᾽ ἓν ὁρμήσας συνετέλεσεν, ἀλλ᾽ ἐπὶ πολλὰς ἀρετὰς ἐρχόμενος ἀπογεύεται μόνον. b. ἢ οὕτως· διομαλίζει, οὐκ ἐπιβαίνει, οὐκ ἐπὶ τὸ αὐτὸ πρᾶγμα ἵσταται. ὁ δὲ Δίδυμος· οὐδέποτε καταβὰς ἐπί τι πρᾶγμα ἐνέμεινεν ἐπ᾽ αὐτοῦ καὶ ἐνεκαρτέρησεν, ἀλλ᾽ εἰς πολλὰ καὶ ἄλλα μετατρέπει. 71b BD c. ἄλλως. οὐδέποτε ἀσφαλῶς ἐπέβη τοῖς καλοῖς, καταψευδόμενος τῆς ἐλπίδος πολλῶν ἀρετῶν ἀτελῶς ἅπτεται. ὡς Ὅμηρος (*N* 281)·

ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει. 72a BD

71c. ψεφενὸς καὶ ψεφηνὸς ἀνήρ: σκοτεινός, οὐκ ἐπιφανής· ψέφος γὰρ τὸ σκότος. φησὶ Πίνδαρος Ἀριστοκλεῖ. EM 818, 33

1 l. B: οὐδέ μιν ποτέ D ἀνδροδάμας P ὁ P: τουτέστιν ὁ BD 2 οὔποτε P 3 ἄρα P: ἔτι D om. B 5 μεγάλα P 8 δὲ (alt.) om BD 9 ἔχων B 13 l. P: ἄλλως BD οὐδέ ποτ᾽ P ὡς om. D ὁ om. P 14 πεποιημένος P νυνὶ D ἐντυγχάνων P 15 νυνὶ D μηδὲ μίαν P 16 μὴ δὲ P οὕτως D 18 ⟨οὐ⟩ διομαλίζει a. Potius διομαλίζων 19 ἵσταται om. P 20 τι om. BD πρᾶγμα] + ἵσταται B[ac] ἐπ᾽ αὐτοῦ om. D 21 ἄλλως P: ὃς δὲ διδάκτ᾽ ἔχει ψεφηνὸς ἀνήρ· τουτέστιν B; item, sed om. ψεφ. ἀν. D 22 τοῖς καλοῖς BD: τῆς καλῆς P 23 πολῶν D

BDP 75. *ξανθὸς δ' Ἀχιλλεύς*: ὁ δὲ Ἀχιλλεὺς τὰ μὲν παῖς ὢν ἄθυρεν ἐν τοῖς οἴκοις τῆς Φιλύρας, καὶ ταῦτα δὲ μεγάλα, καὶ συνεχῶς κατειργάζετο ὀξείαις βολαῖσι μάχας, τῶν γενναιοτέρων ζῴων, λεόντων τε καὶ συῶν ἀγρίων πλῆθος ἀναιρῶν. διαπαντὸς δὲ ὁ Πίνδαρος μᾶλλον τὰ ἐκ φύσεως ἀγαθὰ τῶν ἐκ διδασκαλίας παραγινομένων προκρίνει. 79 BD

BDP 76a. *Φιλύρας ἐν δόμοις*: ἐν τοῖς τοῦ Χείρωνος· ἀπὸ τῆς μητρὸς ἀκουστέον. b. ἢ οὕτως· παρὰ μὲν Ὁμήρῳ μόνον παιδεύεται διδασκόμενος τὴν ἰατρικήν, παρὰ δὲ τοῖς νεωτέροις καὶ τρέφεται παρὰ Χείρωνι. 75 BD

BDP 79. *βραχυσίδαρον ἄκοντα*: ἤτοι καθὸ βραχυσίδηρός ἐστιν ἡ ἀκμὴ πρὸς τὸ ξύλον τοῦ δόρατος συγκρινομένη, ἢ ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεύς, ἀνάλογον εἶχε τῇ ἡλικίᾳ βραχυσίδηρον ἄκοντα, τουτέστι παιδικῷ δόρατι ἐχρήσατο.

BDP 80. *ἴσόν τ' ἀνέμοισιν*: ἀκαταλλήλως ἐξενήνοχεν· ἔδει γὰρ εἰπεῖν, λεόντων ἀγροτέρων μάχας ἐνήργει, ἢ λεόντεσσιν ἀγροτέροισι.

82. *σώματι δὲ παρὰ Κρονίδαν κένταυρον*: τῷ δὲ

---

8 sch. A *Λ* 832

---

1 l. P: ὁ δὲ νοῦς BD παῖς ὢν] πεσὼν D 2 ἄθυρον D 3 κατεργάζετο D κατειργάσατο P βολαῖσι BD: βουλαῖς εἰς P. Locus corruptus; βολαῖς ⟨ἀκοντίου ἐν⟩ μάχαις Bergk[3] βολαῖς ⟨ἀκοντίου⟩ μάχας Bergk[4] ὠκείαις ⟨τοῦ δόρατος⟩ βολαῖς cj. Abel ὀξείαις βολίσι μ. Mor. Schmidt ind. lect. Jen. 1879, 7. — βολαῖς (nedum βολαῖσι) a paraphr. alienum 4 ἐναίρων Hartung 5 δὲ ὁ] ὁ δὲ D 6 παραγενομένων P 7 l. P: ξανθὸς δ' ἀχιλλεὺς τὰ μὲν μένων φ. ἐν δ. BD ἐν—8 μὲν P: ἀπὸ τῆς μητρός, ἀντὶ τοῦ ἐν τ. τ. χ. ἀκουστέον· παρὰ μὲν γὰρ BD 10 χείρωνος P 11 l. P: τὸ δὲ βραχυσίδαρον (βρασίδαρον D) ἄκ. πάλλων φησὶν BD ἤτοι BP: ἀντὶ τοῦ D βραχυσίδαρος B 12 ἀκὴ B ἀκωκὴ Tricl. πρὸς BD: παρὰ P 14 παιδικὸν δόρατι D 15 l. P: om. BD, add. δὲ post ἀκαταλλήλως 16 αἰγροτέρων D μάχας—17 ἀγροτέροισι ad mg. add. P ἢ—ἀγροτέροισι sensu cassa; post ἀγρ. lac. stat. Hartung, μαχόμενος suppl. Bergk[2], ἐμάχετο Schnitzer p. 49; ἢ ⟨σὺν⟩ λ. ἀ. Bergk Philol. 16, 599 μὴ λ. ἀ. Wiskemann p. 16 18 l. B: σ. δὲ π. κρ. DP σώματα P σωμάτια B πὰρ BP κρονίδα D

αὐτοῦ σώματι ἐνεργῶν ὁ Ἀχιλλεὺς ἄσθματος πλήρης ἑξέτης ὢν κυνηγῶν θῆρας ἐφόρει παρὰ Κρονίδην κένταυρον, ἤτοι τὸν Χείρωνα· ἐκ Κρόνου γὰρ οὗτος καὶ Φιλύρας, ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ (1235) μαρτυρεῖ. 88P

85. *ὅλον δ' ἔπειτ' ἂν χρόνον· τὸν ἐθάμβευν*: τουτέστι τὸν ἅπαντα βίον τοῦτο ἐνήργει, καὶ τῶν ἀνδραγαθημάτων αὐτὸν ἐθαύμαζον. BD

86. τὸ δὲ *ἐθάμβευν* ἀντὶ τοῦ τῶν ἀνδραγαθημάτων ἐθαύμαζον αὐτόν. 71P P

88. *κτείνοντ' ἐλάφους ἄνευ κυνῶν*: τὴν ἰσχὺν καὶ τὴν ταχυτῆτα αὐτοῦ διὰ τούτων παρίστησι· | ποδώκης γὰρ ἦν. ἔτι τε σὺν τῷ μηδὲ κύνας ἔχειν οὐδὲ λίνα περιεπήγνυ, οἷς δολώσει τοὺς θῆρας· οὕτως ἦν ἴσος ἀνέμοις. BD BDP

89a. *δολίων θ' ἑρκέων*: τῶν λίνων. ἕρκεα γὰρ τὰ λίνα, τὰ περιφράγματα. BDP b. δολίων δὲ, ὅτι θηρῶντες τοὺς θῆρας τὰ λίνα λάθρα ἱστᾶσιν. c. ὅτι δὲ ποδώκης ἦν Ἀχιλλεὺς, καὶ Ὅμηρος (*Α* 58) μαρτυρεῖ λέγων· πόδας ὠκὺς Ἀχιλλεύς. BD

d. τὴν δὲ ἰσχὺν καὶ τὴν ταχυτῆτα τοῦ Ἀχιλλέως διὰ τούτων παρίστησι· καὶ Ὅμηρος (*Α* 58) μαρτυρεῖ· πόδας ὠκὺς Ἀχιλλεύς. P

91. *λεγόμενον δὲ τοῦτο*: δοκεῖ δὲ καὶ τὸν Ἰάσονα ἀναθρέψαι ὁ Χείρων. P

92. *ἔπος ἔχω*: παρηκολούθηκα οὖν καὶ τοιούτῳ τινὶ λεγομένῳ λόγῳ, ὅτι καὶ τὸν Ἰάσονα ἀνέθρεψεν ὁ Χείρων. | ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν (fr. 19)· DP BDP

---

14 Hes. ἕρκος. Ap. soph. 76, 24

---

1 ἐνεργῶ B 2 παρὰ] + τὸν P κρονίδα D κένταυρον — 3 χείρωνα B: κένταυρον D χείρωνα P 3 οὗτος om. BD 4 δωδεκάτῳ P 5 ὅλον B: ὁ γὰρ D 7 αὐτῶν ἐθαύμαζεν D 10 l. et P l. B: κτείνοντ' (κτείνωντ' D) ἐλ. DP 11 θρασυτῆτα D αὐτοῦ om. D ἦν om. P 12 ἔχει D οὐδὲ P: μὴ δὲ BD περιεπήγνυεν P 13 δολώσεις b ἦν BP: οὖν D ἀνέμοι D 14 δολίων — λῖνα P: ἕρκεα δὲ τὰ λῖνα φησὶ BD 16 ἱστοῦσιν D 23 l. om. P ἔχων D 24 λόγῳ om. P ὁ χείρων om. P l. ἔπος ἔχω βαθυδμῆτα χείρων praem. B 25 τοῦ χείρωνος P

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,
ὃν Χείρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι.

ἀλλὰ καὶ ὁ Ἀσκληπιὸς παρὰ Χείρωνι, φησίν, ἐτράφη, ὡς καὶ Σωκράτης ὁ Ἀργεῖός φησι (FHG IV 496).

P 92 b. *βαθυμῆτα Χείρων*: οὐκ ἐπιπόλαια βουλευόμενος ἀλλ' ἐν βάθει. ἀντὶ εὐθείας δὲ ὁ συνετώτατος Χείρων, ὡς καὶ παρ' Ὁμήρῳ· ἱππότα Πηλεύς, καὶ νεφεληγερέτα Ζεύς.

BDP 95 a. *τὸν φαρμάκων δίδαξε μαλθακόχειρα*: τὸν πρᾳοτάτην καὶ ὑγιαστικὴν ἔχοντα τὴν διὰ τῶν χειρῶν ἐπιμέλειαν. b. νομὸν δὲ τὴν διανέμησιν τῶν φαρμάκων καὶ τὴν ἐμπειρίαν λέγει.

BDP 97 a. *νύμφευσε δ' αὖθις*: ἐγαμοστόλησε τῷ Πηλεῖ, φησί, τὴν Θέτιν ὁ Χείρων· ὑπεδέξατο γὰρ τοὺς θεοὺς ἐπὶ τὴν δαῖτα. b. τὸ δὲ *αὖθις* οὐκ ἐκ δευτέρου, ἀλλὰ μετὰ ταῦτα· ἐναντίον γάρ, εἰ ὡς πρός τι λαμβάνοιτο.

BDP 98. *γόνον τέ οἱ φέρτατον ἀτίταλλε*: ἔτρεφε καὶ τὸν Ἀχιλλέα ἐν τοῖς ἁρμοδίοις καὶ προσήκουσι τὴν αὐτοῦ παιδεύων ψυχήν.

BP 101 a. *ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθείς*: εἰς ταῦτα ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων ἁρμοστὰ αὐτῷ πάντα παρέχων, ἵνα πλεύσας εἰς Ἴλιον ταῖς κατὰ θάλασσαν τῶν ἀνέμων ἐπιπνοαῖς τὴν πολεμικὴν ἀλαλὰν τῶν Λυκίων ὑπο-
BDP μένοι, (103 B) | καὶ ἵνα ἐμπήξαι τὰς χεῖρας τοῖς Αἰθίοψι καὶ

6 sch. *Α* 175. Eust. Il. p. 75, 32

1 ἰήσονα P: ἰήονα D ἰάσονα B 2 ἔθρεψεν ἐνὶ BP 3 ἀλλά — ὡς καὶ BD: καὶ ὁ ἀσκλ. δὲ παρὰ τοῦ χείρωνος ἐτράφη ὡς P 5 βαθυμήτ(α) P 8 l. B: + νομόν D μαλθακόχ. νομόν P τὸν (pr.)] τῶν D τὸν P: τουτέστι τὸν B τουτέστι τὴν D 9 πραΰτάτην P παρέχοντα Schr. 11 ἐμπειρίαν] ἐπιμέλειαν D 12 τῷ πηλεῖ P: τ. π. φησὶν B φησὶ τ. π. D 13 ὁ χείρων τὴν θέτιν B δαῖταν D 14 αὖτις P 16 l. B: γόνον τέ οἱ DP ἔτρεφε — 17 ἀχιλλέα P: τουτέστιν ἔτρεφεν BD 17 αὐτοῦ P: ἀχιλέως B ἀχιλλέως D 19 l. B: ὄφρα θαλ P 20 ταῦτα] + φησὶν B 21 ταῖς — 22 ἐπιπνοαῖς om. B 22 πολεμικὴν] δορίκτυπον B ὑπομένῃ B 23 post ὑπομένῃ sch. 103 inser. B, om. l. καὶ ἵνα P: καὶ ἐγχεσιφόροις ἐπιμίξαις: τουτέστι καὶ ἵνα B καὶ ἐγχεσφόροις αἰθιόπεσι χεῖρας ἐν φρεσί: τουτέστι καὶ ἵνα D ἐμπήξῃ P

καθίκοιτο τῆς ψυχῆς αὐτῶν διὰ τοῦ πολεμεῖν. b. *ἢ ἐπὶ τῶν αὐτοῦ φρενῶν τοῦ Ἀχιλλέως δεκτέον τὸν λόγον, ἵν' ἑαυτοῦ τὰς χεῖρας πήξαιτο, πεπηγυίας παράσχοι ταῖς φρεσίν, ἵνα ὃ διανοηθῇ ταῖς φρεσίν, ὑπηρετηθῇ διὰ τῶν χειρῶν. ἐνίοτε γὰρ ἐπιθυμοῦμέν τι κατορθῶσαι, καὶ ἀσθενοῦμεν αὐτὸ ποιῆσαι μὴ ὑπηρετούμενοι ταῖς χερσίν. ὁ δὲ Ἀχιλλεὺς ἐτράφη, ἵν' ὅπερ ἂν διανοηθῇ, δυνηθῇ διὰ τῶν χειρῶν κατεργάσασθαι.*

c. *ἵν' οὖν καθίκοιτο τῶν Αἰθιόπων τὸν βασιλέα Μέμνονα ἀνελών.* 112B

103. *ὑπό Τρωΐαν δορίκτυπον: οἱ μὲν [ἁπλῶς] εἰς τὴν μάχην τῶν Λυκίων, οἱ δὲ ἁπλῶς εἰς τὴν Τροίαν ἤκουσαν, ἵνα ἡ ὑπό ἀντὶ τῆς εἰς κέηται· οἱ δὲ ἔξωθεν τὸ χώραν προσυπήκουσαν, ἵν' ᾖ· ὑπὸ Τρῳὰν χώραν.* 101a med. B BP

108. *ἐν φρασὶ πάξαιθ': παγίως λογίσαιτο καὶ κρίνοι· ἀντὶ τοῦ εἰς πέρας ἄγοι.* P

110. *ἀνεψιὸς ζαμενής: ἀνεψιὸς τοῦ Ἑλένου ὁ Μέμνων, εἴπερ Τιθωνὸς καὶ Πρίαμος ἀδελφοί εἰσιν, ὧν οὗτοι παῖδες. τὸ δὲ ζα ἐπιτατικόν, ὡς καὶ τὸ ζάθεον, ζαχρηής, ζάπλουτος.* P

112. *τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν: τὸ φέγγος καὶ ἡ δόξα τῶν Αἰακιδῶν τηλαυγής ἐστιν αὐτόθεν, ἢ ἐξ ὧν νῦν εἶπον ἔργων ἢ ἐκ τῆς Ἰλίου· ἠρίστευσαν γὰρ ἐπὶ τῆς Ἰλίου οἱ Αἰακίδαι· ἢ καὶ τρίτον ἐπὶ τῆς Αἰγίνης· διὰ τὸ Αἰγινήτας εἶναι ἀναφέρων τὸν ἔπαινον ἐπὶ τὸν ἀθλητὴν ἐκ τῆς Αἰγίνης αὐτόν φησιν ᾐρῆσθαι τὸ κλέος.* BDP

---

18 EM 407, 7

---

3 *παράσχοι* b: *παράσχῃ* codd. *διανοθῇ* D 5 *καὶ—ποιῆσαι* om. B *ποιῆσαι* P: *κατορθῶσαι* D 6 *ἀχιλεὺς* B *ἔτραφεν* D 7 *διὰ τ. χ. δυνηθῇ* D 8 *τῶν αἰθιόπων* P: *αὐτῶν* B *αὐτὸν* D *τῆς ψυχῆς τ. Α.* cj. Abel *τῆς ψ. αὐτῶν* Schr. 10 l. P: *τοῦτο δὲ* B secl. b 12 *ἵν' ᾗ ἡ ὑπό ἀντὶ τῆς εἴς καὶ ἡ τέ* P *τὸ χώρα προσήκουσαν* P 13 *τρωΐαν* P 14 *παγίως* Bury: *πλαγίως* P ⟨*μὴ*⟩ *πλαγίως?* a 17 *ζαχρηής* a: *ζαχρής* P 19 l. B: *τηλ. ἄρ. φ.* DP 20 *ἢ* om. B 21 *εἶπον νῦν* BD 22 *οἱ* om. D *τρίτως* P *ἐπὶ*] *ἐκ* a (probab.) 23 *ἐκ* om. D 24 *αὐτόν φησιν* P: *φησὶν αὐτὸν* D *φησὶν αὐτῷ* B. Locus vix sanus; ft. *αὐτούς φησιν* scribend.

BDP 114a. *Ζεῦ, τεὸν γὰρ αἷμα:* τεχνικώτατα τῷ Διῒ προσοικειοῖ τὸν νικηφόρον, πρῶτον μὲν ὅτι πρόγονος τῶν Αἰακιδῶν ὁ Ζεύς, δεύτερον δὲ ὅτι τοῦ Νεμεαίου ἀγῶνος ἔφορος ὁ Ζεύς, καθ' ὃν ὁ Ἀριστοκλείδης ἐνίκησεν. ἀνάκειται δὲ Διῒ καὶ ὁ Νεμεακὸς ἀγών. 114d P b. ἄλλως. πιθανῶς, ἐπεὶ παρεκβέβηκεν ἐπὶ τοὺς Αἰακίδας ὑμνήσας αὐτῶν τὸ κλέος, βούλεται πάλιν ἐπανελθεῖν ἐπὶ τὸν ὕμνον τοῦ ἀθλητοῦ οὐκ ἀπρόσλογον ἀπόσπασμα ποιήσας· ἐκ τοῦ σοῦ γένους ἐστί, φησίν, ἡ ἀρετὴ τῶν Αἰακιδῶν. διὰ τί; σὺ γὰρ ἀρχηγέτης εἶ τοῦ γένους αὐτῶν.

BDP 114c. *τεὸν γὰρ αἷμα, σέο δ' ἀγών:* τὰ γὰρ Νέμεα σά ἐστι· Νεμεονίκης δὲ ὁ ὑμνούμενος. 116 P d. ὁ δὲ νοῦς· ὦ BD Ζεῦ, ἀπὸ σοῦ τηλαυγὲς ἔχουσι τὸ γένος οἱ Αἰακίδαι. | σὺ γὰρ ἀρχηγέτης τοῦ γένους αὐτῶν, σὸς δὲ ὁ ἀγὼν τῶν Νεμέων. 114b P

BDP 116. *ἐπιχώριον χάρμα κελαδέων·* τὸ ἐπιχώριον καὶ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν ἀνυμνῶν τὸν νικηφόρον.

BDP 117a. *βοὰ δὲ νικαφόρῳ:* ἡ δὲ βοὴ τῶν ὑμνούντων νέων σὺν τῷ νικηφόρῳ Ἀριστοκλείδᾳ πρέπει, ἀντὶ τοῦ ἐκπρεπὴς ὑπάρχει. ἔν τισι δὲ γράφεται σὺν τῷ ῑ βοᾷ, προσληψόμεθα δὲ ἔξωθεν τὴν σύν πρόθεσιν, ἵν' ᾖ· σὺν βοᾷ νέων ὁ ὕμνος ἐκπρεπής ἐστιν. b. ἢ οὕτως· ἡ δὲ βοὴ τοῦ ὕμνου συμπρέπει τῷ νικηφόρῳ Ἀριστοκλείδᾳ.

BDP 119. *ὃς τάνδε νᾶσον εὐκλεεῖ προσέθηκε λόγῳ:* ὃς τὴν Αἴγιναν εὐκλεοῦς λόγου προσθήκην ἐποίησε λαβεῖν δι'

---

1 l. BP: ζεῦ τεόν D προσοικεῖ P 3 δὲ om. P εὔφορος D ὁ ζεύς om. P („ft. recte" a) 4 ἀνάκειται — 5 ἀγών h. l. satis mira δὲ om. D 5 ἄλλως BD: σέο δ' ἀγών P 8 ἐστί φησίν B: φησὶν ἐστὶν D om P 9 ἀρχηγέτης BD: ἀρχὴ γένους P 11 l. BP: τεὸν γὰρ αἷμα D γὰρ BP: δὲ D 12 13 ὦ ζεῦ om. B 13 οἱ om. D 14 σὸς τὲ B 16 l. B: ἐπιχ. χάρμα D ὁπὶ νέων ἐπιχ. P ἐπιχ. καὶ om. P 17 ἀνυμνῶ P 19 l. P: om. BD 20 ἀντὶ τοῦ P: ἤτοι BD ἐκστρεπτὴς D 21 γράφει P 22 βοῇ D 23 συνπρέπει D 24 τῷ ἀριστ. BD 25 l. B: ὃς (οὗ D) τ. ν. DP εὐκλεῶς D 26 ἐποίησας D

ἑαυτοῦ· καὶ γὰρ ἄλλοι ἔμπροσθεν εὔκλειαν αὐτῇ περιεποίησαν, καὶ αὐτὸς δὲ δι' ἑαυτοῦ προσέθηκέ τι εἰς εὔκλειαν αὐτῇ καὶ σεμνότητα. 122b BD

122a. ἔστιν ἐν Αἰγίνῃ Πυθίου Ἀπόλλωνος ἱερόν, ἐν ᾧ οἱ BDP θεωροὶ διῃτῶντο οἱ τὰ θεῖα φυλάσσοντες· θεωροὶ γὰρ οἷον θεοφύλακες. οἱ δέ, ὅτι ἐν τοῦ Πυθίου Ἀπόλλωνος ἱερῷ οἶκός ἐστι καλούμενος Θεάριον διὰ τὸ τοὺς ἄρχοντας, οἳ καλοῦνται θεωροί, ἐνταῦθα διαιτᾶσθαι. 122c BD

122b. *Πυθίου Θεάριον*: τόπος ἐν Αἰγίνῃ δημόσιος, BDP ἔνθα τὰ συμπόσια· εἴρηται δὲ ἀπὸ τῶν θεωρῶν τῶν εἰς Ἀπόλλωνα πεμπομένων. 122a BD c. συνέζευξεν οὖν, φησί, λόγῳ εὐκλεεῖ καὶ τὸ Θεάριον, καὶ ταῖς ἀγλααῖς καὶ καλαῖς αὐτοῦ μερίμναις. d. οἱ δέ, ταῖς ἐμαῖς μερίμναις καὶ τοῖς ἐμοῖς ποιήμασι συνέζευξε τῷ εὐκλεεῖ λόγῳ.

122e. *ἐν δὲ πείρᾳ τέλος διαφαίνεται*: οὐκ ἔστι γνῶ- BDP ναι τὸν ἀνδρεῖον, ἐὰν μὴ ἑτέρῳ συμβάλῃ καὶ περιγένηται. ἐν τῷ πειραθῆναι οὖν ἑκάστῳ τὸ τέλος διαφαίνεται. f. ἢ οὕτως· ὅστις ἂν ἔξοχος γένηται, τούτου τὸ τέλος ἐν τῇ πείρᾳ ἀποδείκνυται. τοῦτο δὲ ὡς πρὸς τὸν ἐγκωμιαζόμενον, ὅτι οὐκ ἄχρι λόγου τὰ προσόντα αὐτῷ δείκνυσιν.

127a. *ἐν παλαιτέροισι*: προσληπτέον ἔξωθεν παλαιός. BDP λέγει δὲ οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν, οὐδὲ γὰρ παῖς· ἀλλ' ὡς ὁ τραγικός (fr. adesp. 453)·

καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους,

---

5 Harpocr. θεωρικά sub fin., unde Suid. Phot. θεωροί. Hes. θεωροί

---

1 πεποιήκασιν P 3 σεμνότητι P 4 ἔστιν ἐν] ἔστι δὲ ἐν P ἄλλως· ἔστιν ἐν BD 5 οἷον P: οἱ BD 7 θεώριον D 9 l. P: τὸ δὲ θεάριον BD δημόσιος BP: ἁρμόδιος D 11 πησσομένων D 12 εὐκλεεῖ a: εὐσεβεῖ codd. θεώριον D καὶ ταῖς P: ταῖς BD 14 λόγῳ] + φασίν BD 15 l. BD: ἐν δὲ π. τ. P οὐκ—16 περιγένηται post ἐν—διαφαίνεται trp. BD ἔστι] + γὰρ B + δὲ D 16 συμβάλῃ P Tricl.: συμβάλλῃ B συμβάληται D 17 πειρασθῆναι P οὖν P: φησιν BD ἑκάστου BD διαφαίνεται om. D 18 τούτων P ft. recte; unde οἷστισιν Schr. 20 λόγῳ D 22. 23 ἄλλως DP 24 τρόπον P

πάσῃ ὁμιλῆσαι ἡλικίᾳ δυνάμενος καθ' ἕκαστον μέρος τῆς ἡλικίας. P b. οἷον ἔχομεν τὸ βρότειον ἔθνος, οὕτως ἥρμοστο.

BDP 128a. *μέρος ἕκαστον*: λείπει τὸ ἐπίσταται. φησὶ δὲ, ὅτι πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν. b. ἢ οὕτως· ἐπίσταται ὁ νικηφόρος ἕκαστον μέρος τῶν προλεχθεισῶν ἡλικιῶν, οἷον μέρος ἐλάχομεν τὸ βρότειον ἔθνος.

BDP 129a. *ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετάς*: Ἀρίσταρχος· τρεῖς μὲν τὰς καθ' ἡλικίαν, ἃς προεξηρίθμηται, τὸ ἐν παισὶν εἶναι παῖδα, καὶ τὸ ἐν ἀνδράσιν ἄνδρα, καὶ τὸ ἐν παλαιοτέροις παλαιότερον. καὶ τετάρτην δέ φησιν ἐλᾶν ἀρετὴν τὸν τῶν ἀνθρώπων βίον. τετάρτη οὖν ἐστιν ἀρετὴ αὕτη πρὸς αἷς εἴρηκεν, ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν καὶ μὴ περὶ τῶν ἐσομένων πάντων, ἀλλὰ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι. b. ὁ θνητὸς αἰὼν καὶ τετάρτην ἀρετὴν ταύτην φέρει, τὸ καὶ περὶ τοῦ ἐνεστῶτος φροντίζειν· ὧν οὐκ ἄπεστιν ὁ Ἀριστοκλείδης, ἀλλὰ πρὸς ταῖς τρισί, φησίν, αἷς προκατείληχε, κέκτηται καὶ ταύτην, τουτέστι τοῦ παρόντος φροντίζειν. ἢ ἐν ταὐτῷ ἔχει, ἅπερ οἱ ἄλλοι κατὰ μέρος ἔχομεν.

BD 131. *ἐνέπει*: ἀντὶ τοῦ διδάσκει τὸ παρὸν σκοπεῖν ⟨καὶ⟩ εὖ τίθεσθαι.

BD 132a. *χαῖρε φίλος· ἐγὼ τόδε τοι πέμπω*: ἐπεὶ ἴσως οἱ προπίνοντες ἔλεγον τὸ χαῖρε, ὡς τὸ χαῖρ' Ἀχιλεῦ (I 225). B b. κἀγὼ τόδε τοι πέμπω, φησί, μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, τὸν ὕμνον λέγω.

---

1 ὁμ. πάσῃ P 2 οἷον — ἥρμοστο iis quae praecedunt coniunxit a, ft. recte; diiunxit P ἔθνος a: μέρος P 3 l. P: ἄλλως BD ἐπίστασαι B ὅτι om. D 4 προσοικειεῖ D 6 βρότεον D 7 ἀρισταρχος] + μὲν P 8 ἃς] ἀρετὰς Hartung 9 ἀνδράσιν BD: παλαιοτέροις ἀνδράσιν P 10 τετάρτην BD: ἐν τετάρτοις P τέσσαρας (et mox ἀρετὰς) cj. Abel 13 πάντων BD: φροντίζειν πάντων P 15 ἀριστοκλείδας D 16 αἷς P: ἃς BD κέκτηται] + φησὶ BD 17 ταύτῃ D ἢ] ἤτοι cj Abel 18 ἔχειν D οπερ P οἱ om. P μέρη B 19 ἐνέπει] + δὲ B διδάσκειν D suppl. Hartung (cfr. sch. J. VIII 26) 19. 20 εὖ τίθεσθαι D: ἐκ τίθεσθαι B 21 l. B: χαῖρε φ. ἐ. τόδε P 22 ἀχιλλεῦ P

134a. *μεμιγμένον μέλι λευκῷ γάλακτι*: τῇ ὁμοιότητι χρῆται τῇ ἀπὸ τοῦ μέλιτος καὶ γάλακτος καὶ διαφορὰν ἐπὶ τοῦ ποιήματος, καθὸ ἀποδέχεται τὰ φύσει γράφων ποιήματα τῶν ἐκ πόνου· τὸ γὰρ γάλα φύσει παρέπεται ταῖς τικτούσαις, τὸ δὲ μέλι μετὰ πόνου αἱ μέλισσαι ἐργάζονται. b. ἀλληγορικῶς οὖν τὸν ὕμνον φησί, τὸ καλὸν καὶ ἥδυτατον αὐτοῦ ἐπιδεικνύμενος. BP

135. *κιρναμένα δ' ἔερσ' ἀμφέπει πόμ' ἀοίδιμον*: ἡ δρόσος, φησίν, ἡ τοῦ μέλιτος κιρναμένη πρὸς τὸ γάλα ποιεῖ τὸ πόμα ἀοίδιμον, καὶ τὸ ποίημα μιχθὲν αὐλοῖς γίνεται καὶ αὐτὸ θαυμάσιον· οἷον ὡς τὸ γάλα τῷ μέλιτι μιχθὲν χρηστὸν γίνεται, οὕτω καὶ τὸ ποίημα τοῖς αὐλοῖς ἐγκραθὲν προσηνὲς γίνεται. BDP

136a. *Αἰολίσιν*: ἤτοι ὡς τῇ Αἰολίδι ἁρμονίᾳ γεγραμμένων τῶν ποιημάτων, ἢ καθὸ τῷ γένει ἐστὶν Αἰολεὺς ὡς Βοιωτός. b. ἢ οὕτω· τοῖς Δωρίοις φθόγ οις. Αἰολεὺς γὰρ ἄνωθεν ὁ Πίνδαρος, ὅτι οἱ κατ' αὐτὸν Θηβαῖοι Αἰολέων ἄποικοι τυγχάνουσιν ὡς ἀπὸ Αἰόλου τοῦ Ἀθάμαντος παιδός. BDP

138a. *ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς*: ὡς μετὰ πολὺν χρόνον τῆς νίκης γεγραμμένου τοῦ ποιήματος· τῆς βραδυτῆτος οὖν ἕνεκεν ἱκανῶς καὶ τὴν εἰκόνα παρείληφεν. b. ἢ οὕτως· εἰ καὶ ὅλως ὀψέ [φησί,] γέγραπταί μοι τὸ ποίημα, BDP

---

1 l. P: om. B ὁμοιοτάτῃ P ὁμοιότητι δὲ B 2 καὶ διαφορὰν P: καὶ διαφορᾷ B μεταφορᾷ r. Ft. κατὰ διαφορὰν 3 γράφων B (vix recte): γρα̅ P An γραφόμενα? — καθὸ ⟨οὐκ⟩ ἀπέχεται ὁ τὰ φύσει γράφων ποιήματα τῶν ἐκ πόνου ⟨προσγιγνομένων ἡδυσμάτων⟩ M. Schmidt 8 l. B: κιρναμένα P om. D 9 μελίτου P 10 πόμα B: ποίημα DP ἀοίδιμον] + καὶ τὸ πόμα ἥδιον P. Scribend vid. ἥδιον γ'νεται BD: γρ(άφεται) P 12 συγκραθὲν D 14 l. D: τὸ δ' αἰολίσιν B πόμ' ἀοίδιμον P γεγραμμένον D γέγραφε τὸ ποίημα P 15 τῶν om D καθὸ] καθόλου P αἰολὸς ὡς β.οτός D 16 ab αἰολεὺς nov. sch. inc. a in αἰολεὺς corr. obsc. D (ex -ὸς?) 17 κατ' αὐτὸν BP: ὑπ' αὐτῶν D αἰόλων D 18 ἀπὸ τοῦ αἰ. P 19 l. B: ἔστι δ' αἰ. ὠκύς P ἔστι δ' αἰετός D 21 οὖν P: om. BD καὶ om. D παρείληχεν P 22 φησὶν ὀψὲ D; seclusi φησί τὸ π. γέγρ. μοι P

ὅμως ὡς ἀετὸς πόρρωθεν ἐλθὼν ταχέως ἤγρευσέ τι καί συνήρπασεν, οὕτως ἐγὼ τὰ πράγματα ταχέως συνήρπακα καὶ γέγραφα.

BDP 143. **κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται:** οἱ δὲ ἀντίτεχνοί μου κολοιοῖς ἐοίκασι, κραυγάζοντες μόνον καὶ ταπεινὰ νεμόμενοι, οὐ δύνανται δὲ διαίρεσθαι εἰς ὕψος. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Βακχυλίδην· ἦν γὰρ ὑφόρασις αὐτοῖς πρὸς ἀλλήλους. παραβάλλει δὲ αὐτὸν μὲν ἀετῷ, κολοιῷ δὲ Βακχυλίδην.

BDP 145a. **τίν γε μὲν εὐθρόνου Κλειοῦς ἐθελοίσας:** τῆς Κλειοῦς τῆς Μούσης οὐ λειφθήσεσθαί φησι, τῶν γεγραμμένων ἐπινίκων συλλαμβανομένης αὐτῷ καὶ χάριν τοῦ λήματος

BP τοῦ ἀθλοφόρου. b. ἐκ τῆς Νεμέας καὶ ἐξ Ἐπιδαύρου καὶ ἀπὸ Μεγάρων. 148 P

P 146. **λήματος:** φρονήματος. ἡ δὲ ἀπό κατὰ κοινοῦ· ἀπὸ Νεμέας καὶ ἀπὸ Ἐπιδαυρόθεν λάμπει σου ἡ ἀρετή.

BP 147. **Ἐπιδαυρόθεν τ' ἀπό:** φησὶ καὶ ἐν Ἐπιδαύρῳ

BDP αὐτὸν νενικηκέναι. | τίθεται δὲ ἐν Ἐπιδαύρῳ ἀγὼν Ἀσκληπιῷ, τῶν Ἀσκληπιαδῶν πρώτων θέντων, μετὰ ταῦτα δὲ Ἀργείων Ἀσκληπιῷ, διὰ πενταετηρίδος· τίθεται δὲ ἐν τῷ ἄλσει τοῦ Ἀσκληπιοῦ, ἄγεται δὲ μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων. τὰ Μεγαρικὰ δὲ Πύθια ἄγεται εὐθέως ἔαρος ἀρχομένου. subscr. P

---

15 Hes., Suid., Phot. λῆμα

---

1 αἰετὸς P πόρρωθεν ἐλθὼν ταχέως DP: ταχέως προελθὼν B 4 l. B: κρ. δὲ κολ. P κρ. δέ D κραγέτε B^a 5 μου] + φησὶ BD 6 διάρασθαι P 7 τείνειν] τοίνυν D εἰς BD: πρὸς τὸν P ὑφόρασις αὐτοῖς DP: αὐτοῖς καὶ φώρασις B 8 παραβάλλει B: παραβάλλοι D παρὰ P δὲ αὐτὸν μὲν a: δὲ ἑαυτὸν μὲν B δὲ αὐτὸν μὲν P μὲν αὐτὸν D αἰετῶ P 9 βακχυλίδη D 10 l. B: τίν γε μ κλεός P τίν γε μὲν εὐθρ. D 11 οὐ BD: ὅτι οὐ P ληφθήσεσθαι D 13 distinxi post ἀθλοφόρου 17 l. P: om. B φησὶ P: φασὶ γὰρ B 18 ἐκτίθεται D 19 ἀσκληπιδῶν D θέντων ⟨ἀπόλλωνι⟩ Schr. 19. 20 ἀργείων ἀσκληπιῷ BD: ἀσκληπι[ῷ?] ἀργείων P (chart. perfor.); ἀργείων b. Locus corruptus 20 πενταετηρίδα P 22 μεγαρικὰ b: μέγαρα BD μέγωρα P πύθια ἄγεται a: πύθια ἄρχεται P προάγεται BD

148a. *δέδορκε φάος*: τουτέστι λελάμπρυνται ἡ δόξα τοῦ νενικηκότος καὶ ἐν Νεμέᾳ. BDP b. βουλομένης τῆς Μούσης Κλειοῦς λάμπει σου ἡ ἀρετή. 146 P

τέλος τοῦ παρόντος ἐπινικίου. P

Scholia in Nemeonicarum carmen IV.

Τιμασάρχῳ Αἰγινήτῃ παλαιστῇ. D

Τῆς τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. B τὸ α' δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. τὸ β' δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον. τὸ γ' ὁμοίως τῷ πρώτῳ. τὸ δ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ὁμοίως τῷ πρώτῳ καὶ τρίτῳ. τὸ ϛ' περίοδος, διπλοῦς τροχαῖος, ἢ Γλυκώνειον. τὸ ζ' ἰαμβικὸν πενθημιμερές. τὸ η' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ θ' ἰωνικὸν ἐφθημιμερές. τὸ ι' τροχαϊκὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ια' ἰαμβικὸν πενθημιμερές, ἢ ἰωνικὸν δίμετρον βραχυκατάληκτον, τῆς ἀρχούσης ἀδιαφόρου οὔσης. τὸ ιβ' περίοδος ἰαμβικὴ ἀπὸ βακχείου, ἢ Γλυκώνειον λελυμένον. τὸ ιγ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον.

Ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγ'. τὸ α' ὅμοιον τῇ στροφῇ καὶ B ἀντιστρόφῳ. τὸ β', τὸ γ', τὸ δ', τὸ ε', τὸ ϛ', τὸ ζ', τὸ η', τὸ θ', τὸ ι', τὸ ια', τὸ ιβ', τὸ ιγ' ὁμοίως τῇ στροφῇ καὶ ἀντιστρόφῳ.

1a. *Ἄριστος εὐφροσύνα*: ὁ λόγος· τῶν πόνων κρίσιν BDP λαβόντων καὶ συντελεσθέντων ἄριστος ἰατρός ἐστιν ἡ εὐφροσύνη. b. ἄριστος δὲ ἀντὶ τοῦ ἀρίστη· ὅταν πονήσας τις

1 l. P: τὸ δὲ δέδορκε BD λαμπρύνεται D 2 βουλομένης] β. οὖν φησὶ B β. φησὶ D φησὶ β P 6 inscr. bis hab. D 8 ἰωνικὸν ἰαμβικὸν, sed del. ἰωνικὸν B 9 τῷ δευτέρ(ῳ) πρώτ(ῳ), sed del. δευτέρῳ B 14 scribend. vid. τροχαῖος ἐπίτριτος, cl. O. XIII col. ια' 15 ἢ — βραχυκατάληκτον Pauw: ἐπιωνικῷ διμέτρῳ βραχείας B 17 βακχείου] διτροχαίου Pauw, perperam; cfr. Aristid. p. 37 Mb. 24 ἡ εὐφρ ἰατρ. ἐ. ἄριστος B ἡ om. D 25 ἄριστος δὲ P: ἢ τὸ ἄριστος BD ὅταν P: ἢ ὅταν BD

νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἀρίστην ἰατρόν. c. ἢ οὕτως· ἡ ἀρίστη εὐφροσύνη τῶν τετελειωμένων καὶ πεπληρωμένων πόνων καὶ σπουδασμάτων ἰατρός ἐστιν.

BDP 3. *αἱ δὲ σοφαὶ Μοισᾶν θυγατέρες*: αἱ δὲ σοφαὶ θυγατέρες τῶν Μουσῶν, ᾠδαὶ καὶ ἔπαινοι, ἁπτόμεναι αὐτῶν τῶν πόνων διὰ τοῦ θαυμάζειν ἡδονῆς πλείονος καὶ εὐφροσύνης πληροῦσι.

BDP 5. *θέλξαν νιν*: τὸ νίν Ἀρίσταρχος ἐπὶ τῆς εὐφροσύνης ἀκούει, ὥστε εἶναι τὸν λόγον· αἱ δὲ τῶν Μουσῶν θυγατέρες ᾠδαί, τουτέστι τὰ ποήματα, ἁπτόμεναι αὐτήν, τὴν εὐφροσύνην, ἔθελξαν, τὴν τοῦ ἀνθρώπου ὅταν ἐγκωμιάζηται. ἔστι δὲ ἄκυρον· πῶς γὰρ θέλγεται ἡ εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νενικηκότας, οὐχ ὑπ' ἄλλου θελγομένη; ἄμεινον δέ, φησὶν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν· οἱ γὰρ μεθ' Ὅμηρον οὐκ ἀκριβεύουσι τὴν ἀντωνυμίαν. καθὼς καὶ Εὐριπίδης (Bacch. 32)·

τοιγάρ νιν αὐτὰς ἐκ δόμων οἴστρησ' ἐγώ.

ὥστε τὸν λόγον εἶναι τοιοῦτον· αἱ ᾠδαὶ ἔθελξαν αὐτούς, τοὺς πόνους, ἁπτόμεναι αὐτῶν καὶ μαλάσσουσαι· οἷον θέλγουσι τὴν κακοπάθειαν ὑμνοῦσαι αἱ ᾠδαί.

BDP 6a. *οὐδὲ θερμὸν ὕδωρ τόσσον γε*: οὐδ' οὕτω τὰ θερμὰ λουτρὰ μαλάσσει κεκμηκότα τὰ γυῖα καὶ πεπονημένα, ὅσον ἡ εὐλογία ἀνίησιν. b. ὁ δὲ νοῦς ὅλος· οὐκ ἂν δὲ τοσοῦτον ἀπὸ

14 Apollon. de pron p. 108. Sch. Eur. Or. 1659. Eust. ad ϱ 267 (p. 1819, 33; cfr. sch. κ 212)

1 νικήσει D ἰατρῷ D 3 σπουδασμ. κ. πόνων P 4 l. B: om. DP 5 ἁπτόμεναι P: -νοι BD 6 διὰ DP: οἳ διὰ B ἡδ. πληρ. καὶ εὐφρ. om. πλείονος B 8 l BP: θέλξά νιν ἁπτόμεναι D ἔθελξαν B 10 ᾠδαί P: αἱ ᾠδαὶ BD 12 πῶς DP: οὐ B ἡ om. BP 15 καθὼς DP: ὡς B εὐριππίδης D 18 τοιοῦτον DP: τοῦτον B αὐτοὺς B: αὐτοῦ D[cp]P 19 καὶ μαλάσσουσαι om. B in lac θέλουσι P 21 l. BD: οὐδὲ θ. ὕ. P οὐδ' οὕτω τὰ om. D οὐχ' οὕτω P 22 λουτρὰ] + φησί BD μαλάσσει D: μαλάσσειν P μαλακύνει B τὰ P: om. BD 23 ἀνίησιν D: om. B in textu ἀφίησι B[mg] ἀνήσει supra ει scripto ε(?) P ὅλος om. P δὲ om. P ἀπὸ codd.; ὑπὸ a

θερμοῦ ὕδατος καὶ βαλανείου χαλασθείη καὶ μαλαχθείη τὸ σῶμα κεκμηκός, ὅσον ὑπὸ ἐπαίνων· ἧς μάλιστα τῆς εὐφημίας πληρουμένης τῇ διὰ τῆς κιθάρας ἡδονῇ.

9. **συνάορος**, οἷον συμφερομένη, κοινωνοῦσα. BD

10a. **ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει**: παντὸς ἔργου χρονιώτερόν ἐστι τὸ ῥῆμα, τουτέστιν ὁ ὕμνος· οἷον τὰ λεγόμενα πάντα ἢ γραφόμενα χρονιώτερά ἐστι τῶν ἔργων. τὰ μὲν γὰρ ἔργα τῷ γεγονέναι παρήκει, τὰ δὲ γραφόμενα αἰώνια παραδίδοται. ποῖα δέ; ἃ ἂν μετὰ τῆς ἐκ Χαρίτων τύχης τεχθῇ καὶ προαιρεθῇ ἐκ τῆς γλώττης ἑκάστῳ· ὡς ἐάν γε χωρὶς Χαρίτων γράφηται ὁ ὕμνος, ἀπόλωλε καὶ ἔσβεσται, ἐὰν δὲ μετὰ Χαρίτων, μένει πρὸς αἰῶνα εὔδια. καὶ Καλλίμαχος (fr. 121)· BDP

ἔλλατε νῦν, ἐλέγοισι δ' ἐνιψήσασθε λιπώσας
χεῖρας ἐμοῖς, ἵνα μοι πουλὺ μένουσιν ἔτος.

b. ὁ δὲ νοῦς· ὁ γὰρ διὰ τῶν λόγων ἔπαινος αὐτῶν τῶν καλῶς πεπραγμένων πολλῷ μακρότερον διασῴζεται καὶ μνημονεύεται, ὥσπερ ἂν λόγος μάλιστα καὶ ἔπαινος τετυχηκὼς Χαρίτων λέγηται ἐκ διανοίας συνετῆς.

14a. **τό μοι θέμεν Κρονίδᾳ τε Διὶ καὶ Νεμέᾳ**: ἐμοὶ εἴη ποιῆσαι· τὸ γὰρ εἴη οὕτως ἀναβιβαστέον· εἴη με μετὰ BDP

---

1 καὶ βαλ. om. P καὶ (pr.) DP: ἢ B τὸ om. B 2 κεκμηκὼς D ὅσον BD: ὃς P ὑπὸ τῶν ἐπ. B ἧς corruptum; an καί? (ἢ μ. ἡ εὐφημία τῇ δ. τ. κ. ἡδονῇ συνάορος etc. cj. Abel, dubitanter) 3 πληρουμένης om. BD τῇ — ἡδονῇ DP: τῆς (?corr. ex τῇ!) — ἡδονὴ(?) B post ἡδονῇ non dist. BD 5 l. B: ῥ. δ' ἐργμ. χρ. D ῥ. δ' ἐργμ. P 6 ἔργου BP: χρόνου D 7 τὰ λεγ. πάντα P: πάντα τὰ λεγ. BD 8 τῷ] τὸ D 9 ἂν om. P χαράτων D 10 γλώσσης D 11 γραφῇ P ὁ om. D ὕμνος DP: λόγος B ἀπόλλωλε D 12 εὔδια corruptum; ἀίδια Ernesti Callim. I p. 490; διὸ Bentley; εὖ δὲ Valckenaer Callim. p. 277 14 ἔλλατε B: ἐλλᾶτε P ἐλλᾶ γε D ἐλλέγοισι P δ'] γ' D ἐνιψήσασθαι P[ac] ἐνίψασθαι D λεπώσας P 15 ἐμοῖς om. B in lac. πουλὺ edd. Callim. μένωσιν Valckenaer ἕτερος P 16 ὁ δὲ νοῦς BD: ἄλλως P 17 πολλῷ om. B 18 λόγος μάλιστα P: μάλ. λόγος BD λέγεται P 20 l. B: τό μ. θ. κρ. τε D κρ. τε διί P 20. 21 ἐμοὶ εἴη ποιῆσαι om. D 21 με P: μεν D (s. acc.) om. B μοι a

τῶν Χαρίτων γράφειν. τὸ δὲ προηγούμενον τοῦ κώμου προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα· προκώμιον οὖν τὸ πρὸ τοῦ κώμου γραφόμενον. δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος· παντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου τοῦτο τὸ ῥῆμα προκώμιον εἴη, οἷον προοίμιόν τι τοιοῦτον γένοιτο τῶν εἰς αὐτὸν γραφησομένων ὕμνων ὑπ' ἐμοῦ, νικῆσαι καὶ ἄλλους ἀγῶνας· ἵνα τῶν ἑξῆς ἐσομένων ἐπινίκων ὁ νῦν γραφόμενος λέγηται πρὸ τοῦ παντὸς κώμου γεγονώς. δύναται δὲ καὶ οὕτω· τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων ὁ ἐμὸς ἂν εἴη προκώμιον. b. ἄλλως. ὁ νοῦς· ὅνπερ δὴ λόγον καὶ ἔπαινον γένοιτο νῦν ἐμοὶ θεῖναι καὶ πληρῶσαι προκώμιον τῷ τε Διῒ καὶ αὐτῇ τῇ Νεμέᾳ καὶ τῇ Τιμασάρχου πάλῃ.

BDP 17. ὕμνου προκώμιον: ὕμνου προκώμιον εἶπε διὰ τὸ ὑπὸ χορευτῶν μὲν λέγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν, πρὸ δὲ τῆς τούτων χορείας καὶ κωμασίας γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. ὁ δὲ λόγος· γένοιτό μοι ἐπιτυχεῖν πρὸ τοῦ κωμάζειν τοὺς ἐπαίνους γράφοντι.

BDP 18. δέξαιτο δ' Αἰακιδᾶν εὔπυργον ἕδος: ῥῆμα ὃ προείρηκε, ῥῆμα δ' ἐργμάτων χρονιώτερον, τὸ ῥῆμα τοῦτο τὸ εὔπυργον τοῦ Αἰακοῦ ἕδος δέξαιτο, ὡς ἔστι δίκαιον.

(20a.) κοινὸν δὲ φέγγος ἔστι μὲν καὶ τὴν Αἴγιναν ἀκοῦσαι, ἔστι δὲ καὶ τὸ ποίημα, τὸ κοινὸν φέγγος γινόμενον· οὐ γὰρ ἐᾷ ἐν ἀφανεῖ τὰ ἔργα, ἀλλὰ φωτίζει κοινῶς.

(20b.) ξεναρκεῖ δὲ ὡς ποδαρκεῖ. κοινὸν φέγγος τῆς ξεναρκοῦς δίκης ἡ τῶν Αἰακιδῶν πόλις παραδέξαιτο, ὡς ἔστι δίκαιον ξένους ἀποδέχεσθαι.

---

1 προκώμιον BD: πρυηγουμένου τοῦ κώμου προοίμιον P 5 τοῦτο BP: τοῦ D 6 αὐτὸν BP: αὐτῶν D 7 ἐσομένων P: ἑπομένων B σεσωμένων D ἐπινικίων B 8 γραφεὶς P τοῦ om. B κόσμου P 10 ἄλλως ὁ νοῦς P: ὁ δὲ νοῦς BD 14 l P: ἄλλως BD 15 ὑπὸ χορευτῶν P: ὑπὸ χορευόντων B ὑποχωρούντων D 16 γράφεσθαι P 17 αὐτόν om. D 19 l. B: δ. δ' αἱ. DP δέξαι τὸ δ' BP δέξατο δ' D ἕδος B 20 ῥῆμα] ἕδος ῥῆμα D 21 εὔπυργον BP: ἄπυργον τὸ D 27 ἀποδέχεσθαι] παραδέχεσθαι καὶ ἀποδέχεσθαι B

19a. *ἕδος δίκᾳ:* δίκης ξεναρκοῦς, τῆς τοῖς ξένοις ἀρκούσης BDP δικαιοσύνης κοινὸς ὢν ὀφθαλμός, ὦ Αἴγινα, ἤτοι περιφραστικῶς ἡ δικαιοτάτη. b. δέξαιτο δὲ τοῦτο ⟨τὸ⟩ προκώμιον καὶ τοῦτον τὸν ἔπαινον πόλις καλλίστη Αἴγινα, ἥτις διὰ τὴν προσοῦσαν πρὸς πάντας τοὺς ξένους δικαιοσύνην καὶ φιλοξενίαν κοινὸς ὀφθαλμὸς τῶν πάντων τυγχάνει.

21a. *εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος:* τῷ ἄγαν ξηραντικῷ· BDP τὸ γὰρ ζα ἐπιτατικόν ἐστι μόριον ἀεί· τῷ ἰσχυροτάτῳ οὖν φησι. περιφραστικῶς δὲ τοῦτό φησιν· εἰ ἔζη σου ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε. b. ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος BD ἢ ὁ μουσικώτατος ἀπὸ μέρους· ἤσκουν γὰρ οἱ ἀρχαῖοι μουσικήν. c. ὁ δὲ νοῦς ὅλος ἕως *Ἡρακλέος ὀλβίαν πρὸς* BDP *αὐλὰν* οὕτως· εἰ δὲ μέχρι τοῦ παρόντος ὁ σὸς πατὴρ Τιμόκριτος ἐν ζῶσιν ἀνεστρέφετο τῇ ἑαυτοῦ μουσικῇ σεμνυνόμενος, συνεχῶς ἂν τούτῳ τῷ μέλει καὶ ταύτῃ τῇ ᾠδῇ προσκλίνας ἂν ἑαυτὸν καὶ προσαγαγὼν ἀνευφήμησε καὶ ἀνεβάλετο τὴν γεγενημένην νίκην τὴν ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος τοῦ πέμψαντος πλῆθος καὶ ὁρμαθὸν στεφάνων· | λέγει δὲ τοῦ Νεμεακοῦ, P Κλεωναῖοι γὰρ αὐτὸν διέθηκαν· | καὶ τὴν ἀπὸ τῶν BDP πλουσίων Ἀθηνῶν καὶ ἐνδόξων νίκην, καὶ τὴν ἐν ταῖς Θήβαις τῶν Ἰολαείων καλουμένων· διότι δὴ παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τάφον οἱ Θηβαῖοι σὺν πολλῇ προθυμίᾳ καὶ βουλήσει τοῖς τῶν στεφάνων ἄνθεσιν ἐκόσμουν εἰς χάριν καὶ τιμὴν τῆς Αἰγίνης· Αἴγινα γὰρ καὶ Θήβη ἀδελφαί, ἐξ ὧν αἱ πόλεις

---

7 sch. P. IX 65. Hes. ζαμενής

---

1 l. **P**: ἢ οὕτω(ς) **BD** δίκης ξεναρκοῦς om. **BD** 2 οὖσα (s. ἦν s. ἐστι) ὀφθ. ἡ αἴγινα cj. Abel ἤτοι om. **P** 3 suppl. b 7 l. **BD**: εἰ δ' ἔτι ζ. **P** τιμόκρατος **B**[1] (ι ft. supra scr. **B**[2]) **D** ξηραντικῷ] τι κραντικῷ **D** 8 τὸ] τῷ **D** ἀεί] ἡλίῳ Bergk NJ 117, 43 (et ante ἀεί dist. **P**) 9 τοῦτο om. **P** 12 ὁ δὲ νοῦς— 13 οὕτως **BD**: ἢ οὕτως· εἰ δ' ἔτι ζαμενεῖ ἕως ἡρα(κλέος) ὀλβίαν πρὸς αὐλὰν ὁ λόγος· ὁ δὲ νοῦς **P** 13 εἰ] οὐ **D** ὁ τιμ. ὁ σὸς πατὴρ **D** 14 ζῶσι συνεστρέφετο **D** 15 ἂν (alt.) om. **B** 16 αὐτὸν **D** ἀνεφήμησε **P** ἀνεβάλλετο **DP** 17 τὴν ἀπὸ **B**: τοῖς ἀπὸ **P** ἀπὸ **D** 18 ὁρμαθὸν codd. 21 ἰολαέων **D** καλουμένην **B** παρὰ τὸν τοῦ **B**: περὶ τούτου **D** παρα τὸν **P**

ὠνομάσθησαν. προσφιλὴς γὰρ ὢν ἅτε Αἰγινήτης, καὶ πρὸς φίλους ἥκων τοὺς Θηβαίους ἅτε δὴ καὶ τὸ εὔξενον ἄστυ καταλαβόντας, ἠδυνήθη κατ' εὐχὴν θεάσασθαι τὴν τοῦ Ἡρακλέους αὐλήν, ἤτοι τὰς Θήβας.

BD 30. εὐωνύμων ἀπ' Ἀθανᾶν: ἐνδόξων, ὀνομαστῶν. ἄδηλον δὲ ποῖον ἀγῶνα ἐνίκησε· πολλοὶ γὰρ τελοῦνται, Παναθήναια καὶ ἄλλοι. BDP εἶτα ἐπάγει· | Θήβαις τ' ἐν ἑπταπύλοις, ὡς καὶ ἐν Θήβαις αὐτοῦ νικήσαντος. ἦν δὲ καταλληλότερον εἰπεῖν Θηβῶν, ἵν' ᾖ· καὶ ἀπὸ Θηβῶν ἔπεμψας αὐτῷ στέφανον. διατί; ὅτι παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τύμβον οἱ Θηβαῖοι οὐκ ἄκοντές σε τοῖς ἄνθεσιν ἐμίγνυον, τουτέστιν ἐστεφάνουν, χαίροντες διὰ τὸ συγγενεῖς εἶναι Θηβαίους Αἰγινητῶν. Θήβη γὰρ καὶ Αἴγινα Ἀσωπίδες, καί φασι Θηβαίοις πολεμοῦσιν Ἀθηναίοις ἐκπεσεῖν λόγιον, τοὺς συγγενεῖς ἑλέσθαι συμμάχους, δι' οὗ τοὺς Αἰγινήτας δηλοῖ.

BDP 32. οὕνεκεν Ἀμφιτρύωνος: ἀντὶ πατρωνυμικοῦ τοῦ Ἀμφιτρυωνίδου· οὐ γὰρ Ἀμφιτρύωνι ἄγεται ὁ ἀγών. ὡς δὲ Ὅμηρος λέγει Ὑπερίονος Ἠελίοιο, ἀντὶ τοῦ Ὑπεριονίδου· καὶ Εὐριπίδης (fr. 70)·

ὃς Οἰδίπουν ἀπώλεσ', Οἰδίπους δ' ἐμέ,
χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν.

οὐ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσοῦν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ

---

5 sch. O. II 13 13 Her. V 79 16 sch. Θ 480. EM 779, 1. Eust. ad α 8 (p. 1383, 36). Anon. de barb. et sol. p. 291. 10 N.

---

2 ἥκων] ἡμῶν D ἄστυ Beck: αὐτοῦ codd. 3 καταλαβόντας P: καταλαβὸν τὰς θήβας BD καταλαβὼν τ. θ. Beck 4 ἤτοι P: πάλιν BD 5 ἀθηνᾶν B εὐδόξων B 6 εὔδηλον D καλοῦνται D 7 τ' om. D ἑπταπύλαις B 9 θηβῶν (alt.) B: θ. φησίν D θ. δέ φησιν P 10 περὶ D 11 οὐκ ἄκοντες BD: προθυμότατοι P ἐμίγνυον τουτέστιν om. P 12 αἰγινητῶν BD: αἰγινήταις P 13 εὐσωπίδες D 13. 14 ἀθην. πολ. θηβ. P 14 ἕλκεσθαι D 15 δι' ὃ b δηλοῖ P: φησίν D ἑλέσθαι· τοῦτο γὰρ ἐδήλ(ου) τὸ ῥῆμα B 16 οὕνεκεν BD 17 δὲ] δὴ Nauck (perperam) 18 ἡλίου P τοῦ om. P 20 ὃς οἰδίπουν Nauck: ὡς οἰδίπουν Anon. de barb. et soloec. ὅ, σοι (ὅσοι D) χρυσοῦν BD ὃς οἱ χρυσὸν P δέ με codd.

Πολυνείκης, καὶ ἔδωκεν Ἐριφύλῃ· ἔστιν οὖν, Οἰδιποδιονίδης δ' ἐμὲ, ὁ Πολυνείκης· οὕτω καὶ τοῦτο οὕνεκεν Ἀμφιτρυωνίδου· Ἰόλαον γὰρ εἶπεν· οὗτος γὰρ Ἰφικλέους, ὁ δὲ Ἀμφιτρύωνος· διὸ καὶ τὸ ἐν Θήβαις γυμνάσιον ἀπ' αὐτοῦ Ἰολάειον καλεῖται καὶ ὁ ἀγὼν Ἰολάεια. Δίδυμος δέ φησιν⟨οὐκ⟩ἄγεσθαι Ἰολάεια ἐν Θήβαις ἀγῶνα γυμνικόν, αὐτὸ δὲ μόνον τὸ στάδιον καὶ γυμνάσιον εἶναι Ἰολάειον, καθὼς ὁ περὶ ἀγώνων ἀναγραψάμενος οὐκ Ἰολάειά φησιν ἄγεσθαι ἀλλ' Ἡράκλεια. τὸν ἀγῶνα οὖν τῶν Ἡρακλείων φησὶν ἐν τῷ τοῦ Ἰολάου γυμνασίῳ διακεῖσθαι παρὰ τὸ τοῦ Ἀμφιτρύωνος μνῆμα, ἔνθα φασὶ καὶ τὸν Ἰόλαον κεκενοταφῆσθαι· τὸ γὰρ κατ' ἀλήθειαν αὐτοῦ μνῆμα ἐν Σαρδοῖ εἶναι.

36a. *Α ἰ γ ί ν α ς ἕ κ α τ ι: τῆς ἡρωΐδος Αἰγίνης γυναικὸς* **BDP** *χάριν, διὰ τὸ συγγενές. Θήβη γὰρ καὶ Αἴγινα ἀδελφαὶ θυγατέρες Ἀσωποῦ τοῦ ποταμοῦ, ἀφ' ὧν καὶ αἱ προσηγορίαι τῶν πόλεων.*

36b. *φ ί λ ο ι σ ι γ ὰ ρ φ ί λ ο ς: πρὸς φίλους φίλος ἦλθε,* **BDP** *πρὸς Θηβαίους Αἰγινήτης ὤν.* (37.) *ξένιον δὲ ἄστυ ἤτοι τὸ εὔξενον, ὡς τὸ κληϊσταὶ δ' ἔπεσαν σανίδες* (*β* 344) *ἀντὶ τοῦ εὔκλειστοι, καὶ τειχιόεσσα* (*Β* 559) *ἀντὶ τοῦ εὐτειχής· ἢ ξένιον ἄστυ ταῖς Θήβαις ἡ Αἴγινα, διότι Πηλεὺς καὶ Τελαμὼν Αἰγινῆται ὄντες, ὅτε ἔμελλε στρατεύειν εἰς Ἴλιον*

---

6 Paus. IX 23, 1 **11** Paus. IX 23, 1. Solin. p. 14, 10 Mo. **18** sch. *B* 559. Eust. ibid. (p. 286, 20). Hes. *τειχιόεσσαν*

---

1 *οἰδιποδιονίδης* **DP**: *οἰδιπονίδης* **B** *οἰδιποδίδης* **h** **2** *δέ με* codd. *πουνυνείκης* **B** *οὕνεκεν* **D**: *οὕνεκεν* **B** *οὕνεκ'* **P** *ἀμφιτρυωνιάδου* **P** **3** *γὰρ ὁ φικλ(έους)* **D** **4** *καὶ*—**6** *μόνον* in lac. om. **B** **5** *δὲ* **P**: *γὰρ* **D** suppl. **a** **6** *ἀγῶνα ἐν θ. γυμν.* **P** *τὸ* om. **P** **7** *ἀναγραψάμενος* **P**: *ἀναγράφεται ἀψάμενοι* **BD** **8** *φησὶν οὐ ἰολ ἄγεσθαι* **P** **9** *γυμνάσιον* **P** *κεῖσθαι* **D** **10** *περὶ* **P** *φασὶ* **P**: *φησὶ* **BD** **13** *αἰγίνης*] *ἐκείνης* **D** **14** *συγγενές* **P**: *συγγενέσθαι* **BD** **15** *τοῦ ποταμοῦ* om. **P** **17** l. **P**: om. **BD** *φίλους* **P**: *φίλους οὖν φησι* **BD** **19** *εὔξενον* **D**: *εὔξεινον* **BP** *τὸ* om. **BD** **20** *τοῦ αἱ εὔκλ.* **B** *εὔκληστοι* **P** *τειχιόεσσα* **P**: *τειχήεσσα* **B** *ταχόεσσα* (vix *ταχήεσσα*) **D** *εὐτυχής* **DP** **21** *ξείνιον* **D** *διότι* **BD**: *ὅτι* **P** **22** *αἰγινῆται* **BD**: *ἐξ αἰγίνης* **P**

Ἡρακλῆς, ἐπεξενώθησαν αὐτῷ· διὸ ἐποίσει, ξὺν ᾧ ποτε Τρωΐαν.

BDP 40. ξὺν ᾧ ποτε Τρωΐαν: ὁ νοῦς· σὺν ᾧ Ἡρακλεῖ ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γενναῖος Τελαμὼν ἐπόρθησε τὴν Τροίαν, ἐπόρθησε δὲ σὺν αὐτῷ καὶ τοὺς νῦν μὲν Κῴους λεγομένους νησιώτας, τότε δὲ Μέροπας, ἔτι γε μὴν ἐπόρθησε καὶ τὸν μέγιστον καὶ ἐκπληκτικώτατον τῶν Γιγάντων Ἀλκυονέα.

P 42a. καὶ Μέροπας: τοὺς Κῴους· δοκοῦσι γὰρ εἶναι γηBDP γενεῖς· ἀπὸ Μέροπος δὲ Μέροπες οὕτως γράφεται. b. ὅτι δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Κῶ ἀπὸ τῆς Ἀσίας κατιὼν, καὶ Ὅμηρος μαρτυρεῖ (Ξ 255, Ο 28)·

καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.

ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλου τοῦ βασιλέως θυγατέρα, ἀφ' ἧς ἔσχεν υἱὸν Θεσσαλὸν, οὗ παῖδες Φείδιππος καὶ Ἄντιφος ἐν Ἰλίῳ στρατεύσαντες. c. λέγεται δὲ πεπορθηκέναι διὰ τοὺς Χαλκιόπης ἔρωτας τῆς θυγατρὸς Εὐρυπύλου τοῦ βασιλέως τὴν Κῶ.

P 43a. ἔκπαγλον Ἀλκυονῆ: ἀντὶ τοῦ Ἀλκυονέα· κατὰ

---

9 Steph. Byz. s. v. Κῶς(?) Eust. ad Β 677 (p. 318, 43); id. ad δ 1 (p. 1478, 48)(?) Hes. μέροπες 10 sch. Isthm. VI 45. sch. Ξ 255, Β 677. EM 507, 56. EG 358, 44. sch. Call. h. in Del. 160 14—16 sch. Β 677, Ξ 255. Apollod 2, 7, 8. Strab. IX p. 444. Diod. 5, 54. Eust. ad Β 676 p. 318, 20. Hyg. f. 97 (p. 92 S.)

---

1. 2 διὸ — τρωίαν B: διὸ ἐποίσει τρωίαν P om. D 3 ὁ νοῦς P: om. BD ᾧ (alt.) P: ᾧ ποτε BD 4 ἀνωτέροις P 4. 5 τὴν τρ. ἐπόρθ. P 5 ἐπόρθησε δὲ σὺν αὐτῷ om. P σὺν αὐτῷ B: σὴν, ἀντὶ τοῦ D μὲν om. D 5. 6 λεγ. κώους D 6 δὲ om. D μέροπας P: κεκλημένους μέροπας ἀπὸ μέροπος BD; cfr. sch. 42 7 τῶν γιγάντων BD: πάντων P 8 ἀλκύωνα D 10 μέροπος a: μερόπης P οὕτως γράφεται corrupta; οὕτω γίνεται a ὅτε P 11 κῶ BD: κώαν (?) P 13 μιν] μὴν D κόωνδ' D: κῶονδ' P κῶ B ἀπένεικεν P 14 τοῦ om. D 15 ἀφ'] ἐφ' P φείσιππος D φείδιπος P 16 καὶ om. P ἄντιπος P στρατηγήσαντες D δὲ om. P 17 πορθηθῆναι P 17. 18 τῆς θυγ. τ. β. τῆς κῶ εὐρ. P 19 ἀλκυονῆα in l. P τοῦ Tricl : om. P

συναίρεσιν δὲ γέγονεν, ὡς καὶ τὸ Τυδέα Τυδῆ· Ὅμηρος (*Δ* 384) ἐνταῦθ' ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.

b. *καὶ τὸν μέγαν πολεμιστὴν ἔκπαγλον Ἀλκυονῆ:* BD οὗτος ὁ Ἀλκυονεὺς εἷς τῶν Γιγάντων λέγεται περὶ τὸν Ἰσθμὸν τῆς Κορίνθου συμβεβληκέναι Ἡρακλεῖ,

P οὗτος δὲ εἷς ἦν τῶν Γιγάντων,

οὗ τὰς βοῦς Ἡρακλῆς ἐξ Ἐρυθείας παρήλαυνε· καὶ τῆς μάχης BDP αὕτη αἰτία ἐγένετο τῇ βουλῇ τοῦ Διός· πολέμιος γὰρ ἦν τοῖς Γίγασιν. c. οὐ πρότερον οὖν ἀνεῖλε τὸν Ἀλκυονέα Ἡρακλῆς, πρὶν τὰ ἅρματα αὐτοῦ ὑπὸ τοῦ Ἀλκυονέως βληθῆναι.

d. ἄλλως. οὗτος ὁ Ἀλκυονεὺς εἷς τῶν Γιγάντων λέγεται περὶ P τὸν Ἰσθμὸν τῆς Κορίνθου συμβεβληκέναι Ἡρακλεῖ, | καὶ μετὰ BDP τὸ συντρίψαι αὐτοῦ δώδεκα ἅρματα καὶ εἰκοσιτέσσαρας ἄνδρας λίθῳ μεγίστῳ, τὸ τελευταῖον κατ' αὐτοῦ τὸν λίθον ἔρριψεν, ὅντινα τῷ ῥοπάλῳ ἀποσεισάμενος οὕτως ἀπέκτεινε τὸν Ἀλκυονέα, καί φασι κεῖσθαι τὸν λίθον ἐν τῷ Ἰσθμῷ. λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ἡρακλεῖ καὶ τὸν Τελαμῶνα. e. οὐ πρὶν P ἤ γε τετραορίας δώδεκα, ὅ ἐστι τεθρίππους ἀνεῖλεν ὁ Ἀλκυονεύς. οὐ πρότερον δέ, φησίν, ἀπέκτεινεν Ἡρακλῆς, πρὶν ἢ ἀπέκτεινεν ὁ Ἀλκυονεὺς δώδεκα ἅρματα καὶ εἰκοσιτέσσαρας ἄνδρας τοῦ Ἡρακλέους.

1 sch. *Δ* 384, *O* 339 18 J. VI 31 (45) cum scholl.

1 τὸ Tricl.: τὸν P 2 ἔνθ' αὖτ' codd. Hom. τυδεῖ P[1] 5 οὗτος B: οὗτος γὰρ D 6 περὶ B: παρὰ D 7 συμβεβληκέναι D (et P infra): συμβεβηκέναι B 9 ἐριθυίας παλήλαυνε P 10 αὕτη om. D 11 οὖν P: οὖν φασιν BD οὖν, φησίν b τὸν ἀλκυόνην ἡρ. ἀνεῖλε D ἀλκυονῆα P 12 πρὶν] πλὴν P αἵματα D ἀλκυονέως BD: ἡρακλέος P 13sq. cfr. sch. 43b παρὰ P (cfr. ad 6) 14 τῆς Κορίνθου del. b ap. Dissen. expl. p. 382 (cfr. praef. schol. p. XXIX, et infra ad 50a); τῆς Παλλήνης Koepp Arch. Zeit. 1884 p. 36; at cfr. Robert Herm. 19 p. 479 καὶ μετὰ P: μετὰ γὰρ BD 16 τὸ τελευταῖον om. D 17 ὅντινα DP: ὃν B 18 φασι BD: φησιν ὅτι P 19 συμπ. τότε D τὸν τελαμῶνα BD: τελαμῶνι P 20 ante ἀνεῖλεν aliqua excidisse susp. Abel ὁ ἀλκυονεύς a: ἀλκυονέα P

BDP 49a. *ἀπειρομάχας ἐών κε φανείη λόγον ὁ μὴ ξυνιείς*: ἐπεὶ ῥητῶς οὐκ ἐξήγγειλεν ὁ Πίνδαρος ὅτι ἐνικᾶτο ὁ Ἡρακλῆς, ἀλλ' ἀμφιβόλως αὐτὸ παρεδήλωσεν, ὁ μὴ συνιεὶς τοῦτο ὃ λέγω, φησίν, ὅτι ἐλείφθη ὁ Ἡρακλῆς, ἄπειρος μάχης BD ἂν εἴη οὗτος. b. ἄλλως. τὸν λόγον τοῦτον ὁ μὴ διαλογιζόμενος καὶ νοῶν ὀφθείη ἂν ἄπειρος μάχης, ὡς μὴ συνιεὶς τὴν τύχην καὶ τὸν ἐξ αὐτῆς λόγον.

BDP 50a. *ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικε*: παρὰ τὸ Ὁμηρικόν (Σ 309)· ξυνὸς Ἐνυάλιος καί τε κτανέοντα κατέκτα.
b. ὁ δὲ νοῦς· ἔπαθεν ὁ Ἡρακλῆς ἀποβαλὼν τοὺς ἑταίρους. παρὰ τοῦτο ὁ τραγικός (Soph. fr. 209)·

τὸν δρῶντά πού τι καὶ παθεῖν ὀφείλεται.

εἴη δ' ἂν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῆς περὶ τὸν Ἡρακλέα ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ· οὕτω γὰρ τὸν ὅμοιον λόγον ἕξει ἡ παραβολή. ὡς γὰρ ὁ Ἡρακλῆς ἐπὶ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕστερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής. ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι ἢ ἄλλο τι τοιοῦτον ὑπομεῖναι.

BDP 53a. *τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμός*: Ἀρίσταρχος· εἰς νουμηνίαν ἐπιοῦσαν ὑποκείμενόν ἐστιν αὐτῷ ἀποδοῦναι τὸν ἐπίνικον. πάντα γάρ, φησί, τὰ περὶ τὸν Ἡρα-

---

8 cfr. Eust. ad Λ 1 p. 882, 34: ὅτι δὲ καὶ ὁ Ἡρακλῆς ἐνιαχοῦ ἀγῶνα πολὺν εἶχε διὰ τὸ τοῦ Ἐνυαλίου ξυνόν, αἱ ἱστορίαι δηλοῦσιν. ὃν καὶ ἡ Θρᾴκη παρὰ βραχὺ δυσπραγήσαντα εἶδεν ὑπὸ λῃστοῦ, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται.

---

1 l. **BD**: ἀπειρομάχας **P** ἀπειρομάχως **D** 2 ἐπὶ ῥητοῖς **P** ἐξήγκειλεν **P** ἐνίκα τόθ' ἡρ. **P** 4 φησίν om. **P** ὁ ἡρ. ἐλ. **B** 5 οὗτος **BP**: ὁ τοιοῦτος **D** 6 ἀπειρομάχης **D** 8 l. **BD** (sed non ut l. dist.): ῥ. τι καὶ π. **P** παρὰ **P**: φησὶ παρὰ **BD** 9 καί—κατέκτα om. **BD** 10 ὁ δὲ νοῦς· ἔπαθεν **P** (vix recte): ἔπαθε γάρ τι καὶ **B** ἔπαθε γὰρ καὶ **D** (sed ab ἔπαθε novum schol. incipere vid.) 11 τράνικος **P** 14 ἐλάτωμα **P** γεγονὼς **D** περὶ om. **D** 15 ὡς γὰρ **BD**: ὥς περ **P** ὁ om. **D** μὲν] μὴ **D** 19 l. **BD**: τὸ μακρὰ δ' ἐξεννέπειν **P** 20—p. 73, 3 mire confusa 21 ἐπιδοῦναι **D** φησί om. **P**

κλέα καὶ Ἀλκυονέα μακρῶς διελθεῖν κωλύομαι ...... ἐξειπεῖν ἐρύκει με καὶ κωλύει με ὁ τεθμός· ποῖος δὲ τεθμός; ὁ νόμος τοῦ ἐγκωμίου. ὁ νόμος οὖν τοῦ ἐγκωμίου, φησί, κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι. b. ὁ δὲ Ἀμμώνιος ὡμολογηκέναι φησὶ τὸν Πίνδαρον ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸν ἐπίνικον· ὁ νόμος οὖν οὗτος, ὃν διεστησάμεθα ἐγώ τε καὶ οἱ τοῦ ἀθλητοῦ περὶ τῆς ἡμέρας, ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν· οὐ γὰρ φθάσω. διὸ ἐποίσει· Ὧραί τ' ἐπειγόμεναι, τουτέστιν ἐπείγουσί με αἱ Ὧραι. c. ὁ δὲ νοῦς οὕτω· τὰ BD πολλὰ δὲ καὶ μακρῶν δεόμενα λόγων διηγεῖσθαι κωλύομαι ὑπό τε τοῦ καιροῦ κατεπείγοντος καὶ ὑπὸ τοῦ εἰωθότος θεσμοῦ· νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμων λέγεσθαι.

56a. ἴυγγι δ' ἕλκομαι ἦτορ: ἴυγξ εἶδος ὀρνέου ἐρωτι- BDP κοῦ. πόθεν δὲ ἡ ἴυγξ; οἱ μέν φασιν Ἠχοῦς, οἱ δὲ Πειθοῦς γεγενῆσθαι θυγατέρα, ἥτις φαρμάσσουσα τὸν Δία εἰς τὸν Ἰοῦς πόθον κατὰ χόλον Ἥρας εἰς ὄρνεον μετεβλήθη, ᾧ κέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες. ἐκ τούτου δὲ καὶ τὸ ποθεινὸν ἴυγξ καλεῖται. ἴυγγι οὖν τῇ ἐπιθυμίᾳ φησίν.

b. ἄλλως. ὡς ἀπὸ φαρμάκου, φησί, καὶ ἴυγγος τὴν ψυχὴν ἕλκομαι τῇ ἐπιθυμίᾳ, ᾗ ὑπεσχόμην ἐπιδείξασθαι τόν ἐπίνικον

13—18 sch. Theocr. 2, 17. Tzetzes ad Lyc. 309. Suid. Phot. s. v. Niceph. Greg. ad Synes. p. 360 Petav. (1631)

---

1 καὶ] + τὸν P ἀλκυόνα D μακρῶς—κωλύομαι om. D διεξελθεῖν P ἐξειπεῖν—2 ὁ τεθμός D: om. BP Lac. indicavi 2 ποῖος δὲ τεθμός B: ποιεῖ δὲ τεθμός D ἐρύκει με τεθμός P 3 ὁ νόμος οὖν—φησί B: φησί D om. P 5 ἐπινίκιον B 7 ἡμέρας] μέρας P 8 διὸ ἐποίσει om. D ὧραί τ'—9 αἱ ὧραι] ἐπείγουσαι αἱ ὧραι P 9 ft. ἐπείγουσαί με 10 δὲ om. D 12 ἐνενόμιστο D γὰρ om. D διὰ συντ(όμων?) B[cp]: διὰ συντομίας D διὰ συντόμου r 13 l. BD: ἴ. δ' ἕλκ. P 14 ἡ ἴυγξ B ἴυγξ D: ἐστιν P οἱ μὲν DP: ἦν οἱ μὲν B 15 θυγάτηρ πειθοῦς ἢ ἠχοῦς καὶ πανός Tzetzes γεγεννῆσθαι D τὸν τῆς ἰοῦς B 17 γυν. αἱ τὰ ἐρ. σκ. P συσκευάζουσαι D 18 καὶ—καλεῖται D: ἴ. καλ. καὶ τὸ π. P [τὸ ποθεινὸν] ἴυγξ καλ. (om. ut vid. καὶ) B τὸ ὄρνεον ἴυγξ καλ. r (om. καὶ) 19 20 ἕλκ. τ. ψ. B 20 ἐπιθυμίᾳ ⟨τῇ νουμηνίᾳ⟩ Schnitzer p. 51, non male; an ᾗ ὑπεσχόμην ⟨ἡμέρᾳ⟩? ἐπινίκιον B

συντελέσας. διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον εἰς ὃν ὡμολόγησα χρόνον.

DP 58a. ἔμπα καί περ ἔχει βαθεῖα ποντιὰς ἅλμα: ὅμως εἰ καὶ κινδυνεύω τελειῶσαι τὸ ποίημα, τηρήσω γε τὴν ὑπόσχεσιν, ὥσπερ καὶ ἡμεῖς λέγομεν· εἰ καὶ ἐμβέβηκα εἰς μέσον
BDP πέλαγος. b. ἢ οὕτως, τῆς ἀναφορᾶς γινομένης περὶ τὸν Ἡρακλέα· καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας καὶ μεσοπορῶ κατὰ τὴν διήγησιν, ὅμως ἀνθέξομαι, καὶ οὐκέτι τὰ λοιπὰ ἐπ᾽ ἴσης συνάψω διὰ τὴν νουμηνίαν. c. ἄλλως. ὅμως οὖν, εἰ καὶ πολὺ τὸ μέσον ἔχει διάστημα ἡ τῆς Αἰγίνης θάλασσα πρὸς τὰς Θήβας, ἐπείγου καὶ ἀντίτεινε ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς.

BDP 60a. ὁ δὲ λόγος· ὡς πρὸς ἑαυτὸν φιλονεικεῖ. 60b BD ἐναντιοῦ τῷ φθόνῳ, ὅ ἐστιν ἀπόδος τὸν ἐπίνικον τῇ ὡρισμένῃ ἡμέρᾳ. 60b σφόδρα BD

BD 60b. ἀντίτεινε ἐπιβουλίαις: πρὸς ἑαυτὸν [γὰρ] τοῦτο λέγει ὁ Πίνδαρος· ἀντίτεινε τοῖς ἐπιβουλεύουσιν, οἷον, μὴ
BDP ὕπεικε τοῖς ἀντιτέχνοις καὶ ἐπισιλλαίνουσί σε, | μὴ δίδου λαβὰς ὅτι παρεκβέβηκας· τῇ ἐπιβουλῇ αὐτῶν ἀντίτεινε. (60a ἐναντιοῦ BD) σφόδρα γὰρ τῶν πολεμούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντι-

1 συνετέλεσε P 2 εἰς] εἰ D ὡμολόγησε P 3 l. D: ἔμπα κ. ἔχει P; de B cfr. ad 6 4 καὶ om. D κινδυνεύω τελειῶσαι obscurum 5 καὶ (pr.) om. P εἰ καὶ om. P ἐκβέβηκα D 6 ἢ οὕτως DP: ἔμπα καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα B γινομένης D: γενομένης B γὰρ P περὶ] exspectes πρὸς 7 εἰ] εἰς D μεσοπο͂ῶ D 8. 9 τοῦ λοιποῦ ἐπίσης ἐκκόψω B 9 ἐπίσης B: ἐπὶ P om. D ἄλλως P: ὁ νοῦς δὲ BD 10 ἔχει] + τὸ P 11 ἔπειγε D 13 ὁ δὲ λόγος ὡς P: ἀντίτειν᾽ ἐπιβουλίᾳ: ἰστέον ὅτι ὁ λόγος B ἀντίτ. ἐπιβ. ὁ λόγος D ἐναντιοῦ — 15 ἡμέρᾳ post 19 ἀντίτεινε hab. BD 14 ἀπόλος D ἐπινίκιον B 16 l. P (ante 17 μὴ δίδου): om. BD (cfr. ad 13) γὰρ seclusi 16. 17 ὁ πίνδ. τ. λέγει D 18 ὕπεικε Tricl.: ὑπόεικε D (corr. ex ὑπειεικε?) εἶκε B ἐπισιλλαίνουσι a: ἐπισυλλαίνουσι D om. B (in lac.; σε olim habuisse vid., hodie l. n.) τοῖς ἐπιβασκαίνουσι Tricl.; unde τοῖς ἐπισιλλαίνουσι a ft. recte 19 παρεκβέβηκας B: -βληκας D -βηκε P ἐπιβουλῇ P: ἐπιβουλίᾳ BD ἀντίτεινε ft. delend. 20 τῶν ἀντιπολεμ. D

τέχνων φανησόμεθα καταβαίνοντες καὶ διοδεύοντες λαμπρῶς, ἐὰν μὴ παρεκβαίνωμεν. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Σιμωνίδην, ἐπεὶ ἐκεῖνος παρεκβάσεσι χρῆσθαι εἴωθε. c. καθυπέρτεροι οὖν ἐκείνων φανησόμεθα· ἐὰν μὴ ἐπιμένωμεν ταῖς παρεκβάσεσι, σφόδρα δόξομεν τῶν ἀντιπολεμούντων ὑπερέχοντες καταβαίνειν.

64a. φθονερὰ δ' ἄλλος ἀνήρ: ἄλλος ἀνὴρ ὁ βάσκανος. BD

b. ἄλλος ἐχθρὸς τὴν ἑαυτοῦ προαίρεσιν τὴν κενὴν καὶ ματαίαν ἀφανῆ ἕξει. | c. ἄλλος ὁ ἐχθρός. d. ὁ δὲ νοῦς· οὕ- BDP
τος γὰρ ἂν ὁ τὸν φθόνον ἐν ὀφθαλμοῖς ἔχων ἐχθρὸς τὴν ἑαυτοῦ προαίρεσιν καὶ τὴν ἐπ' ἐμοὶ προσδοκίαν κενὴν καὶ ματαίαν ἔχων καὶ τὸν σκοπὸν χαμαὶ καὶ ἀσκόπως ἐνεχθέντα, ἐν τῷ τῆς ἀδοξίας καὶ λύπης κυλισθήσεται σκότῳ ὁ βάσκανος. e. ἄλλως. εἴτις φθονεῖ ἡμῖν, φησί, τὴν ἑαυτοῦ γνώμην ἐν σκότει κυλίσει· τουτέστιν οὐδὲν ἀνύσει φθονῶν ἐμοί, ἀλλ' ἐναποκρυβήσεται τῷ σκότῳ καὶ ζόφῳ, κυλισθήσεται αὐτὸς ἐν σκοτίᾳ φθονῶν ἐμοί.

66a. ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε πότμος ἄναξ: BDP
ἐμοὶ δέ, φησίν, ἣν ἔδωκε τάξιν ὁ θεὸς καὶ ἡ εἱμαρμένη, ταύτην πεπίστευκα ὅτι καὶ ὁ μακρὸς διαθέων χρόνος πληρώσει εὔμοιρον καὶ καλήν. b. ἢ οὕτως· ἣν δὲ ἔχω παρὰ θεοῦ δύναμιν ποιητικήν, εὖ οἶδ' ὅτι κατὰ τὴν πεπρωμένην ὁ χρόνος τελειώσει καὶ ἐκλάμψει.

71. ἐξύφαινε γλυκεῖα καὶ τόδ' αὐτίκα φόρμιγξ: BDP
ἐργάζου δὲ οὖν καὶ πλήρου τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυ-

---

1 καταραίνοντες D διοδεύοντες] διαβαίνοντες D[t] διαιδεύνοντες D[mg] 2 παραβαίνωμεν D 3 ἐκεῖσε P παρεκβάσει D 4 παρεκβ. ἐπιμ., om. ταῖς B 5 σφόδρα] + γὰρ D 8 ἐχθρὸς suspectum τὴν — κενὴν B: τὴν κενὴν ἑαυτοῦ προαίρεσιν D 9 ἀφαναῖς D sch. 64c om. BD οὕτως D 11 κενὴν καὶ om. P 13 κυλισθήσεται σκότω DP: σκότῳ σκοτασθήσεται B 14 σκότει BP: τῷ σκότῳ D σκότῳ Ox. 15 ἐμοί BD: ἐπ' ἐμοί P 16 σκοτίᾳ B?: σκοτείᾳ D σκότ(ῳ) P 17 ἐμοί D: μοι P om. B 18 l. BD: ἐμοὶ δ' ὁποίαν P ἀρετὴν D 21 δὲ om. P παρὰ] περὶ D 23 τελειώσει DP: ἐκτελέσει B 24 l. BD: ἐξύφαινε P 25 τὸ BP: τὸ γλυκύτατον καὶ D

κυτάτη φόρμιγξ, σὺν τῇ Λυδίων ἁρμονίᾳ, ὅπερ ἐστὶ προσφιλέστατον τῇ τε Αἰγίνῃ καὶ τῇ Κύπρῳ. Οἰνώνη δὲ τὸ πρότερον ἐκαλεῖτο ἡ Αἴγινα ἀπὸ Οἰνώνης τινός.

BDP 76. ἔνθα Τεῦκρος ὑπάρχει: ὁ νοῦς· ἔνθα δὴ καὶ ἐν ᾗ Κύπρῳ ὁ τοῦ Τελαμῶνος παῖς ἡγεμονεύει. 77BD ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος ὡς αἴτιος γεγονὼς τοῦ φόνου τοῦ Αἴαντος, φυγὼν ᾤκησε τὴν Κύπρον καὶ ἔσχεν αὐτῆς τὴν P ἀρχήν, | ὡς καὶ Λυκόφρων (450) ἱστορεῖ. 79BD

BDP 77. ἀτὰρ Αἴας: ὅ γε μὴν Αἴας κατέχει τὴν πατρῴαν Σαλαμῖνα· λόγῳ, ἐπεὶ πατρὶς αὐτοῦ ἡ Σαλαμίς· ἐν Ἰλίῳ δὲ τελευτᾷ. 76 ὁ γὰρ BD

BDP 79a. ἐν δ' Εὐξείνῳ πελάγει: πᾶν τὸ γένος τῶν Αἰγινητῶν ὑμνεῖ, ὅτι πολλῶν τόπων ἐπῆρξεν. ἔστι δέ τις ἐπὶ τοῦ Εὐξείνου πόντου καλουμένη Λευκὴ νῆσος, εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι· καὶ δρόμους τινὰς δεικνύουσι διὰ τὰ τοῦ ἥρωος γυμνάσια. ὁ δὲ Πίνδαρος φαεννὰν νῆσον τὴν Λευκήν· μεταληπτικῶς δέ φησι· φαεινὸν γὰρ τὸ λευκόν ἐστιν. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐννεοσσευόντων ὀρνέων [ἤτοι ἐρωδιῶν]· φαντασίαν γὰρ τοι-

---

2 sch. N. VI 53. Tzetzes ad Lyc. 175 5 sch. Aesch. Pers. 897. Tzetzes ad Lyc. 450 15 Procl. Chrestom p. 238 Westph. 19 EM 561, 38 (= Tzetzes ad Lyc. 186). Dion. Perieg. 544 c. Eustath. ad 541

---

1 ἅρμονος D 2 τὸ om. D 3 ἡ αἴγ. ἐκαλ. P 4 l. BD: ἔνθα τεῦκρος P ἀπάρχει codd. in textu ὁ νοῦς P: om. BD 5 παῖς ⟨τεῦκρος⟩ cj Abel 6 τὴν ἅλωσιν τῆς ἰλίου P: τὴν ἅλ. ἰλίου B τὴν τῆς ἰλ. ἅλ. D 7 τοῦ om. P τῷ φόνῳ P 8 τῷ αἴαντι B ᾤκισε a 9 ὡς—ἱστορεῖ recentius additamentum esse susp. Abel 10 l. P: om. BD 11 σαλαμῖνα· λέγω, ἐπεὶ b ἐπεὶ—σαλαμίς secl. h πατρὶς] τοῦ πατρὸς D ἐν—12 τελευτᾷ P: ἐπεὶ ἐν ἰλίῳ τελευτᾷ BD, ft. rectius 14 ὕμνει D ὅτι] ὁ P πολλῶν] ποδῶν D τρόπων P ἐπῆρξεν P: ὑπῆρξεν BD 15 νῆσος λευκή D 16 ἀχιλέως B 17 τὰ om. P ab ὁ δὲ nov. schol. inc. P ὁ δὲ P: ὅθεν καὶ ὁ BD 18 μεταφορικῶς D δέ φησι P: εἶπε BD. Ft. delend. δέ φησι 19 λευκὴ] φαεννὴ D 20 ἐννεοσευόντων D ἤτοι ἐρωδιῶν om. P („recte, puto" Abel); seclusi τοιαύτη D

αὐτὴν τοῖς πλέουσι παρέχει. b. *ἄλλως. τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν. αὕτη καλεῖται καὶ Ἀχίλλειος δρόμος, ἐπειδὴ μνηστευομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν ἀχθεῖσάν τε διὰ τὴν αὐτοῦ πρόφασιν εἰς Αὐλίδα, γενομένης ἀπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας, καὶ τῆς Ἀρτέμιδος αὐτὴν ἁρπασάσης καὶ ἐπὶ Ταύρους τῆς Σκυθίας τόπον ἀγαγούσης ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεύς, καὶ συνηκολούθησε μέχρι ταύτης τῆς νήσου τῆς λεγομένης Λευκῆς.* 81b BD

81a. *Θέτις δὲ κρατεῖ: ἡ δὲ Θέτις ἄρχει καὶ δεσποτεύει* BDP *τῆς Φθίας, ἔνθα ἐστὶ καὶ τὸ Θετίδειον ἱερὸν, ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ* (19). 82 BD b. *ἄλλως. Φύλαρχός φησι* (FHG I 357) *Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ· τὸν δὲ ποιῆσαι· ἐρωτικῶς δὲ ἔχοντα τῆς Θέτιδος, οὐ φάναι ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλῆσαι· τὴν δὲ αὐτῷ ὑποσχέσθαι· θέλειν μέντοι ὁπλίζεσθαι, ὅπως ἴδοι, εἰ ἁρμόζει ἃ πεποιήκει ὅπλα τῷ Ἀχιλλεῖ· ἴσην γὰρ αὐτὴν ἐκείνῳ εἶναι. τοῦ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν σφῦραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰαθῆναι ἐν τῇ πόλει ταύτῃ τῇ ἀπ᾽ αὐτῆς Θετιδείῳ καλουμένῃ.* 82a P

---

4 Antonin. Lib. 27. Eust. ad Dion. Perieg. 306 13—23 Tzetzes ad Lyc. 175 (p. 84 S.)

---

1. 2 *ἀκτὴν λευκὴν* D 4 *ἀχίλλειος* P: *ἀχιλέως* B *ἀχιλλέως* D *ἀχιλέως* B 6 *ἠθέλησε* P 8 *ἀγαγούσης* B: *ἀγούσης* DP 9 *ἀχιλεὺς* B 10 *τῆς λεγομένης λευκῆς* om. P 11 l. P: *ὁ δὲ νοῦς οὕτως* BD 13 *ἄλλως* P: *θέτις δὲ κρατεῖ φθίᾳ: ἀντὶ τοῦ ἐν φθίᾳ* BD (cfr. 81 c) 14 *πρὸς* iter. P *πρὸς—εἰς* BP: *ἐλθεῖν πρὸς* D 15 *ἀχιλεῖ* B *κατασκευάσει* P *κατασκευάσῃ ὁ ἥφαιστος* D 16 *τῆς θέτιδος* P: *τῆς θ. τὸν ἥφαιστον* D *τὸν ἥφαιστον πρὸς τὴν θέτιν* B *φάναι* b: *φασιν* P *φησιν* BD 17 *προσομιλήσῃ* P *θέλειν* D: *θέλει* B *θέλοι* P 18 *ἃ* BD: *τὰ ἃ* P *ἐπεποιήκει* h 19 *αὐτὴν* DP *εἶναι* P: *ἔλεγε(ν)* BD 21 *σφύρα* D *βαλεῖν* cj. C. Mueller *καὶ* om. P *τὸ*] *τὸν* D 23 *αὐτῆς* P Tz.: *ἐκείνης* BD

c. ἢ οὕτως· ἀντὶ τοῦ ἐν Φθίᾳ νῦν· ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου, περὶ οὗ ἐν πρώτῳ Φερεκύδης οὕτω γράφει (FHG I 72 M., I 59 J.)· ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν [καὶ] Θέτιν ἐπὶ τῶν ἵππων τούτων ἄγων, καὶ οἰκεῖ ἐν Φαρσάλῳ καὶ ἐν Θετιδείῳ, ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις. 81ᵃBD 82ᵇP

BDP 82a. *Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ*: ὁ δὲ Ἀχιλλέως παῖς Νεοπτόλεμος ἄρχει τῆς πολλῆς Ἠπείρου, ἐν ᾗ ἔξοχοι πρῶνες καὶ πρὸς τροφὴν βοῶν ἐξαίρετοι τυγχάνουσιν, ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες καὶ περατούμενοι πρὸς τῷ Ἰονίῳ πελάγει. λέγεται δὲ ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλεμος. 81ᶜP 84BD b. τὸ δὲ *διαπρυσίᾳ* ἀντὶ τοῦ διηνεκεῖ, οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος, οὐ μέρους τῆς BD Ἠπείρου ἀλλ' ὅλης· | Ἀπείρῳ γὰρ ἀντὶ τοῦ Ἠπείρῳ φησί. c. βουβόται δὲ οἱ βουκόλοι· βουτρόφος γὰρ ἡ Ἤπειρος. 88BD

BDP 84. *τόθι πρῶνες*: τὰ ἄκρα τῶν ὀρῶν. βουβόται δὲ οἱ καλλίστους βοῦς τρέφοντες. λέγονται γὰρ ἐκ τοῦ γένους τῶν τοῦ Γηρυονέως βοῶν αὐτόθι μεμενηκέναι, κλέψαντος παρ' Ἡρακλέους Λαρίνου τινός, ἀφ' οὗ καὶ λαρινοὶ καλοῦνται οἱ ἐκεῖ βόες, μνήμην τοῦ τὸ γένος καταστήσαντος τῇ προσηγορίᾳ φυλάσσοντες. 82ᵇBD

---

2 Schol. Eur. Andr. 17. — Tzetzes Lyc. 175 (p. 84 S.) 12 Eust. ad *P* 748, p. 1125, 64 15 sch. J. VI 47 17 sch. Aristoph. pac. 925. Suid λαρινοὶ βόες. Apostol. X 45. Tzetzes ap. Cram. Anecd Ox. III 362

---

1 ἢ — νῦν P: om. BD (cfr. ad p. 77,13) 2 ἐν πρώτῳ] ἐκ δευτέρῳ D 3 ἐκ φθίας Sturz Pherecyd. fr. p. 83 4 καὶ secl. Schwartz τούτων del. Heyne ad Apollod. III 13, 5 καὶ (alt.) om. BD ᾤκει Schwartz φαλάρῳ D 5 ἐν — ἡ πόλις BD Tz. (om. ἐν Tz.): τῷ ἀπ' αὐτῆς Θετιδείῳ κληθέντι P 5 ἡ πόλις del. Heyne ibid. 7 l. B: + βουβόται D νεοπτόλεμος δέ P ὁ δὲ — 8 νεοπτ. P: ὅ γε μὴν νεοπτ. ὁ ἀχιλ(λ)έως παῖς BD 8 ᾗ P: ᾗ οἱ BD 10 περαιούμενοι BD πρὸς om. D 11 πελάγει P: πόρῳ BD δὲ BD: ἔτι P 13 διηνεκεῖ] + φησιν BD μέρος P 16 l. P: ἄλλως BD βουβόται — 17 τρέφοντες P: βουβόται πρῶνες, οἱ καλλίστους βοῦς τρ·φοντες τόποι BD 17 λέγεται D 18 τοῦ om. D 19 χαρίνου D λάρινοι BD λαρῖνοι P 20 τὸ γένος B: τοῦ γένους P τὸ γένος ἐκεῖ D 21 φυλάττοντες B φυλάσσοντος D

87. *πρὸς Ἰόνιον πόρον*: μέχρι τοῦ Ἀδρίου, ὃς Ἰόνιος P καλεῖται πόρος, καθήκοντες ἐκ Δωδώνης.

88a. *Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκόν*: τὴν BDP δὲ κειμένην Ἰωλκὸν πρὸς τοῖς κάτω μέρεσι τῆς Θεσσαλίας ὁ Πηλεὺς πορθήσας διὰ τὴν Ἀκάστου ἐπιβουλὴν δούλην παρέδωκε τοῖς Θεσσαλοῖς, τουτέστιν ὑπήκοον. ἔστι δὲ ἡ Ἰωλκὸς τῆς Μαγνησίας, ἥτις πρὸς τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κεῖται. b. ὁ δὲ νοῦς· ἀλλὰ μὴν καὶ τὴν πρὸς τοῖς τέρμασι P τοῦ Πηλίου κειμένην Ἰωλκὸν δούλην ἔδωκε Θετταλοῖς, πρότερον οὖσαν Μαγνησίας.

92a. *Ἱππολύτας*: Ἱππολύτης θυγάτηρ γέγονε Κρηθηΐς BDP Ἀκάστου γαμετή, ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα καὶ μὴ πείσασα συνελθεῖν αὐτὸν φθάσασα τῷ Ἀκάστῳ ὡς ἄσεμνον ἢ βίαιον διέβαλεν. ὁ δὲ κατακούσας καὶ προφασισάμενος ἤγαγεν ἐπὶ τὰ ἀπέρημα τοῦ Πηλίου ὄρους, καὶ καταλείψας θηρίοις ὑποπεσεῖν αὐτὸν ὑπαναχωρεῖ. φασὶ δὲ τοὺς θεοὺς τῆς σωφροσύνης οἰκτείραντας τὸν Πηλέα Ἥφαιστον ἐξαποστεῖλαι· τὸν δὲ μάχαιραν ἔχοντα τῷ Πηλεῖ δωρήσασθαι, ᾗ τὰ προσπίπτοντα τῶν θηρίων διαχρώμενος εἰς Θεσσαλίαν κατῆλθε, καὶ κατελθὼν κατεπολέμησεν Ἄκαστον καὶ τὴν Ἰωλκόν.

b. ὁ δὲ νοῦς· ἀλλὰ μὴν καὶ τὴν παρὰ τοῖς τέρμασι τοῦ Πηλίου B ὄρους κειμένην Ἰωλκὸν ὑπήκοον καὶ δούλην ἔδωκε νικήσας ἐν πολέμῳ διὰ τροπαίου ὁ Πηλεύς, πρότερον οὖσαν Μαγνησίας, καὶ αὐτὴν ὑπέταξε Θεσσαλοῖς, | εἰς πρόφασιν τιμωρίας BP ταῖς τοῦ Ἀκάστου γυναικὸς Κρηθηΐδος, ἥτις Ἱππολύτης ἐστίν,

---

11 sch. Ap. Rh. 1, 224 **16** sch. Ar. nub. 1063. Zenob. V 20

---

2 *καθήκοντες ἐκ δωδώνης* **a**: *καθήκων εἰς δωδώνην* **P** **3** l. **BD**: *πηλίου δὲ πὰρ ποδί* **P** **4** *ἰαωλκὸν* **D** *θετταλίας* **D** *ἰταλίας* **P** **6** *θετταλοῖς* **BD** *ἡ* **B**: *ὁ* **D** om. **P** **7** *ἥτις*] *ἣ οὕτως* **P** *πηλείου* **P** *πηλέως* **D** **8—10** cfr. sch. 92b **8** *τοῖς* om. **P** **9** *ἔθηκε* **P** **11** l. **P**: *ἔστι δὲ ἡ αἰτία τῆς δουλείας* (*-ίας* **D**) *αὕτη* **BD** *ἱππολύτου* **BD** **13** *αὐτῷ* **D** **15** *ὄρους* **P**: om. **BD** **17** *πηλέα*] + *δὲ* **P** **20** *κατελθὼν* om. **P** *τὴν* **B**: *τὸν* **D** om. **P** **21** *ὁ δὲ νοῦς ἄνωθεν* **D**, om. cett. **21—24** cfr. sch. 88b **24** *ὁ δὲ νοῦς* praem. **P** **25** *ἥτις—ἐστὶν* **P**: om. **B**

B ἐπιβουλαῖς ἀποχρησάμενος· | αὕτη γὰρ δολίως ἐπεβούλευσε τῷ P Πηλεῖ. c. χολωθεὶς ταῖς γενηθείσαις ἐξ Ἀκάστου γυναικὸς δολίαις τέχναις καὶ ταύταις εἰς πόρθησιν τῆς Ἰωλκοῦ αἰτίᾳ χρησάμενος, ὅτι ἐπεβουλεύθη. 95b BD

BDP 95a. τᾷ Δαιδάλου δὲ μαχαίρᾳ: ὅστις, φησίν, ὁ Ἄκαστος τὸν τοῦ Δαιδάλου τρόπον ἀναλαβὼν καὶ τὴν ἐκείνου τῶν δόλων μάχαιραν, ἐμηχανᾶτο κατ' αὐτοῦ θάνατον, οὐχ ὅτι Δαιδάλου εἶχε ξίφος, ἀλλ' ὅτι τὸν δόλον ἐῴκει τῷ Δαιδάλῳ ὁ Ἄκαστος. 100 BD b. ἢ οὕτως· Δαιδάλου μάχαιραν τὸν δόλον εἶπε τμητικὸν γεγονότα εἰς ἀπώλειαν, παρόσον δολίᾳ τέχνῃ χρησάμενος ἐπεβούλευσεν. ὁ γὰρ Δαίδαλος ἐκ Κρήτης εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον βασιλεύοντα τῆς Καμίκου, πείθει τὰς θυγατέρας Κωκάλου διὰ τῆς ὀροφῆς ποιῆσαι κατάρρουν, δι' οὗ ἐπεκχυθὲν θερμὸν ὕδωρ ἐπενεχθήσεται τῷ Μίνῳ λουομένῳ, καὶ τοῦτον τὸν τρόπον ἀπόλωλεν ὁ Μίνως. τούτῳ οὖν φησι τῷ τρόπῳ κεχρῆσθαι καὶ κατὰ τοῦ Πηλέως τὸν Ἄκαστον· ἀφῆκε γὰρ αὐτὸν ἐπὶ τῆς ἐρημίας ὡς ἀπολούμενον ὑπὸ τῶν Κενταύρων· διὸ μετῆλθεν αὐτόν. καὶ πιθανώτερόν ἐστι τὸν δέ σύνδεσμον ἀντὶ τοῦ γάρ παρειλῆφθαι· τῇ γὰρ Δαιδάλου μαχαίρᾳ ὁ Ἄκαστος αὐτῷ δόλον ἐφύτευσε. Δίδυμος δέ φησι δεῖν γράφειν διὰ τοῦ ῳ· δαιδάλῳ δὲ μαχαίρᾳ δόλον ἤρτυσε τῷ Πηλεῖ, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἁλοὺς ὑπὸ τῶν Κενταύρων φθαρῇ. ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως (fr. 79)·

---

11 sch. *B* 145

---

2 γενηθείσαις a: γεννηθείσαις P 4 ὅτι a: ὅτε P 5 l. P: ὁ δὲ νοῦς BD ὁ om. B 7. 8 δαίδαλον D 9 ἢ οὕτως P: τᾷ δαιδάλου δὲ μαχαίρᾳ BD 12 βασιλ(έα) P 14 ἐκχυθὲν BD 16 τῷ τρόπῳ φησὶ B καὶ — 17 πηλέως om. B τοῦ om. D 17 ἐρημ(ίας?) P ὡς om. P 18 αὐτῷ D 19 ἐστι] + καὶ P (ft. recte) 21 δεῖν γράφειν P: γράφειν δεῖν B γράφειν δεῖ D τοῦ ω̄ B: τοῦ ἰῶτα D τῶ P δὲ om. P 23 ἀμυντηρίων P κεντείων P 24 οὕτως λέγων P

ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
αὐτὸν μὲν εὔχεσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

c. δαίδαλον δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου κατεσκευάσθαι. ἐπιεικῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλά φησι·

ποίει δαίδαλα πόλλ' εἰδυίῃσι πραπίδεσσιν

(Σ 482). 95a BD

98. ἄλαλκε δὲ Χείρων: ἀλλὰ βοηθὸν ἔχων τὸν Χεί- BDP ρωνα. τὸν ἐχθρὸν ἐτιμωρήσατο καὶ οὕτως ὑπὸ τῆς πεπρωμένης διεσώθη τοὺς κινδύνους διελθὼν ὁ Πηλεύς. 101b BD

100a. πεπρωμένον ἔκφερεν: ἀμφίβολον πότερον τὸ BDP μόρσιμον ἔκφερε καὶ ἔξω ἔφερε τὸν κίνδυνον καὶ τὸν θάνατον αὐτοῦ τὸν πεπρωμένον, ἢ οἷον ἐξέφερε καὶ ὑπεδείκνυε τὸ πεπρωμένον. b. τουτέστιν ἐξέφερε τῶν κινδύνων καὶ ἔσῳ- BD ζεν. 98 BD

101a. πῦρ δὲ παγκρατές: ὁ νοῦς· τὸ δὲ πάντων κρα- BD P τοῦν πῦρ, ᾧ ἀπείκαζεν ἑαυτὴν ἡ Θέτις, καὶ τὴν θρασεῖαν τῶν θηρίων φύσιν καὶ τὴν ἀκμὴν ἐπισχὼν καὶ παύσας τῶν ὀδόντων, οὕτω λοιπὸν ἔγημεν αὐτὴν τὴν ἐνδοξοτάτην τῶν Νηρεΐδων, καὶ γέγονε τῶν οὐρανίων θεατὴς ἀκριβῶς· ἐπειδὴ λέγεται ἀπειλῆφθαι ἐν οὐρανῷ ἀθανασίᾳ τιμηθείς. 107b BD

b. ἄλλως. πῦρ παγκρατές: τὸ πάντων κρατοῦν καὶ δεσπό-

---

2 εὔχεσθαι BP αἴχεσθαι D σχέσθαι Beck? ἀδόκητ(α) B 3 ἀμφιγελήεις D 4 οἷος D 6 δαίδαλον P^cp? b: δαιδάλου BD τὸ om. D 7 φησι om. P 8 πολλὰ P εἰδυίοισι D πραπίδεσιν D 10 l. P: ὁ δὲ νοῦς BD τὸν om. BD 11 ὑπὲρ D 12 τοὺς κινδύνους P: τῶν κινδύνων et τὸν κίνδυνον B τῶν κινδύνων D ὁ πηλεύς om. BD 13 l. P: ἄλαλκε δὲ χείρων καὶ τὸ μόρσιμον B ἄλαλκε δέ D πεπρωμένην? P ἀμφίβολον BP: ἀμφίβολον δὲ χείρων καὶ τὸ μόρσιμον· ἀμφίβολον D 14 καὶ ἔξω B: ἢ ἔξωθεν D ἢ πότερον ἔξω P 15 αὐτῷ BD ἐπεδείκνυε BD 16 ἐξέφερε καὶ ἔσωζε τῶν κινδύνων B 18 l. P: om. BD ὁ δὲ νοῦς BD [πάν]των B, unde λεόντων r 19 καὶ— 21 ὀδόντων om. P 21 τὴν om. P 22 νηρηίδων P 23 τι μαθείς D 24 ἄλλως om. BD πῦρ δὲ παγκρ. BD

ζον διὰ τὸ φθαρτικὸν τῆς δυνάμεως. οἱ δὲ φυσικώτερον ἀκούουσι τὸν λόγον, τὴν τῶν θεῶν φύσιν εἰς πῦρ ἀνάγοντες. ὅτι δὲ καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἴς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ, καὶ Ὅμηρος μαρτυρεῖ (Σ 432)·

ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ' οὐκ ἐθέλουσα.

φαίνεται δὲ ἐκ τούτων ἡ Θέτις μὴ βουλομένη γαμηθῆναι θνητῷ· μετεβάλλετο οὖν ὥσπερ ὁ Ὁμηρικὸς Πρωτεύς. οὔτε οὖν τὸ πῦρ, εἰς ὃ μετέβαλλεν, οὔτε οἱ τῶν λεόντων ὄνυχες καὶ ὀδόντες ἤνυόν τι. σχάσας οὖν καὶ ἐπισχὼν τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας ἔγημε τὴν Θέτιν [ὁ Πηλεύς]. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, οἳ ὅταν λήγωσι τῆς εἰρεσίας, σχά- P ζουσι τὰς κώπας. | Εὐριπίδης (Phoen. 454)· σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς. 101a BD

BDP 107a. εἶδε δ' εὔκυκλον: ἐθεάσατο δὲ τὴν ἕδραν καὶ τὴν ἀσφάλειαν τοῦ οὐρανοῦ, καὶ τοὺς θεοὺς τοὺς θαλαττίους καὶ τοὺς οὐρανίους, οἵτινες αὐτῷ καὶ τοῦτο ἐδωρήσαντο, φανερώσαντες τὸ ἑαυτῶν κράτος καὶ τὸ γένος ἐν ὀφθαλμοῖς· ἢ ὅτι ὁ Ποσειδῶν μὲν ἵππους, Ἥφαιστος δὲ μάχαιραν ἔδωκε, καὶ οὕτω μέχρις ἐκγόνων αὐτοῦ παρέπεμψε τὴν εὔκλειαν. 110 BD

---

4 et 11 Tzetzes ad Lyc. 175 (p. 85 S.) 13 Sch. Eur. Phoen. 454. sch. Ar. nub. 107. 740 (Suid. s. v. σχάσον) 22 cfr. ad sch. P III 167

---

1 φθαρτὸν P δυνάμεως] δύσεως P 4 καὶ εἰς λέοντα om. P μετέβαλεν D 7 μ' ἀλάων D δάμασεν P 8 πελλῆι D 9 πολλῷ μᾶλλ' D 10 φαίνεται δὲ P: ἄλλως· φαίνεται BD 11 θνητῷ P: πηλεῖ BD μετέβαλεν D 13 ante σχάσας ft. distinguend. σχήσας D 14 ὁ πηλεύς om. P; seclusi 15 τῆς] τὰς D ἐργασίας BD σχάζωσι D 18 l. P: ὁ δὲ νοῦς BD δὲ τὴν ἕδραν om. P 19 θαλαττίους BD: θετταλίους P 20 τοῦτο] τούτων D δῶρα s. ἕδνα Hartung 21 ἑαυτοῦ P τὸ γένος] τὸ ἐγγενὲς αὐτοῖς Hartung 22 μὲν om. B δέδωκε P 23 παρέπεμψαν scribend. vid.

b. *ἄλλως. εὔκυκλον ἕδραν: οἱ μὲν φυσικώτερον τὸν οὐρανὸν ἀπέδοσαν διὰ τὸ σφαιροειδές, ἀλλ' ἐναντιοῦται αὐτοῖς | τὰ* BD *τῆς ἱστορίας· οὐ γὰρ τὸν οὐρανὸν ὁ Πηλεὺς ἐθεάσατο. ἀκουστέον οὖν τὸ παρὰ τὸ Πήλιον τῶν θεῶν κυκλοτερὲς συμπόσιον, ὅπερ συνετελέσθη τοῖς τοῦ Πηλέως γάμοις.* c. *λείπει οὖν ἡ ἐπί, ἵν' ᾖ· ἐφ' ἧς ἕδρας καθίσαντες οἵ τε Ὀλύμπιοι καὶ οὐράνιοι⟨καὶ οἱ θαλάττιοι⟩δῶρα ἔδωκαν αὐτῷ.* d. *ἕδρας δέ, ἢ τοῦ οὐρανοῦ ἢ τοῦ Ὀλύμπου.* 107a BD

110a. *δῶρα καὶ κράτος ἐξέφαναν: ἀμφίβολον πότερον* BD *διεσήμηναν τὸ κράτος τοῦ Πηλέως αὐτῷ, ὧν κρατήσει τόπων, ἢ διεσήμηναν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσται οὕτως ἐγγενές, ὥστε καὶ ἐκγόνοις καταλιπεῖν, ἢ τὸ ἑαυτῶν κράτος οἱ θεοὶ ἐξέφηναν αὐτῷ, τουτέστι τὴν ἑαυτῶν φύσιν καὶ δύναμιν καὶ τὸ ἐγγενὲς αὐτοῖς, οὐ μεταβαλόντες τὴν μορφὴν ὡς ἔθος θνητοῖς φαντάζεσθαι θεούς, ἀλλ' ἐν ταῖς ἰδίαις μορφαῖς ὤφθησαν αὐτῷ.* b. *ἢ τὸ κράτος τὸ πεπρωμένον αὐτῷ.*

112a. *Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν: οὐκ* BD *ἔστι, φησί, Γαδείρων περᾶσαι τὰ ἐπέκεινα· ζόφος γὰρ καὶ ἀφάνεια· ὑποστρέφων μὲν οὖν εἰς τοὐπίσω ἄγε τὴν ναῦν. ἀλληγορεῖ δὲ λέγειν βουλόμενος, ὅτι οὐκ ἔστι δυνατὸν εἰς πάντας τοὺς ἐπαίνους χωρεῖν τοῦ Τιμασάρχου. ἐπάγει γοῦν, ὅτι οὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον καὶ ἔπαινον τῶν ἐκγόνων τοῦ Αἰακοῦ διελθεῖν, ὥσπερ οὐδὲ Γαδείρων ἐπέκεινα. Γάδειρα γὰρ πόλις μέχρι τῶν στηλῶν Ἡρακλέους, ἔνθα τὸ τέλος ἐστὶ τοῦ πλεῖν καὶ τοῦ ὁδεύειν· περαιτέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς καὶ πάντα ἀφανῆ, ζόφου ὄντος. τὰ ἐντεῦθεν οὖν*

---

1 *ἄλλως* P: om. BD 1. P: *εἶδε δ' εὔκυκλον ἕδραν* B *εἶδ' εὔκ. ἕδραν* D 2 *in αὐτοῖς def. f.* 171[v] P; cfr. ad N. VI 64 4 *περὶ* D *θεαιῶν* D 5. 6 *λείπει οὖν* B: *λαμβάνεται γοῦν* D 7 suppl. b 8 *ἕδραν* cj. Abel 9 *ἐξέφανεν* D 10 *διεσήμαναν* B 12 *ἐκγόνας* D *ἐ[κ]γόνοις* B, unde *ἐγγόνοις* r 15 *θεοὺς φαντ. θνητοῖς* D *τοῖς ἰδίοις* D[1] 18 *φασὶ* D 19 *ὑποστρέφων* Beck: *ὑποστρέφειν* D *ὑποστρέ[φειν?]* B *τὰ ὀπί[σω]* B *ἄγε* b: *ἄγειν* BD *ἄγει* r 20 *ἀλ[ληγορεῖ δὲ]* B *ἀλληγορικώτερον* r 21 *τοῦ τιμασάρχου* secl. h 24 *στελλῶν* D 25 *ἐστὶ*] + *καὶ* D

τῶν Γαδείρων τῆς Εὐρώπης ἐστίν. εἰς δύο γὰρ διῄρητο τὸ παλαιὸν μέρη ἡ οἰκουμένη, Εὐρώπην καὶ Ἀσίαν. b. ὁ δὲ νοῦς· ὥσπερ οὐκ ἔστιν ἐσωτέρω πλεῖν ἐπὶ τὴν δύσιν, ἐπειδὰν ἅπαξ τις ἐπὶ τὰ Γάδειρα ἀφίκηται, ἀλλ' ἐπιστρεπτέον ἐστὶν ἐπὶ τὴν Εὐρώπην διὰ τὸ μὴ εἶναι ἔτι πλεῖν, οὕτω καὶ ἐπὶ πάντα τῶν Αἰακιδῶν τὸν ὕμνον ἀφικέσθαι οὐ δυνατόν. μὴ πλέε γοῦν, φησί, πρὸς ζόφον ἔξω τῶν Γαδείρων, ἀλλὰ στρέφε τὴν ναῦν ἐπὶ τὴν Εὐρώπην. ἔντεα γὰρ ναὸς περιφραστικῶς ἀντὶ τοῦ ναῦν εἶπε. διατί δὲ τοῦτό φησι, διασαφήσει· ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων· διὸ μετάστρεφε τὴν ᾠδὴν ἐπὶ τὰ δυνατὰ ὥσπερ τινὰ ναῦν, ἐπὶ τοὺς ἱερονίκας.

BD 118. *Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων*: φατρία τις ἀπό τινος Θεάνδρου προγόνου ἐνδόξου τῶν περὶ Τιμάσαρχον, ᾧ γέγραπται ἡ ᾠδή. ἦλθον οὖν κῆρυξ, φησίν, ἕτοιμος τοῖς Θεανδρίδαις τῶν αὐξόντων τὰ σώματα ἄθλων, τούς τε ἐν Ὀλυμπίᾳ συνθεὶς ἄθλους καὶ τοὺς ἐν Ἰσθμοῖ καὶ Νεμέᾳ.

BD 123. *ἔνθα πεῖραν ἔχοντες*: ἔνθα τοῖς ἀγῶσιν ἀπόπειραν λαβόντες, καὶ γνῶσιν τῆς ἀγωνίας σχόντες οὐδέποτε ἄνευ στεφάνων εἰς τὴν οἰκείαν ἐληλύθασι, τῶν ἔνδοξον καρπὸν φερόντων στεφάνων.

BD 126a. *πάτραν νιν ἀκούομεν*: τὴν πατρίδα σου ταύτην ἀκούομεν, φησί, τὴν τῶν Θεανδριδῶν, ὦ Τιμάσαρχε, προέχουσαν τοῖς τῶν ᾠδῶν ἐπινίκοις. τὸ γὰρ πρόπολον ἔμμεναι, τουτ-

---

23 sch. Ar. nub. 436 (Suid. πρόπολος) (?)

---

1 γὰρ] + μέρη D in mg. inf. regionem columnarum Herculis depinxit B (m. 1), additis nominibus ἰβηρία, ὠκεανός, λιβύη, στῆλαι, εὐρώπη 3 ἐσωτ(έρω?) B[cp] r: ἐσώτερον D ἐξωτέρω s. προσωτέρω h 4 ἀποστρεπτέον cj. Abel 5. 6 ἐπιπάντη D 6 τὸν om. D 7 οὖν D πρὸς B: ἐπὶ τὸν D 9 ἀντὶ τοῦ B: τὴν D 10 τὴν ᾠδὴν D: τὴν ναῦν B 11 ναῦν τινα D 12 θεανδρίδοισι D[s] ἀεξιγύων B ἀεξιγαίων D ἀέθλων om. D 14 κᾶρυξ B? (l. n.) r 16 ὀλύμπα D 17 ⟨ἐν⟩ τοῖς cj. Abel 18 τὴν ἀγων αν D οὐδὲ πώποτε D 19 στεμμάτων D οἰκείαν r: οἰκίαν BD 21 πα[τρίδα] B? r: πατρίαν D. Exspectes φατρίαν; cfr. p. 108, 24 22 θεανδρικῶν D προσέχουσαν cj. b 23 τῶν ᾠδῶν del. h ἐπινικίοις B

ἐστι προυπάρχουσαν εἶναι. b. ὁ δὲ νοῦς· τοιγαροῦν ἀκούομεν, ὦ Τιμάσαρχε, τὴν πατρίδα τὴν σὴν τοῖς ὕμνοις τοῖς ἀπὸ τῆς ὑμετέρας νίκης θεραπεύεσθαι καὶ εἶναι ὑπηρέτιν τῶν ὑμετέρων νικῶν.

129a. εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ: μήτρως ὁ τῆς μητρὸς ἀδελφός. BD b. ὁ δὲ λόγος· εἰ δὲ τῷ σῷ ὕμνῳ κελεύεις ἔτι με θεῖναι στήλην πρὸς πάροδον καὶ μνησθῆναι τοῦ πρὸς μητρός σου θείου Καλλικλέους, μνησθήσομαι. c. ἢ οὕτως· εἰ δὲ δὴ καὶ τῷ Καλλικλεῖ τῷ πρὸς μητρός σου θείῳ κελεύεις ἔτι στήλην τινὰ ἀναστῆσαι τῆς Παρίου λίθου λευκοτέραν, προσληπτέον ἔξωθεν τὸ ποιήσω, τουτέστι λαμπρῶς ὑμνήσω κἀκεῖνον. τοῦτο δὲ εἴρηκεν ὡς διστάσεως γεγονυίας ἐν ἀρχῇ, ὅτι μνησθήσεται διὰ τῆς ᾠδῆς τοῦ Καλλικλέους. φησίν. ἀλληγορικῶς δὲ τὸ ποίημα στήλην λέγει. Πάριος δὲ λίθος ἐστὶν ὁ καλούμενος λύγδινος.

133a. ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας: BD τουτέστιν ὡς τὸν χρυσὸν ποιεῖ τὸ πῦρ διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους ποιεῖ. b. τουτέστιν οὕτω λάμπει, ὥσπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν.

138. κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων: ἐκεῖνος ὁ BD Καλλικλῆς, φησίν, εἰ καὶ τέθνηκεν ἤδη, τῆς ἐμῆς εὐφημίας τυγχανέτω· ὡς τετελευτηκότος δὲ αὐτοῦ, εὕρημα ἐχέτω, φησί,

---

15 Hes. λύγδος

---

1 προυπάρχουσαν B: προέχουσων D προσέχουσαν cj. b τοιγαροῦν om. D Tricl. 2 τὴν σὴν B: σὴν D τοῖς ἀπὸ om. D 3 ἡμετέρας D ἡμετέρων D 5 εἶ D μάτρω D μάτρωϊ B καλλικλεῖ om. D 6 εἶ D 8 πρὸς Boeckh III p. 389: τῆς BD 9 δὴ καὶ B: καὶ δὴ D πρὸς Boeckh ibid.: τῆς BD 10 ἀναστῆσαι B: στῆσαι D παρίας D 11 τουτέστι λαμπρῶς B: λαμπρῶς, τουτέστιν D 12 κἀκεῖνον h: κἀκείνους BD διστάσεως h: διαστάσεως BD 13 ὅτι] εἰ b 14 φησίν del. b. Locus corruptus στήλην om. D, ft. recte 16 l. D: ὁ χρ. ἑψ. B 17 διαργέστερον D 19 ποιεῖ D: om. B 20 λάμπουσιν B: om. D 23—p. 86, 2 vix sana; εἰς del. Schr.

τὴν ἐμὴν γλῶσσαν εἰς τὸν ὕμνον αὐτοῦ τὴν ὑμνοῦσαν, τοῦτο γάρ ἐστι κελαδῆτιν.

B 142a. ἴν' ἐν ἀγῶνι: ὡς νενικηκότος αὐτοῦ τοῦ Καλλικλέους Ἴσθμια τοῦτό φησιν· ξηροῖς γὰρ σελίνοις ἐστέφοντο κἀκεῖ. b. ὁ δὲ νοῦς· ὅτι ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι τῷ Ἰσθμικῷ ἐστέφθη παρὰ τῶν Κορινθίων Καλλικλῆς.

B 144a. τὸν Εὐφάνης ἐθέλων: ὅντινα Καλλικλέα καὶ BD ὁ Εὐφάνης | ὁ πρεσβύτερος τῶν σῶν προγόνων, ὦ Τιμάσαρχε, ᾄσει καὶ ὑμνήσει, δηλαδὴ ὡς ἀποθανόντα ἀποθανών· ὡς ὅτι καὶ ἐν ᾅδου εἰσὶν οἱ θαυμάζοντες τοὺς ἀρίστους, καὶ ὅτι αἴσθησίς ἐστιν ἐν αὐτοῖς. b. ἢ οὕτως· ὁ Εὐφάνης οὗτος ἐκ τοῦ αὐτοῦ γένους Τιμασάρχῳ παλαίτερός τις καὶ τῶν σοφῶν καὶ τῶν συγγραψάντων ἐπαίνους. λέγεται δὲ πάππος εἶναι τοῦ νικηφόρου πρὸς μητρός. c. ἢ οὕτω· τοῦτο ἐπιπεφώνηκεν ὡς τοῦ Εὐφάνους καὶ Καλλικλέους ἡλικιωτῶν ὄντων. διό φησιν· ἐκεῖνος ὁ ἡλικιώτης ᾄσεται καὶ ὑμνήσει τὸν Καλλικλέα, τοὺς B δὲ ἄλλους ὑμνήσουσιν οἱ ἡλικιῶται· | τουτέστι σὲ οἱ ἡλικιῶται ὑμνήσουσι, τὸν δὲ Καλλικλέα ὁ Εὐφάνης.

BD 148a. τὰ δ' αὐτὸς ἄν τις τύχῃ, ἔλπεταί τις ἕκαστος: ἕκαστος γάρ, φησίν, οἴεται ταῦτα ὑπάρχειν ἐξοχώτατα, ἅπερ αὐτὸς εἶδε. τοῦτο δὲ λέγει ὡς τοῦ Εὐφάνους παρατετυχηκότος, ὅτε ὁ Καλλικλῆς ἐνίκα τὰ Ἴσθμια· διὸ ὑμνήσει αὐτὸν ἅτε παρατετυχηκὼς καὶ ἑωρακὼς ἐν τῷ ἀγῶνι τοῦ Ὀρσοτριαίνα αὐτὸν νικήσαντα. b. ἢ οὕτω· ταῦτά γε μὴν ὅπως ἂν τύχῃ λέγων, ἐλπίζει καὶ πείθεται αὐτὸς ἐξαιρέτως καὶ ὑπὲρ τοὺς λογίους εἰρηκέναι. c. ἔνιοι δὲ οὕτως· ἅπερ δὴ ἄν τις τύχῃ θεασάμενος, ταῦτα δοκεῖ καὶ ἀκριβέστερον διατίθεσθαι καὶ κάλλιον οὕτω νοεῖν τῶν ἄλλων.

BD 151a. οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι:

---

2 ἐστι] + τὸ r κελαδῆτιν B: κελαδῇ τινί D 5 ὅθι? 9 ᾄσει B: ἄγει D ἀποθανόντος D 14 τοῦτον D 19 l. B: τὰ δ' αὐτὸς ἄν τις D 25 ὅπως BD: ἅπερ a (perperam) 26 λογίους B: λόγους D ἔνιοι δὲ οὕτως B: om. D 28 διαθεῖναι Tricl. 29 l.]οἷον (et οἷον) — μελησίαν B αἰνέων — στρέφοι D

ὁ Ἀρίσταρχος ψιλοῖ τὸ οιον. ὁ δὲ λόγος· μόνον ἄν τις ἐπαινῶν τὸν Μελησίαν τὰς ἀπαντωμένας ἔριδας παρὰ τῶν ἄλλων στρέφοι καὶ καταπαλαίοι καὶ καταγωνίζοιτο. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. δύναται δὲ καὶ δασέως ἀναγινώσκεσθαι τὸ οιον, θαυμαστικῶς, ὥς φησι Δίδυμος. ἐλλείπει δὲ τὸ τίς· οἷόν τις τοῦτον τὸν Μελησίαν ἐπαινῶν τὰς τῶν ἄλλων ἔριδας καταπαλαίοι· οἷον, καὶ περιγίνοιτο. διαπρέπει γάρ, ὥστε τοὺς φθονοῦντας μηδὲν ἀνύειν. b. παρεῖται δὲ τὸ τίς. ἔστι γάρ· ἔριδα στρέφοι τις ῥήματα πλέκων, οἷον ἄν τις αἰνέων τὸν Μελησίαν. c. ὁ δὲ νοῦς· μόνον δὲ ἄν τις αἰνέων καὶ ὑμνῶν τὸν Μελησίαν, τὸν ἀλείπτην τοῦ Τιμασάρχου, τὴν ἔριδα καὶ τὴν φιλονεικίαν ἀποστρέψαι, τὴν παρὰ τῶν ἄλλων δηλαδή.

153. *ἀπάλαιστος ἐν λόγῳ ἕλκειν*: τοῦτο ἔστι καὶ ἐπὶ BD τοῦ Μελησίου ἀκούειν, ὥς φησι Δίδυμος, οἷον· ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις, | ὡς καὶ λογίου B ὄντος τοῦ Μελησίου· οἱ δὲ ὅτι ὁ νικῶν. τάχα δὲ ὁ νικηφόρος κάλλιον ὑμνεῖται. ἀπάλαιστος οὖν, φησί, καὶ ἀνίκητος καὶ ἐν τοῖς λόγοις | καὶ οὐ δυνάμενος παραλογισθῆναι. ἀπὸ τῶν BD παλαιόντων δὲ πάλιν ἡ μεταφορά, καὶ τροπικαὶ αἱ λέξεις ἀπὸ τῆς ἀθλήσεως. ἐάν τις, φησίν, αὐτὸν εἰς λόγους ἕλκῃ, οὐ πίπτει ἀλλ' ἔστιν ἀκαταπάλαιστος. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἐπαινοῦντος αὐτὸν ἀκοῦσαι, ἐφ' οὗ προεῖπε τὸ οἷον αἰνέων κε Μελησίαν. τὰ δὲ ἑξῆς ἐπὶ τοῦ Μελησίου λέγει.

155a. *μαλθακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ* BD *παλιγκότοις ἔφεδρος*: καὶ ταῦτα ἐπὶ τοῦ Μελησίου. οὗτος δὲ ἀλείπτης ἐστὶ τὸ γένος Ἀθηναῖος. ταῦτα δέ φησιν ὡς τοῦ Τιμασάρχου ὑπὸ τοῦ Μελησίου ἀληλιμμένου.

---

1 ψιλοῖ τὸ οἷον B: φησὶν τὸ οἷον ψιλοῖ D 2 ἀπαντωμίας D ἀντιωμένας Horn p. 61 5 φησιν ὁ δίδ. D 9 ἔριδα στρέφοι h: ἔριδα τρέφοι B ἔριδας τρέφει D 10 αἰνέων καὶ ὑμνῶν B: αἰνῶν D 12 περὶ D 17 ὑμνεῖται b: ὑμνεῖ B ἀνίκητος] + τοῖς r; unde τοῖς ἕλκουσι b 20 αὐτὸν ἕλκῃ φησὶν εἰς λόγους D ἐν λόγοις cj. Abel 22 προεῖπε h: προεῖπον BD 24 ἐσλοῖς B: ἐσχροῖς D 26 ἀλείπτης om. B 27 ὡς r: ὡς οὐ BD

b. ἔφεδρος οὖν τοῖς ἐχθροῖς ὁ ἐπικείμενος τοῖς ἐχθροῖς, ὁ ἐφεδρεύων καὶ ἐπιτηρῶν. ἀλληγορικὸν δὲ τὸ νόημα, οἷον ἀντὶ τοῦ δυσκαταγώνιστος. προκεκληρωμένοις γὰρ καὶ προκεκμηκόσι τοῖς προηγωνισμένοις πρὸς ἄλλους ἀκοπίατος ἐφέστηκε.

c. τὸ δὲ τραχὺς ἀντὶ τοῦ φοβερὸς, ἐπαχθής. d. ὁ δὲ νοῦς ὅλος· πρᾷος μὲν καὶ προσηνὴς τοῖς ἀγαθοῖς καὶ φίλοις, χαλεπὸς δὲ τοῖς ἐναντίοις ἐφεδρευτής.

Scholia in Nemeonicarum carmen V.

Πυθέᾳ υἱῷ Λάμπωνος παγκρατιαστῇ. 1D

BD Τῆς πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἕνδεκα. τὸ α΄ δίμετρον ἰαμβικὸν ἀκατάληκτον. τὸ β΄ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ γ΄ ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ δ΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ ε΄ ἐγκωμιολογικόν. τὸ ϛ΄ ὁμοίως τῷ β΄. τὸ ζ΄ τὸ αὐτό. ἡ δέ τι ἐμηκύνθη ὡς καταλήξασα. τὸ η΄ Εὐριπίδειον. τὸ θ΄ ἰαμβέλεγος. τὸ ι΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ια΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ΄ ἐγκωμιολογικόν. τὸ δ΄ Εὐριπίδειον. τὸ ε΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. τὸ ϛ΄ Εὐριπίδειον. τὸ ζ΄ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. τὸ η΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ θ΄ ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον,

---

1 Hes. Phot. Suid. ἔφεδρος

---

2 ἀληγ(ορ)ικὸν D^cp (corr. a): ἀθλητικὸν Br νόημα] ὄνομα Kayser lect. Pind. 23 (probabiliter) οἷον B: ἢ D 3 προκεκληρωμένας D προκεκληκόσι D 4 προηγωνισμένοις B: προκατηγωνισμένοις D πρὸς iteravit B ἄλλους D: ἀλλήλους B 6 ὅλος πρᾷος μὲν r: ὅλος μὲν πρᾶος BD 10 καὶ om. D 16 ἰαμβέλεχος D 18 ἡ δὲ ἐπῳδὴ κώλων ια΄ καὶ αὐτή D 19 τροχαϊκὸν Beck: τροχαῖον D τροχαῖος B 20 προσοδικὸν B 21 εὐριπίδειον — 22 τὸ η΄ om. D 23 τρίμετρον D: δίμετρον B

διὰ τὴν ἐν ἀρχῇ τοῦ τροχαίου συζυγίαν. καὶ ἔστι Σαπφικὸν πλεονάζον μιᾷ συλλαβῇ, κατὰ τὸν ἴαμβον ἐξηλλαγμένον. τὸ ι' ἰαμβέλεγος λειπούσης τῆς ἀρχῆς. τὸ ια' ἰωνικὸν δίμετρον ἀκατάληκτον· καὶ ἡ τελευταία ἀπόδοσις τὸ Χάρισιν ἐξέτεινεν. 12 D

1a. *Οὐκ ἀνδριαντοποιός εἰμι*: φασὶν ὅτι οἱ τοῦ Πυθέου οἰκεῖοι προσῆλθον τῷ Πινδάρῳ παρακαλοῦντες ὅπως εἰς αὐτὸν γράψῃ ἐπίνικον· Πινδάρου δὲ αἰτήσαντος τρισχιλίας δραχμὰς ἔφασαν ἐκεῖνοι κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς ἢ τὸ ποίημα. χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες ἐπανῆλθον τὸ αὐτὸ διδόντες· ὁ δὲ ἐξονειδίζων αὐτοὺς οὕτως ἤρξατο, καί φησι μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντουργοὶ τοὺς χαλκοῦς ἀνδριάντας, ἀλλὰ τὰ ποιήματα ἅπερ πανταχόσε διϊκνεῖται, ὥστε τὴν ἀρετὴν τῶν ἐπαινεθέντων πολλοῖς εἶναι δήλην. BD

b. ὁ δὲ νοῦς· οὐκ εἰμί, φησίν, ἀνδριαντοποιὸς, ὥστε ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα διηνεκῶς καὶ οὐ δυνάμενα ἀλλαχοῦ τὴν τοῦ νικηφόρου διαβοᾶν εὐδοξίαν. ἐνδείκνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων εἰσὶ βελτίους.

4a. *ἀλλ' ἐπὶ πάσης ὁλκάδος*: ὁλκὰς εἶδος φορτηγοῦ πλοίου, ἄκατος δὲ πλοίου βραχυτάτου. b. ὁ δὲ λόγος· διὰ παντὸς οὖν πλοίου φορτηγοῦ τε καὶ μικροτέρου, ὦ γλυκεῖά μου ᾠδή, πορεύου ἐκβοῶσα πρὸς πάντας τὰς τοῦ Πυθέου νίκας. BD

9. τὸ δὲ νικῇ κατὰ μετάθεσιν τοῦ α εἰς η.

---

21 Hes. ὁλκάς

---

1 διὰ—συζυγίαν vix integra; an τὴν ἐν ἀρχῇ τροχαϊκὴν συζ. (quod et ipsum falsum)? 3 ἰαμβέλεχος D λοιπούσης D 6 οἱ—7 πινδάρῳ D: οἱ οἰκεῖοι τοῦ πυθέου ἦθον πρὸς αὐτὸν B 7. 8. εἰς αὐτὸν om. B 8 τρισχιλίας Er. Schmid: τρεῖς BD 11 ἐπανῆλθον D: ἦλθον B 13 κατέχοντα B: ἔχοντες D 14 πανταχόθεν D 16 ἀνδριαντοπ. φησίν D 22 ἄκατος—23 πλοίου om. D 24 πυθίου D 26 καταμέθεσιν D

BD 10a. οὔπω γέννυσι φαίνων τέρειναν: ἀλληγορεῖ βουλόμενος σημῆναι τὸν ἀγένειον ἀπὸ τῆς κυπριζούσης ἀμπέλου. ἡ δὲ ὀπώρα οὐκ ἔστι τῆς οἰνάνθης μήτηρ, ἀλλὰ τοὐναντίον· προανθεῖ γὰρ πρῶτον, εἶτα ὀπώρα γίνεται. χρῆται δὲ τῇ τοιαύτῃ ἀναστροφῇ συνεχῶς· ἀσυχία φιλεῖ μὲν συμπόσιον (N. IX 48)· οὐ γὰρ ἡ ἡσυχία φιλεῖ τὸ συμπόσιον, ἀλλὰ τὸ συμπόσιον τὴν ἡσυχίαν. Δίδυμος δὲ βέλτιόν φησι μὴ τὸν καρπόν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ὁμώνυμος πεπαίνεται. ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος (ξ 384)·

καὶ φάτ' ἐλεύσεσθαι ἢ ἐν θέρει ἢ ἐν ὀπώρῃ.

θέλει οὖν λέγειν, ὅτι οὔπω τὸν καιρὸν τοῦ γενειάσκειν ἔχων. οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν· μήτηρ δὲ τοῦ γενειάσκειν γίνεται ἡ ὥρα. b. ὁ δὲ νοῦς· οὐδέπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἁπαλὴν ὥραν καὶ ὀπώραν, τουτέστιν οὐδέπω γενειάσκων. c. τὸ δὲ σχῆμα περίφρασις ἐξ ἀλληγορίας· οὔπω τῆς ἁπαλῆς οἰνάνθης τὴν μητέρα ὀπώραν φαίνων, ὅπερ ἐστὶν ὥραν, ὡς Ὅμηρος (μ 76)· οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ, ἀντὶ τοῦ τῷ ὀπωρινῷ καιρῷ. metr. D

BD 12a. ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας: συλλήψει κέχρηται ἀπὸ Κρόνου καὶ Διὸς καὶ Νηρεΐδων λέγων εἶναι τοὺς Αἰακίδας. Αἰακὸς γὰρ Διός, Αἰακοῦ δὲ καὶ Ἐνδηΐδος

5 sch. N. IX 114 9 sch. ξ 384. Eust. ibid. (1764, 62), al. sch. *E* 5. Hes. ὀπώρα 19 Eust. ad μ 76 (1714, 6)

1 τέρειναν om. D ἀλληγορικῶς D 3 ἡ δὲ — οἰνάνθης B (ἡ δὲ hodie l. n.): οὐκ ἔστιν ἡ ὀπ. τῆς οἰν. D 5 συνεχῶς D: συνετῶς B συνήθως Fähse Syllog. p. 406 6 ἡ om. D 7 βέλτιον om. D 8 ὁμώνυμος b: ὁμωνύμως BD 9 ὅμηρος ⟨δηλοῖ⟩ Leutsch progr. Gott. 1868 p. 5 11 ἐς θέρος ἢ ἐς ὀπώρην codd. Hom. 12 τὸν om. B 13 κατὰ μεταφορὰν B: μεταφορικῶς D 14. 15 γενειάσκειν b: γενειάσκοντος BD 16 ὥραν καὶ om. D 17 ἐξ ἀλληγορίας B: ἡ ἀλληγορία D 18 οὔπω B: οὕτω D 19 ἐν ἐπώρῃ D 20 τῷ B: ἐν D 22 διὸς D Tricl.: ζηνὸς B 23 ἐνδηίδος r: δηίδος BD Tricl.

τῆς Χείρωνος Τελαμὼν καὶ Πηλεύς, ὁ δὲ Χείρων Κρόνου. πάλιν ἀπὸ τῶν Νηρεΐδων Φῶκος καὶ Ἀχιλλεύς· Ἀχιλλεὺς μὲν γὰρ παῖς Θέτιδος ἔκγονος ὢν Αἰακοῦ, Φῶκος δὲ Ψαμάθης Νηρεΐδος καὶ αὐτοῦ Αἰακοῦ. b. ἐκ δὲ Κρόνου καὶ B Ζηνός: Τελαμὼν καὶ Πηλεύς· Κρόνου μὲν γὰρ Χείρων καὶ Φιλύρας, Χείρωνος δὲ Ἐνδηΐς, Ἐνδηΐδος δὲ Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ. | τούτους οὖν Κρόνου καὶ Ζηνὸς καὶ ἀπὸ BD χρυσῶν Νηρεΐδων φυτευθέντας ἐγέραιρε· τίς; ὁ Πυθέας νικήσας, ὡς ἂν προγόνους αὐτοῦ καὶ κτίστορας. c. ὁ δὲ νοῦς· τοὺς δὲ ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρεΐδων, τουτέστι τοὺς Αἰακίδας ἐκόσμησε, καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ ἐγέραιρε.

16. ξείνων ἄρουραν δὲ τὴν Αἴγινάν φησιν, ἢ ὅτι BD φιλόξενοι οἱ Αἰγινῆται, ἢ καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα. γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ ἀπῳκίσθησαν διὰ τὸν Φώκου θάνατον.

17a. τάν ποτ' εὔανδρόν τε: τουτέστιν ἀγαθοὺς ἄνδρας BD ἔχουσαν καὶ ἐν τῷ ναυτίλλεσθαι. b. ὁ δὲ νοῦς· ἥντινα Αἴγιναν ηὔξαντο ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικά· ηὔξαντο δὲ στάντες παρὰ τὸν Ἑλλανίου Διὸς βωμόν. Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ οὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλουμένῳ. φασὶ γὰρ αὐχμοῦ ποτε πιέζοντος τὴν Ἑλλάδα, ἔνιοι δὲ κατακλυσμοῦ, συνελθόντας τοὺς Ἕλληνας καθικετεῦσαι τὸν Αἰακὸν ὡς ὄντα παῖδα Διὸς ἐξαιτήσασθαι τῶν τότε συστάντων κακῶν τὴν ἴασιν·

22 sch. Ar. eq. 1253. Apollod. 3, 12, 6, 9 sch. N. VIII 19a

1 χείρονος D 2 ἀχιλεύς B utrob. 4 νηρηίδος B αὐτοῦ scripsi: αὐτῆς BD αὐτῆς ⟨ἐξ⟩ h 7 τούτους οὖν B: ἐκ δὲ D καὶ ἀπὸ D: [ἀπὸ] B? r. Ft. καὶ scribend. 8 χρυσῶν B: χρυσεᾶν D νηρηίδων B φυτευθέντα D πυθίας D 10 τῶν — 11 νηρείδων B: χρυσεᾶν νηρείδων φυτευθέντ(ας) ἐγέραιρε D 14 καθὸ D 18 ἐν] ἔνδοξον b; potius post ναυτίλλεσθαι lac. statuenda 19 ηὔξατο D ἔνδοξον r: εὔδοξον B (aegre legitur) D 20 εὔξαντο B πάντες r περὶ D 21 περὶ D

τοῦτον δὲ εὐξάμενον ἀποθεραπεῦσαι τὰ δεινά, καὶ οὕτω διὰ τὴν τῆς Ἑλλάδος σωτηρίαν Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τιμῆσαι Δία.

BD 21a. *Ἐνδαΐδος ἀρίγνωτες υἱοί: τίνες δὲ πάντες ὁμοῦ ἐλιτάνευσαν περὶ τῶν προειρημένων; οἱ ἔνδοξοι παῖδες τῆς Ἐνδηΐδος, φησί, Τελαμὼν καὶ Πηλεύς, καὶ ὁ Φῶκος ὁ τῆς θεοῦ Ψαμάθης παῖς, ὅντινα ἡ Ψαμάθη ἐγέννησε παρὰ τοῖς αἰγιαλοῖς τῆς θαλάσσης, εἰκότως ὡς Νηρηΐς.* b. *κρέοντος δέ, ἤτοι τοῦ ἐνδόξου ἢ βασιλέως.*

BD 25a. *αἰδέομαι μέγα εἰπεῖν: αἰδοῦμαι καὶ φυλάττομαι, φησί, διηγήσασθαι μέγα τι καὶ οὐ δικαίως τετολμημένον καὶ πεπραγμένον. εἰς γὰρ τὰ πάτρια τῶν Αἰακιδῶν ἐμπεσὼν καὶ μνησθεὶς Φώκου ὑποστέλλεται τὴν κατ' αὐτὸν τύχην λέγειν. ἔστι δὲ αὕτη. φασὶ γὰρ Πηλέα καὶ Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντας Φῶκον, τὸν μὲν δίσκῳ τύψαντα, τὸν Πηλέα, τὸν δὲ Τελαμῶνα σιδήρῳ τὰ μετάφρενα, καὶ οὕτω τὸ μύσος φεύγοντας τῆς Αἰγίνης ἐκπεσεῖν, καὶ τὸν μὲν Τελαμῶνα εἰς Σαλαμῖνα τὴν πρὸς τῇ Ἀττικῇ, τὸν δὲ Πηλέα εἰς Θετταλίαν μετοικῆσαι· ὡς καὶ Ἀπολλώνιος ἐν τῷ καταλόγῳ φησί* (I 93)·

Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ,
Πηλεὺς δ' ἐν Φθίῃ ἐριβώλακι ναῖε λιασθείς.

b. *ἄλλως. τί αἰδεῖται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησι μὴ δικαίως κεκινδυνευμένον εἶναι; τὸ ὅτι ἀνεῖλον τὸν Φῶκον καὶ ἔφυγον· περιεσταλμένως δὲ αὐτὸ εἴρηκε. μέγα δὲ ἔργον φησίν, ὅτι οὐ κατὰ δίκην ὁ κίνδυνος ἐγενήθη τῷ Τελαμῶνι καὶ τῷ Πηλεῖ τὸν ἑαυτῶν ἀδελφὸν ἀποκτεῖναι Φῶκον, ἀλλ'*

---

8 sch. Φ 194. Eust. ibid. (1231, 16). sch. δ 24. Eust. ibid. (1480, 43) 14 sch. Eur. Andr. 687. Apollod. 3, 12, 6, 11. — Tz. ad Lyc. 175 (p. 84 S.)

---

2 *αἰγινήτοις* **D** **3** *τιμῆσαι] τετιμῆσθαι* **h** *τιμᾶσθαι* **a** (probabiliter) **4** *ἐνδαΐδεος* **D** *πάντες* **B**: *πάντ'* **D** **6** *φασὶ* **B** **13** *αὐτὸν* **B**: *αὐτῶν* **D** **14** *ἔστι* **B**: *ὅτι* **D** **15** *ἀνελόντων* **D** **15. 16** *τὸν δὲ* **D**: *καὶ τὸν* **B** **16** *μύσος* **B** *μῖσος* **D** **17** *καὶ* om. **D** **21** *δ' ἐν] δὲ* codd. Apoll. *ἐριβώλακι] ἔνι δώματα* codd. Apoll. **24** *αὐτὸ* **B**: *αὐτὸς* **D** **25** *ἐγεννήθη* **D**

ἄδικος ὁ τοιοῦτος κίνδυνος, ὅν φησιν αἰδεῖσθαι εἰπεῖν. | *δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· τὸ ἀκίνδυνον ἐν δίκῃ, ἀληθές. ὃ γὰρ μὴ ἔχει κίνδυνον κατὰ τὴν δίκην, ἀληθές ἐστιν. οἶδεν οὖν ὁ Πίνδαρος τὸν Φώκου θάνατον, ἀλλ' ἐκτρέπεται εἰπεῖν.* B

| *μήποτε δὲ καὶ τὸ παρὰ Καλλιμάχῳ* (fr. 136)· BD

ἔκλυε, τῶν μηδὲν ἐμοὺς δι' ὀδόντας ὀλίσθοι,
Πηλεύς,

οὕτως ἀποδοτέον, ὅτι αἱ γυναῖκες ὠνείδιζον αὐτῷ τὸν Φώκου θάνατον. c. *ὁ δὲ νοῦς· αἰδοῦμαι οὖν, φησί, τὴν προφανῆ αἰτίαν, δι' ἣν κατέλιπον τὴν ἐνδοξοτάτην νῆσον Αἴγιναν, εἰπεῖν, καὶ τίς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης ἀπήλασε· παύσομαι τῆς τοιαύτης διηγήσεως.*

30a. *οὔ τοι ἅπασα κερδίων: οὐ φέρει κέρδος πᾶσα ἀλήθεια ἀτρεκὴς γινομένη καὶ φαίνουσα τὸ ἴδιον πρόσωπον, ἀλλὰ δεῖ ποτε καὶ ἐπικεκρύφθαι τὸ πρόσωπον τῆς ἀληθείας.* BD
b. *ὁ δὲ νοῦς· οὐ γὰρ πᾶσα ἐπικερδής ἐστιν ἀλήθεια φανερὰ γινομένη καὶ εἰς ὄψιν ἀγομένη ἀτρεκῶς, ἀλλὰ πολλάκις καὶ τὸ νοῆσαι, ὅτι δεῖ κατὰ καιρὸν σιωπῆσαι, σοφώτατόν ἐστι πρᾶγμα.*

34a. *εἰ δ' ὄλβον ἢ χειρῶν βίαν: τὰ μὲν περὶ τὸν φόνον τοῦ Φώκου διασιωπήσομαι· εἰ δέ τοι ἐπαινέσαι δεῖ, φησίν, ἢ εὐδαιμονίαν ἀνθρώπου ἢ σθένος χειρῶν ἢ τὴν κατὰ πόλεμον ἀρετήν, δύναμαι, φησί, πόρρω ἅλλεσθαι τοὺς Αἰακίδας ἐν τούτοις ὑμνῶν.* BD b. *ὁ δὲ νοῦς· εἰ δὲ δεῖ τὴν ἄλλην εὐδαιμονίαν τῶν Αἰακιδῶν, ἢ τὴν ἀνδρείαν ἢ τὰ κατὰ πόλεμον ἔργα ἐπαινέσαι, ἤδη τίς μοι ὑποσκαπτέτω πηδημάτων μεγάλων σημεῖα, ὥστε κούφως διὰ τῶν γονάτων ἐπὶ τὸ ἐξώτερον φέρεσθαι. ἀλληγορεῖ οὖν· δύναμαι πλέον πάντων θαυ-*

---

6 *μηδὲν* **B**: *μὴ δὲ* **D** **8** *οὕτως*] + *δὲ* **D** **9** *οὖν* **D**: *γοῦν* **B** **14** *ἀτρεκὲς* **D** *γινομένη* scripsi: *γὰρ* **BD** **17** *ἀλλὰ*] + *καὶ* **D** **20** *παρὰ* **D** **21** *διασωπήσομαι* **D** *δέ τοι* **B**: *μέντοι* **D** **22** *ἢ* (tert.) **B**: *εἰς* **D** **25** *τῶν* **B** (parum clare) **D**: *τὴν* r **26** *ἐπαινέσαι* om. **D** *πήδημα τῶν* **BD** et edd.; corr. a **27** *σημ(εῖα)* **B**, unde *σημείων* edd. ante a *ἐξότερον* **D** **28** *ἀλληγορεῖς* **D** *δύναμαι* a: *δυνάμενος* **B** *δυνάμεως* **D**

μάσαι αὐτοὺς καὶ ὑπερβαλέσθαι τοὺς ἀγωνίζεσθαι βουλομένους. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεντάθλων, οἷς σκάμματα σκάπτονται, ὅταν ἅλλωνται· ἐκείνων γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, ὑποσκάπτεται βόθρος ἑκάστου τὸ ἅλμα δεικνύς. φησὶν οὖν ὅτι βουλομένῳ μοι τοὺς Αἰακίδας ἐγκωμιάζειν ἤδη τις μακρὰ ὑποσκαπτέτω μοι ἅλματα, νικήσω γὰρ καθάπαξ τοὺς ἐναντιοῦσθαί μοι καὶ ἐγκωμιάζειν βουλομένους.

BD 39. *καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί: οἱ ἀετοί, φησίν, οὐ μόνον τὰ περίγεια πέτονται, ἀλλὰ καὶ πελαγίζουσι· καὶ ἐγὼ οὖν ὡς ἀετὸς πελαγιῶ ἐν τοῖς ποιήμασιν.*

BD 42a. *ἐν δὲ μέσσαις φόρμιγγ' Ἀπόλλων: ἐν αἷς Μούσαις ὁ Ἀπόλλων κιθάραν ἑπτάφωνον τῷ πλήκτρῳ κρούων (διὰ γὰρ τοῦ πλήκτρου ὥσπερ γλώσσης ὁ φθόγγος ἀποδίδοται) ἐξῆρχε πάσης μελῳδίας, τουτέστι νόμων μελῳδικῶν. τοῦτο δέ φησι παρὰ τὸ ὡς νομίῳ θεῷ τῷ Ἀπόλλωνι ἀνακεῖσθαι τὴν μοῦσαν.* b. *τὸ δὲ διώκων ἀντὶ τοῦ συνάπτων, κιθαρίζων τῷ πλήκτρῳ. διώκειν δέ φησιν αὐτὸν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως.*

BD 46a. *αἱ δὲ πρώτιστον μὲν ὕμνησαν: αἱ Μοῦσαι, φησί, πρῶτον μὲν ὕμνησαν τὸν Δία, μετὰ δὲ τὸν Δία ὕμνησαν δευτέραν τὴν Θέτιν, ἔπειτα τρίτον τὸν Πηλέα, καὶ διηγήσαντο ὅπως αὐτὸν ἡ ἁβρὰ Κρηθηῒς ἡ τοῦ Ἱππολύτου θυγάτηρ ἀνελεῖν ἐβουλήθη· ἐκ δὲ τούτου τὸ σεμνὸν αὐτοῦ ἐγκωμιάζουσαι ᾖδον.* b. *ἄλλως. ἀπὸ Διὸς προοιμιαζόμεναι, φησίν, ᾖδον καὶ ὕμνουν τὴν Θέτιν. τὸ προοίμιον οὖν ἀπὸ Διὸς ἐποιήσαντο· καὶ ἀλλαχοῦ* (N. II 1)· *Ὅθεν περ καὶ Ὁμηρίδαι, Διὸς ἐκ προοιμίου. καὶ Ἄρατος* (1)· *Ἐκ Διὸς ἀρχώμεσθα.*

---

1 *ὑπερβάλλεσθαι* D *βουλομένους* b: *δυναμένους* BD 2 *σκώματα* corr. in *σκώμματα* D 6 *νικήσω* B Tricl. *νικήσ(ω)* D: *νικῆσαι* (om. *γὰρ*) r 11 *μέσσαις* r: *μοίσσαις* D (B l. n.) 12 *τῷ* ⟨*χρυσῷ*⟩ *πλ.* cj. Abel 15 *τὸ* B: *τῷ* D 16 *μοῦσαν* vix verum; *μουσικήν* cj. Abel ft. recte; sed mallem *λύραν* 19 l. B: + *διός* D 20 *ὕμνησαν* (pr.) — *δὲ* om. D 22 *ἱππολύτ(ου)* B[cp] (*τῆς*) *ἱππολύτης* cj Abel cl. sch. N. IV 92 23 *ἠβουλήθη* D *αὐτοῦ* om. B *ἐγκωμιάζουσαι* D: *ἐγκωμιάζεσθαι* B 25 *φησίν* om. D 27 *ἀρχώμεθα* D

50. *Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν*: τὸν BD Ἄκαστον τῆς Μαγνησίας τὸν ἐπίσκοπον καὶ βασιλέα. ποικίλοις οὖν, φησί, λόγοις ἀπατήσασα τὸν ἑαυτῆς ἄνδρα ἡ Κρηθηΐς ἐπεβούλευσε τῷ Πηλεῖ· τὸ δὲ πλάσμα ψεύστης ἦν λόγος, ὅτι ἄρα ἐπειρᾶτο ὁ Πηλεὺς ἐπιβουλεῦσαι τῇ κοίτῃ τοῦ Ἀκάστου καὶ μοιχεῦσαι τὴν Κρηθηΐδα· ἦν δὲ τὸ ἐναντίον· πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ πάσης ψυχῆς ἐλιτάνευε καὶ παραπείθειν ἐπεχείρει συνελθεῖν αὐτῇ.

58a. *τοῦ δὲ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι*: οἱ BD προσάντεις λόγοι καὶ χαλεποί, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων. προσάντεις οὖν οἱ ἀντίτυποι λόγοι καὶ δυσπρόσιτοι. b. ὁ δὲ νοῦς· τούτου δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον ἔκνιζον καὶ ἐλύπουν οἱ ἄδικοι λόγοι, καὶ παραχρῆμα ἀπηρνήσατο αὐτὴν εὐλαβηθεὶς τὴν τοῦ ξενίου Διὸς ὀργήν· ἵνα καθόλου ἀκούσωμεν τὸ πατρός, ὡς Ὅμηρος (*Α* 544)· πατὴρ ἀνδρῶν τε θεῶν τε· ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός.

62. *ὁ δ' εὖ φράσθη*: ὁ δὲ Ζεύς, φησίν, ἐφράσθη, ἀντὶ BD τοῦ ἔγνω, καὶ ἀντὶ τῆς σωφροσύνης ἐπένευσεν αὐτῷ καὶ παρέσχεν ὥστε λαβεῖν γυναῖκα τὴν Θέτιν.

67a. *γαμβρὸν Ποσειδάωνα πείσαις*: πείσας ὁ Ζεὺς B D σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα· ὁ μὲν γὰρ τὴν Θέτιν, ὁ δὲ τὴν Ἀμφιτρίτην ἔγημεν. Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ, καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται. ἀπὸ τῶν Αἰγῶν οὖν φησι τὸν Ποσειδῶνα συνεχῶς ἐπὶ τὸν Ἰσθμὸν πορεύεσθαι. ὅτι δὲ Ποσειδῶνος ἱερὰ αὕτη, φησὶ καὶ Ὅμηρος (*Θ* 203)·

---

10 Suid. *αἰπεινός*. Eust. ad *Ι* 419 (760, 38) 23 sch. *Θ* 203. *Ν* 21. ε 381. Hes. *Αἶγαι*

---

1 *πείσαι* D *ἀκοίταν* om. D 3 *ἀπατήσασα* om. B 4 *ἦν ψεύστης* D 7 *ἐκ πάσης* a: *ἐκοπάσης* D *ἐκ μέσης* B 11 *πρόσαντες* D 13 *ἐλύπουν*] + *οἱ δικαῖοι λόγοι* B, sed delet. 15 *τὸ* D: *τοῦ* B 16 *ἔγγονος* B 19 *ἐπένευσεν* J. G. Schneider ap. b: *ἐπενόησεν* BD 20 *τὴν* om. D 21 *πεῖσας* D

οἵ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ᾽ ἀνάγουσι
πολλά τε καὶ χαρίεντα.

διατί δὲ ὠνόμασε νῦν τὸν Ἰσθμόν; ὅτι οἰκεῖός τις ἦν τοῦ Πυθέου, εἰς ὃν αὕτη ἡ ᾠδὴ γέγραπται, Εὐθυμένης, ὃς ἐνίκησεν Ἴσθμια. b. *ὁ δὲ νοῦς· πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα, ὅστις συνεχῶς ἀπὸ τῶν Αἰγῶν ἐπὶ τὸν τῶν Κορινθίων ἰσθμὸν φοιτᾷ, ὅπου δὴ μάλιστα αἱ συνεταὶ τῶν Κορινθίων τάξεις ὑποδέχονται τὸν θεὸν μετὰ βοῆς τῶν αὐλῶν, ὅτε δὴ καὶ διαφιλονεικοῦσιν ἀγωνιζομένοις σώμασιν ἀνδρείαν· ἴσως ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσι· τότε δὲ ἑκάστου δείκνυται καὶ διακρίνεται τὸ συγγεννηθὲν θράσος ἐπὶ πάντων* D *τῶν τελουμένων ἔργων.* c. *τὸν ἐσόμενον οὖν τοῦ Πηλέως σύγγαμβρον.*

BD 70a. *ἔνθα μιν εὔφρονες ἶλαι: ἶλαι αἱ τάξεις καὶ αἱ συστροφαὶ τῶν νέων αἱ ἐν χορῷ γινόμεναι· ὅθεν καὶ εἰλαπίναι.* b. *ὅπου αὐτὸν αἱ ἶλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας εὔφρονες οὖσαι, τουτέστιν εὐφραντικαί, ἐκδέχονται μετὰ αὐλῶν· ὅπου γὰρ κῶμοι, ἐκεῖ ἐστιν εὐφροσύνη. εἶτα ἐποίσει, διὰ τί τοῦ Ἰσθμοῦ ἐμνήσθη.*

BD 75a. *τὺ δ᾽ Αἰγίνᾳ θεᾶς, Εὐθύμενες: ὁ Εὐθυμένης οἰκεῖος τοῦ Πυθέου.* b. *ὁ δὲ νοῦς· σὺ δέ, ὦ Εὐθύμενες, ἐν τῇ Αἰγίνῃ προσερχόμενος ἐν τοῖς ἀγῶσι τῆς θεᾶς*

---

14 sch. *B* 593. Eust. ibid. (179, 22) Hes. *ἰλαδόν*. Suid. Phot *ἴλας*. — sch. *K* 217. *α* 226. Eust. ibid. (1413, 1) et ad *ρ* 536 (1831, 18). EM 298, 10

---

1 *τοι* **D**: *τι* **B** *δῶρ᾽ ἀνάγουσι* **B**pc: *δῶρ᾽ ἀνέλκουσι* **B**ac *δῶσ᾽ ἀνάγουσι* **D** **3** *τις* **B**: *τι* **D** *πυθίου* **D** **8** *τάξεις τ. κορ.* **D** *ὑποδέχεται* **D** *τῶν* om. **D** **9** *φιλονεικοῦσιν* **D** *ἀγωνιζόμενοι* **D** **10** *ἀνδρείαν ἴσως*] *ἀνδρείως* M. Schmidt; et *ἀνδρείαν* vix verum. Ft. *ἀγωνιζόμενοι σώμασιν ἀνδρείοις* **11** *διακρίνον* **D** *συγγενὲς θάρσος* **D** **14** alterum *ἶλαι* om. **D** **15** *εἰλαπίνη* **D** **17** *ευφραντικῶν* **D** *αὐλῶν* **D**: *μελῶν* **B** **20** *τύ δ᾽* **D**: *τῶ δ᾽* **B** *εὐθύμενες* **B**: *εὐθύμονες* **D** **21** *πυθίου* **D** *δὲ* (alt) om. **D** **22** *προσεχόμενος τοῖς ἀγκῶσι* Hartung *προσερχόμενος τοῖς ἀγκῶσι* Bergk NJhb. 117, 189 *προσερχόμενος ἂν τοῖς ἀγῶσι* id. ed. 4 *προσερχόμενος τοῖς ἀγκῶσι,* delet. *ἐν*, legend. esse probabile fecit Abel cl. sch. J. II 26

Νίκης ἠδυνήθης πολλῶν ὕμνων τυχεῖν. τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν.

78a. ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως ἀγάλλει: μήτρως ἢ ὁ τῆς μητρὸς ἀδελφὸς ἢ ὁ κατὰ μητέρα συγγενής· χρῆται γὰρ οὕτως ὁ Πίνδαρος. b. ἀγάλλει σου τὸ ὁμόσπορον ἔθνος, τὸ τῶν Αἰγινητῶν. c. καταλληλότ ρον δὲ ἔνιοι γράφουσι Πυθέας, ἵν' ῇ ὁ μήτρως Πυθέας. οὐ μόνον, φησί, Νέμεα νενικήκατε, ἀλλὰ καὶ ἐν Αἰγίνῃ τοὺς ἡλικιώτας ἐλθόντας οἴκοι τῷ κράτει νενικήκατε. ἔστι δὲ ἀγὼν ἐν Αἰγίνῃ ἀγόμενος τὰ Αἰάκεια, ὅντινα δηλαδὴ ἐνίκησεν ὁ Πυθέας. d. ὁ δὲ νοῦς οὕτω· μετὰ τὰ προειρημένα ὑπὸ σοῦ ἔτι καὶ ἐπὶ τοῦ παρόντος ὁ σὸς μήτρως, ὦ Εὐθύμενες, ὁ Πυθέας ἀγάλλει τε καὶ σεμνύνει τὸ ὁμόσπορον ἔθνος καὶ συγγενὲς ὑμῶν τὸ τῶν Αἰακιδῶν τὸ ὂν ἐν τῇ Αἰγίνῃ. BD

81a. ἁ Νεμέα μὲν ἄραρε μεὶς τ' ἐπιχώριος: παρ' Αἰγινήταις Δελφίνιος μὴν ἄγεται Δελφινίου Ἀπόλλωνος ἱερός, ἐν ᾧ ἴσως φησὶ γεγενῆσθαι τὰ Νέμεα. πεφιλῆσθαι γάρ φησι τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Ἀπόλλωνος· καὶ εἴη ἂν ὁ μὴν οὗτος, ἐν ᾧ θύουσιν Αἰγινῆται Ἀπόλλωνι οἰκιστῇ καὶ δωματίτῃ, καθά φησι Πυθαίνετος (FHG IV 487). b. ἄλλως. μεὶς ἐπιχώριος ὁ Δελφίνιος μὴν καλούμενος, καθ' ὃν τελεῖται Ἀπόλλωνος ἀγὼν Ὑδροφόρια καλούμενος. ὁμοίως οὖν, φησίν, ἥρμοσται τῷ Πυθέᾳ καὶ οὗτος ὁ Δελφίνιος. c. ὁ δὲ νοῦς· ἡ μὲν γὰρ Νεμέα καὶ προσήρμοσται αὐτῷ πρὸς τὸ νικᾶν ἀεί, καὶ ὁ πάτριος ἀεὶ παρ' Αἰγινήταις μήν, ὃν ὁ Ἀπόλλων ἐφίλησεν· ἐλθόντας δὲ καὶ ὁμήλικας ἐν Αἰγίνῃ νικᾷ. BD

5 cfr. sch. O. VI 129sq., J. VI 89

1 ἐδυνήθης D 3 l. B: ἤτοι μεταΐξαντα D 4 ἢ (pr) om. D 5 ἀγάλλει σου B: ἀγάλλουσι D 6 καταλληλότεροι D 7 ὁ μήτρως D: μήτρως B 11 προειργασμένα Schnitzer p. 53 (probabiliter); πεπραγμένα Rauchenstein περὶ σοῦ b 12 ἔτι B: ἔστι D 12. 13 μήτρως πυθέας ὦ εὐθύμονες D 13. 14 καὶ συγγ. ὑμῶν ἔθνος D 15 l. B: ἁ νεμέα μέν D 16 μὴν D: μεὶς B 17 γάρ] δέ cj. Abel 20 καθό B? 22 ἥρμοσται φησὶν D 25 ὁ om. D

BD 84a. *Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ*: τουτέστιν ἐν Μεγάροις. διατίθεται δὲ Ἀπόλλωνι καὶ Πύθια καλεῖται ὁ ἀγών. b. ἄλλως. ἐν Μεγάροις τῷ εὐθέτῳ χωρίῳ ὁμοίως ἐνίκησε τὰ Ἀλκαθοῖα. Νῖσος δὲ βασιλεὺς Μεγάρων. ἥδομαι δέ, φησίν, ὅτι τῶν καλῶν ἕνεκα πᾶσα φιλονεικεῖ ἡ πόλις.

BD 87a. *ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ*: λείπει τὸ ὅτι. ὁ δὲ λόγος· ἴσθι, ὅτι ἐπωνάσθης τῶν τοῦ Μενάνδρου μόχθων. b. ἢ οὕτω· γίνωσκε ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μενάνδρου παρουσίᾳ. οὗτος δὲ Ἀθηναῖος, ἀλείπτης Πυθέου. c. τὸ δὲ τύχᾳ ἀμφίβολον, ἢ σὺν τῇ σῇ τύχῃ ἢ τοῦ Μενάνδρου.

BD 89a. *χρὴ δ' ἀπ' Ἀθανᾶν*: χρὴ δὲ ἀπὸ Ἀθηνῶν τοὺς ἐπιστάτας εἶναι τῶν ἀθλητῶν, ἐπειδὴ καὶ ὁ Μένανδρος Ἀθηναῖος. τοῦτο δέ φησιν, ἐπειδὴ πρότερον ὁ Θησεὺς Ἀθηναῖος ὢν εὗρε παγκράτιον ἄνευ μυρμήκων· ἡνίκα γὰρ ἐν τῷ Λαβυρίνθῳ ἐξησθένει πρὸς τὴν ἰσχὺν τοῦ Μινωταύρου, παγκρατίῳ αὐτὸν διαπαλαίων περιγέγονεν· οὐ γὰρ εἶχε μάχαιραν· καὶ οὕτως ἐνομίσθη εὑρετὴς τῆς πυγμῆς. ἴσως οὖν ὁ Πίνδαρος οὐκ ἀργῶς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ τοιοῦτόν τι ὑποσημαίνων. b. ἄλλως. ἐν Ἀθήναις φασὶν εὑρῆσθαι τὴν πα-
D λαιστρικὴν ὑπὸ Φόρβαντος τοῦ παιδοτρίβου Θησέως· | τινὲς δὲ τοὐναντίον Θησέα μὲν παρ' Ἀθηνᾶς τὴν πάλην μαθεῖν,
BD Φόρβαντα δὲ ὑπὸ Θησέως. | Φερεκύδης (FHG I 97 M., I 98 J) δὲ ἡνίοχον τὸν Φόρβαντά φησι Θησέως, σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει. καὶ Πολέμων δὲ ἱστορεῖ (FHG III 132) πάλην εὑρηκέ-

---

14 Apollod. epit. 1, 9 21 Paus. 1, 39, 3. sch. Luc. p. 65, 17 R. 23 Bekk. Anecd. I 314, 9

---

1 ἐν om. D εὐαγεῖ D 2 ἀπόλλων D 3 ἐν μεγάροις B: μεγάροις ἐν D 4 ἀλκοθοῖα BD; corr. Brub. 6 σὺν τύχᾳ om D 7 λείπει B: λαμβάνει D ὅτι (alt.) om. B 10 πυθίου D 12 ἀθανᾶν B: ἀθανῶν D 14 θησεὺς πρότερον, om. ὁ, D 17 παραγέγονεν B 18 τῆς πυγμῆς εὑρετής D 20 φασὶν b: φησὶν B?D 21 φόβαντος D 22 ἀθηνᾶς a: ἀθηναίοις D μαθεῖν a: μαθών D 23 ὑπὸ] παρὰ a 25 πάλιν D

ναι Φόρβαντα Ἀθηναῖον. ὅτι δὲ Θησεὺς παρ' Ἀθηνᾶς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ (FH. I 421).

91. εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν: εἰ δὲ **BD** βούλει, φησίν, καὶ ἦλθες ὑμνεῖν τὸν Θεμίστιον· οὗτος δὲ λέγεται πάππος τῷ Πυθέᾳ πρὸς μητρός· μηκέτι εὐλαβούμενος, φησί, φθέγγου, μηδὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ μηδεμίαν εὐλάβειαν ἔχων θαύμαζε ὡς καὶ μεγαλοφώνως βοᾶν.

94a. ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου: **BD** καρχήσιον τὸ ἀνώτατον τῆς κεραίας. τούτῳ τὸ ἱστίον προσανατείνουσιν, ὅταν θέλωσι δαψιλεῖ τῷ ἀνέμῳ χρῆσθαι οὐριοδρομοῦντες. b. καὶ πύκτην οὖν αὐτὸν ὕμνει καὶ παγκρατιαστήν, διπλόαν νικῶντα ἀρετὴν ἐν Ἐπιδαύρῳ, ὡς διττὰ Ἀσκληπιεῖα νενικηκότος αὐτοῦ ἢ ὡς δύο στεφάνους εἰληφότος ἐνὶ ἀγῶνι πυγμῆς καὶ παγκρατίου. ταῦτα δὲ ἐπὶ τοῦ Θεμιστίου λέγει. c. ἢ οὕτω· ζυγὸν καρχησίου λέγει τὴν σύνδεσιν καὶ τὸ ἄκρον τοῦ καρχησίου, περιφραστικῶς δὲ αὐτὸ τὸ καρχήσιον. d. ἢ καρχήσιόν φησι τὸ ἄκρον τοῦ ἱστοῦ· καρχήσιον γάρ, ἐν ᾧ τὸν ἱμάντα ἐνείρουσι. θαύμαζε οὖν, φησίν, αὐτὸν οὕτω μεγαλοφώνως καὶ θαρρούντως, ὥσπερ οἱ πλέοντες ἐπὶ πνεύματος οὐρίου· εἰς ἄκρον τὸ καρχήσιον ζυγώσας τὸ κέρας, οὕτω διόλου ἐκπέτασον τὸ ἄρμενον. ἀλληγορῶν δὲ ἐνδείκνυται τὴν περιουσίαν τῶν θαυμάτων. φθέγξαι δὲ καὶ πυκτικὴν αὐτὸν καὶ παγκράτιον νενικηκέναι ἐν Ἐπιδαύρῳ καὶ διπλῆς ἀρετῆς δόξαν κεκτῆσθαι, καὶ κομίζειν αὐτὸν τῇ Αἰγίνῃ φαιδρὰ

18 sch. Eur Hec. 1261. Athen. XI 474f. Poll. I 91. X 134. Hes. καρχήσια. Phot. καρχήσιον. Galen. lex. Hipp. καρχήσιον

1 φόρβαν **D** θησεὺς **B**: φησιν **D** ἀθηνᾶς **B**: ἀθηναίοις **D** 3 ὥστ' ἀείδειν om. **D** 10 καρχήσιον] + ἐστὶ **D** τὸ ἀνώτατον τῆς κεραίας mirum τοῦτο τοῖς ἱστίοις **D** 12 ὕμνει **a**: ὑμνεῖ **B** φησὶ **D** 13 διπλόην **B** 16 σύνθεσιν **B** 17 δὲ] + καὶ **D** 18 ἱστοῦ Boeckh Staatshaush. III 149 (cfr. Hes., Phot., Poll.): ἱστίου **BD** 20 θαρσούντως **B** 21 τὸ καρχήσιον] τοῦ καρχησίου **a** ζυγώσας **D**: lac. **B** ἀνατείνουσι r ζυγῶσι **a** (voluit credo ζυγοῦσι). Locus suspectus τὸ κέρας] τῆς κεραίας r τὰς κεραίας Boeckh l. l. 22 διόλου Fühse syll. 406: αἰόλον **BD** ὅλον h

τὰ ἄνθη τῶν στεφάνων μετὰ τῶν Χαρίτων φθέγξαι. e. προθύροις δέ φησιν Αἰακοῦ ἀντὶ τοῦ ἐν τῷ ἱερῷ τοῦ Αἰακοῦ ἐν Αἰγίνῃ, οἵπερ ἐν τοῖς προθύροις ἀνάκεινται οἱ ⟨ἐξ⟩ Ἐπιδαύρου τοῦ Θεμιστίου διπλοῖ στέφανοι. f. ἢ οὕτως· ὡς ἐν Αἰγίνῃ ἐν τῷ τεμένει τοῦ Αἰακοῦ ἐπὶ τῶν προπύλων ἀνακειμένων αὐτῷ τῶν στεφάνων.

B 96. *Ἐπιδαύρῳ διπλόαν*: διπλῆν, ἀντὶ τοῦ δεύτερον. ἐν δὲ Ἐπιδαύρῳ Ἀσκληπιοῦ ἱερὸς ἀγὼν ἄγεται.

Scholia in Nemeonicarum carmen VI.

D Ἀλκιμίδῃ Αἰγινήτῃ παιδὶ παλαιστῇ.

BD Τῆς ἕκτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ΄. τὸ α΄ ἰαμβικὸν ἀκατάληκ ον. ἐν γὰρ τῇ δευτέρᾳ χώρᾳ ἐστὶν ὁ σπονδεῖος· πολὺ δὲ τοῦτο παρὰ τοῖς λυρικοῖς. τὸ β΄ ἰαμβικὸν πενθημιμερές. τὸ γ΄ τροχαϊκὸν πενθημιμερές, ἢ ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ τροχαϊκῆς συζυγίας. τὸ δ΄ διπλῆ περίοδος, ἣ καλεῖται τροχαῖος ἀπὸ ἰάμβου. τὸ ε΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τὸ ς΄ ἰαμβέλεγος λείπων τῇ πέμπτῃ συλλαβῇ, ἢ ἀναπαιστικόν. τὸ ζ΄ τὸ αὐτό. τὸ η΄ ἐπιχοριαμβικόν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον περὶ τὴν ἀρχήν. τὸ θ΄ δακτυλικὸν πενθημιμερές. τὸ ι΄ τὸ αὐτό. τὸ ια΄ προσοδικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβ΄ ἰωνικὸν δίμετρον ἀπὸ τροχ ϊκῆς συζυγίας. τὸ ιγ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φαλαίκειον παρὰ συλλαβήν,

---

1 τὰ om. D τῶν στεφάνων μετὰ ι. G. Schneider ap. b: μετὰ τῶν στεφάνων BD 2 ἐν om. D 3 ἀνάκεινται B: ἀνάκειvον D suppl. b 4 διπλοῖ h ἁπλοῖ BD 5 προπύλων B[a]D: προπόγων B[1] 5. 6 ἀνακειμένων αὐτῷ τῶν στεφ b: τῶν ἀνακ. αὐτῷ (αὐτοῦ D) στεφ. BD 11 ἡ στροφὴ κ.ὶ B: συστροφῆ D 12 ἰαμβικὸν ⟨δίμετρον⟩ Pauw; potius ἰαμβ. ἄτακτον γὰρ] δὲ b 13 δὲ] γὰρ b λυρικοῖς Pauw: δωρι οἷς 15. 16 διπλῆ περίοδος quid sit obscurum; cfr. O XIII str. ε΄, N. VII str. δ΄ 16 τροχαῖος ἀπὸ ἰάμβου scripsi (cfr. O. I str. ι΄, O. IV epod. θ΄): τροχαικὴ ἀπὸ ἰαμβικῆς BD 19 περὶ B (de D n. l.): παρὰ edd. 22 δίμετρον ⟨καταληκτικὸν⟩ Beck 23 φαλαίκιον D

οὗ ἡ ἀρχὴ τὸν ἀντίσπαστον ἔχει ἀδιάφορον τοῦ ἄρχοντος ποδός.

ἡ ἐπῳδὸς κώλων ια'. τὸ α' χοριαμβικὸν δίμετρον ἀκατά- BD ληκτον. τὸ β' ἰαμβικὸν πενθημιμερές. τὸ γ'· ἡ τελευταία ἀπόδοσις ἀναγκάζει δακτυλικὸν γενέσθαι τὸ κῶλον. τὸ δ' προσοδικὸν δίμετρον ἀπὸ ἰωνικοῦ, καὶ ἐνόπλιον. τὸ ε' ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰωνικῆς συζυγίας. τὸ ς' δακτυλικὸν τρίμετρον. τὸ ζ' ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ η' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν δύο συλλαβαῖς. τὸ ϑ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον Ἀλκαϊκόν. ὁ γὰρ τέταρτος πούς σπονδεῖος. τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ια' δακτυλικὸν πενθημιμ ρές.

Inscr. Τοῦτον τὸν Ἀλκιμίδαν ἀναγράφεσθαί φησιν Ἀσκλη- BD πιάδης ἀντὶ Αἰγινήτου Κρῆτα οὕτως· Ἀλκιμίδας Θέωνος Κρής.

1. Ἓν ἀνδρῶν, ἓν ϑεῶν γένος: ἐκ μιᾶς μητρὸς ὑπάρ- BD χομεν, φησί, καὶ ζῶμεν τῆς Γῆς οἵ τε ϑεοὶ καὶ οἱ ἄνθρωποι. ἐμφαίνει δὲ διὰ τοῦ προοιμίου, ὅτι κοινωνίαν τινὰ πρὸς τοὺς ϑεοὺς οἱ ἄνθρωπ ι ἔχομεν τῇ εὐφυΐᾳ καὶ τοῖς ἔργοις τοῦ νοῦ. ὅτι δὲ κοινὸν ἡμῖν τοῖς ἀνθρώποις πρὸς τοὺς ϑεοὺς τὸ γένος, καὶ Ἡσίοδος μαρτυρεῖ, ἐπὶ μὲν τῆς τῶν ϑεῶν γενέσεως λέγων (th. 126)·

Γαῖα μέν τοι πρώτιστον ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενϑ', ἵνα μιν περὶ πάντα καλύπτῃ.

---

1 2 exspectes τοῦ ἀντισπ στου ... τὸν ἄρχοντα πόδα 3 ἡ ἐπῳδ ὸς) B: ἡ δὲ ἐπῳδὴ D ιβ' D τὸ β' D ἀκατάληκτον Brub.: καταληκτικὸν 4 ἰαμβικὸν Beck: ἴαμβος 6 scribend. vid. ἢ ἐνόπλιον 9 τὸ η' — καταληκτικὸν om. D δύο συλλαβαῖς D β' συλλα(βαῖς?) B[cp]: δισύλλαβον r εἰς δισύλλαβον mg. Brub. Cfr. schol. Isthm. I epod 2 10 ἀλκμαϊκόν edd. ante a 11 τροχαϊκὸν BD (inepte ; ἰαμβικὸν Pauw 13 ἀλκιμίδην D 14 αἰγινήτα D οὕτως om. D 16 μητρὸς om. D Tricl. 17 καὶ ζῶμεν τῆς γῆς B: γῆς καὶ ζῶμεν D (Tricl.) 18. 19 οἱ ἄνθρ. πρὸς τ. ϑεοὺς D 23 μέντοι BD (et Orion 118, 30): δέ τοι codd. Hes. πρώτιστον BD: πρῶτον μὲν codd. Hes. πρῶτον Or. ἑαυτούς D 24 ἀστερόεντα B

Οὐρανοῦ δὲ καὶ Γῆς εἰσιν οἱ περὶ Κρόνον καὶ οἱ ἄλλοι Τιτᾶνες, ἐκ δὲ τῶν Τιτάνων οἱ ὕστεροι θεοί· Ἥφαιστος δὲ Πανδώραν ποιεῖ (op. 60)·

Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐΐσκειν.

ἀπὸ δὲ τῆς Πανδώρας εἰς ἡμᾶς τὸ γένος διήκται. οὕτως ἓν ἐστι θεῶν καὶ ἀνθρώπων τὸ γένος. ἀφορᾷ δὲ καὶ πρὸς τὸ εὐφυὲς τοῦ Ἀλκιμίδου τὸ προοίμιον.

BD 4a. *διείργει δὲ πᾶσα κεκριμένα δύναμις: ἡ ἀμετάβλητος.* b. *ἢ πολλή, ἐπιτατικῶς.* c. *κεκριμένη, ἤτοι κεχωρισμένη.* d. *ὁ δὲ νοῦς· διαχωρίζει δὲ ἀπ' ἀλλήλων ἡμᾶς ἡ ὡρισμένη δύναμις τῶν θεῶν, ἵν' ἔξωθεν ἀκούσωμεν τοσοῦτον, ὥστε τὸ μὲν τῶν ἀνθρώπων εὐδιάφθορον εἶναι γένος, τὸ δὲ τῶν θεῶν ἐν ἀσφαλεῖ καὶ βεβαίῳ καὶ ἀφθαρσίᾳ τυγχάνειν.*

e. *ἢ οὕτω· τοὺς θεοὺς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις· οἱ μὲν γὰρ ἀθάνατοί εἰσι και ἰσχύουσιν, ἡμεῖς δὲ οὐδέν.* f. *ἢ οὕτω· τὸ μὲν ἡμέτερον γένος τὸ μηδέν ἐστι καὶ ταπεινόν, τὸ δὲ θεῖον πολλὴν ἔχει τὴν δύναμιν. καὶ ἐν Πυθιονίκαις* (VIII 95) *σκιᾶς ὄναρ ἄνθρωπός φησιν.*

BD 7a. *ἀλλά τι προσφέρομεν ἔμπαν: ἀλλ' ὅμως καίτοι οὐδαμινοὶ ὄντες, φησίν, ἐμφερές τι ἔχομεν τοῖς θεοῖς, ἢ κατὰ τὸν νοῦν· θεὸς γάρ τις ἐν ἡμῖν κατὰ τὸν Εὐριπίδην* (fr. 1018)· *ἢ κατὰ τὰς εὐφυΐας τῶν σωμάτων καὶ τὰ κάλλη.* b. *ἢ οὕτως· ὅμως μέντοι ἐοίκαμεν προσεοικέναι τοῖς θεοῖς κατά τι, ἢ κατὰ*

---

10 cfr. Hes. *κεκριμένη*. — Hes. *πάντες*. Eust. ad ι 422 (1637,46). — Hes. *κεκριμένη*

---

1 *εἰσιν* **B**: *ἐστὶν* **D** *οἱ* (alt.) om. **D** **3** *ποιεῖ*] exspectes *ἐκ γῆς ποιεῖ* vel simile quid **4** *ἐκέλευε* **B** **10** *ἀμετάβλητος* r: *μετάβλητος* **D** *ἀμεταβέβλητος* **B** sch. 4b om. **B** **11** *ἢ πολλῇ ἐπιτατικῇ* **D** *ἢ οὕτως πᾶσα ἀντὶ τοῦ πολλὴ ἐπιτατικῶς* cj. Abel (ad sensum recte) *κεκριμένη ἤτοι* **D**: *ἢ ἡ* **B** **14 15** *γένος τὸ δὲ τῶν* **B**: *τὸ γένος τῶν δὲ* **D** **20** *ἄνθρωπος* **B**: *ἄνθρωποι* **D** (et codd. P. VIII) **23** *τὸν* (pr.) om. **B** *θεὸς* Valckenaer diatr. in Eur. p. 238: *θεῖος* **BD** **24** *κάλλους* **D** **25** *προσ οικέναι* del. b

τὸν νοῦν ἢ κατὰ τὴν εὐφυΐαν. c. ὁ δὲ νοῦς· προσφερεῖς, φησίν, ἐσμὲν τοῖς θεοῖς, καίπερ οὐκ εἰδότες εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτὶ πότμος ἔγραψε τὴν εἱμαρμένην ἡμῖν καὶ τὸν θάνατον. d. ἢ οὕτω· καίτοι μὴ γινώσκοντες μήτε τὰ πρὸς τὴν ἡμέραν μήτε τὰ διὰ νυκτὸς ἐσόμενα, μηδὲ εἴ τις ἡμᾶς μόρος κατακέκρικεν εἰς σκοπόν τινα καὶ στάθμην λαβεῖν. στάθμην δέ φησι τὸν θάνατον κατὰ λόγον· ἐπίστασις γὰρ ἡμῖν ἐστι τοῦ παντὸς βίου καὶ στάσις καὶ τέλος. e. ἢ στάθμην ἀκουστέον ἐκ μεταφορᾶς τὴν περιγραφὴν τοῦ βίου καὶ τὴν οἴκησιν.

14a. τεκμαίρει δὲ καὶ νῦν Ἀλκιμίδας: ὅτι δὲ BD
συγγενεῖς ἐσμεν τῶν θεῶν, ὁ Ἀλκιμίδας, φησί, σαφὲς ποιεῖ τεκμηριοῦσθαι ἡμᾶς. εἰς ὃ γὰρ καὶ αὐτὸς ἔπραξε τῇ εὐφυΐᾳ ἑαυτοῦ, ἐπέδειξε τὴν πρὸς τὸ θεῖον ἡμῶν συγγένειαν, ἐγγύς τι καὶ παραπλήσιον εἰργασμένος ταῖς καρποφόροις ἀρούραις. b. ὁ δὲ νοῦς· τεκμηριοῖ δὲ καὶ σαφὲς εἶναι ποιεῖ τὸ πρὸς τοὺς θεοὺς ἡμῖν διὰ τὴν εὐφυΐαν συγγενὲς καὶ νῦν Ἀλκιμίδης τοῖς αὐτοῦ κατορθώμασιν.

17a. αἵ τ' ἀμειβόμεναι: οὐ γὰρ διαπαντός, φησίν, BD
ἐξομαλίζουσι τὴν εὐκαρπίαν αἱ ἄρουραι, ἀλλὰ παρὰ χρόνους τινὰς ἀναπαύλης τυγχάνουσιν, εἶτα ἀναπαυσάμεναι πάλιν ἀποδιδόασι πλείονας τοὺς καρπούς. ἀμειβόμεναι οὖν αἱ ἄρουραι, τουτέστιν ἐξ ἀμοιβῆς παρ' ἐνιαυτὸν φέρουσαι, τὸν βίον ἔδοσαν, τουτέστι τὰ πρὸς τὸν βίον δαψιλῆ καὶ πλούσια· διὰ γὰρ τοῦ ἐπηετανοῦ τοῦτο βούλεται δηλοῦν. b. ἄλλως. τοῦ γένους τοῦ Ἀλκιμίδου οἱ μὲν ἠγωνίσαντο, οἱ δὲ οὔ, ἀλλὰ συμβέβηκε τύχῃ τινὶ παρὰ μέρος ἀθλεῖν. νικᾷ γὰρ Ἀγησίμαχος, σχολάζει Σωκλείδης ὁ τούτου παῖς, εἶτα Πραξιδάμας ὁ ἐκ Σωκλείδου

---

24 Hes. ἐπηετανόν

---

1 τὸν om. B 1. 2 προσφ. μέν φησιν τοῖς θ. ἐσμέν D 5 μήτε (pr.) r: μὴ δὲ BD εἴ τις D: ὅστις B 6 εἰς σκοπόν τινα Beck: εἰσ .... τινὰ B εἰ σκοπὸν τινὰ r εἰς βίον τινὰ D λαβεῖν] δραμεῖν b 11 ὁ om. D σάφα D 13 αὐτοῦ D 16 τῆς εὐφυΐας D 17 τοῖς] τῆς D 22 παρ' ἐν. ἐξ ἀμοιβ. D 25 ἠγωνίζοντο D 27 ἐκ σωκλείδους D

ἐναγώνιος γίνεται· Πραξ δάμαντος πάλιν σχολάζει ὁ υἱὸς ὁ τοῦ νικηφόρου πατήρ. τούτου οὖν μεταξὺ γεγενημένου ἐν τῷ γένει διαλείμματος ὑπεραπολογεῖται, καὶ παρομοιοῖ αὐτοὺς τῇ γῇ τῇ παρ' ἐνιαυτὸν καὶ ἐκ διαλειμμάτων εὐκαρπούσῃ, λέγων ὅτι δηλοῖ δὲ καὶ σαφὲς ποιεῖ τὸ ἑαυτοῦ συγγενὲς ὁ Ἀλκιμίδης, ὅπερ ἐστὶν ἰδεῖν ὅμοιον τῇ σπορίμῃ γῇ καὶ ταῖς ἀρούραις, αἵτινες ἐξ ἀμοιβῆς καρποφοροῦσαι ποτὲ μὲν ἀδιάλειπτα τὰ πρὸς τὸν βίον παρέχουσιν ἐκ τῆς γεωργίας, ποτὲ δὲ ἀναπαυσάμεναι καὶ σχολάσασαι τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον. τὸ δὲ ὑπερβατόν· τεκμαίρει καὶ νῦν Ἀλκιμίδης, ὃς ἦλθεν ἐξ ἐρατῶν ἄθλων, παῖς ἐναγώνιος, ἰδεῖν τὸ συγγενὲς καὶ πρόσφορον τῇ γῇ, ἥτις ἐξ ἀμοιβῆς σπειρομένη ἀναπαύεται καὶ δίδωσι πολλοὺς τοὺς καρπούς.

BD 21a. ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων: καὶ ὁ Ἀλκιμίδης οὖν παραπλήσιος ταύταις ἐγένετο· ὡς γὰρ αὗται ποτὲ μὲν ἀναπαύονται, ποτὲ δὲ καρποφοροῦσι, τῆς γῆς ἐκ διαλείμματος καρποφορούσης, οὕτω καὶ τὸ γένος τοῦ Ἀλκιμίδα. ὁ μὲν γὰρ πάππος τοῦ Ἀλκιμίδα ἐνίκησεν, ὁ δὲ πατὴρ οὐκέτι· ὁ δὲ μὴ νικήσας πατὴρ τῇ ἀναπαύσει παραβέβληται τῶν ἀρουρῶν, ὁ δὲ Ἀλκιμίδας πάλιν νικήσας τῇ μετὰ τὴν ἀνάπαυσιν καρποφορίᾳ. ὃς μετερχόμενος, φησί, τὴν ἐκ Διὸς μοῖραν, τουτέστι τὸν Νεμεακὸν στέφανον, τὰ γὰρ Νέμεα τοῦ Διός, κατὰ τὰ ἴχνη τοῦ Πραξιδάμαντος τὸν ἑαυτοῦ πόδα νέμει, τουτέστι μερίζει· ὡς γὰρ ἐκεῖνος ἐνίκησεν, οὕτω καὶ

---

7 Hes. ἐπηετανόν, -ῶν 24 Hes. νέμει. EM 606, 40. sch. Eur Hipp. 745

---

1 παξιδάμαντος D 2 γοῦν B γεγεννημένου D 3 διαλείμματος] διὰ D παρομιοῖ D αὐτοὺς D: αὐτὸν B? r αὐτὸ cj b 4 τῇ (alt.) om. h παρ' B: γὰρ παρ' D διαλείμματος cj. Abel 5 ὁ om. B 6 ὅπερ D οπως B ὅμοιον ἰδεῖν D σπορίμν(η) D 9 σχολάζουσαι D ἔλαβον D 10 καὶ B: δὲ καὶ D 12 καὶ del. b τῆς γῆς D 13 πολλοὺς τοὺς καρπούς D: καρποὺς πολλούς B 17 ἀλκιμίδους D 18 μὲν om. D πάππος τοῦ ἀλκ. B: πάππος τούτου D 19 μὴ om. B[1] τῇ b: τῶν D ἐν B ἀναπαύσοι D 21 φησί om. D 24 μεριζει hic ineptum; expectes βαδίζει

οὗτος. b. ὁ δὲ νοῦς· ἦλθεν οὖν πρὸς τὸ παρὸν ἀπὸ τῶν Νεμεακῶν ἀγώνων τῶν ἐρασμίων ὁ ἀνδρειότατος Ἀλκιμίδης, ὃς ἐκ θεῶν ταύτην κληρωθεὶς τὴν εὐτυχίαν νῦν ἐφάνη περὶ τὴν τῆς πάλης νίκην οὐκ ἄμοιρος, ἀλλ' ὥσπερ τις ἀγαθὸς κυνηγέτης, οὕτω κατ' ἴχνος βαίνων τοῦ Πραξιδάμαντος τοῦ ἑαυτοῦ πάππου. ὁ δὲ Ἀρίσταρχος οὐκ ἐπὶ τῷ διαλιπεῖν τὸν πατέρα παραβεβλῆσθαί φησι τῇ γῇ ⟨τὰ⟩ τῶν ἀνθρώπων, ἀλλὰ διὰ τὸ τὸν Ἀλκιμίδαν πρότερον μὲν ὄντα παῖδα νικῆσαι, διαλιπόντα δὲ χρόνον νῦν πάλιν νενικηκέναι.

30. κεῖνος γὰρ Ὀλυμπιόνικος ἐών: ἐκεῖνος ὁ Πραξι- BD δάμας, φησί, πρῶτος ἐγένετο τῶν Αἰγινητῶν πάντων Ὀλυμπιονίκης, ἢ τοῦ γένους ἑαυτοῦ. ὁ δὲ παρὼν Ἀλκιμίδης οὐκ ἐποίησε ληθαργηθῆναι τὸν ἑαυτοῦ πατέρα, φησίν, ἀργησάντων τῶν ἀγωνισμάτων, ἀλλὰ διὰ τῆς ἑαυτοῦ ἀνδρείας ἐκεῖνος ἐσέμνυνε τὸν Σωκλείδην τὸν ἑαυτοῦ πατέρα. ὁ δὲ Δίδυμος, Σωκλῆς ἐστι τὸ ὄνομα, φησί· παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς, ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς. ὡς οὖν μὴ νενικηκότος τοῦ Σωκλείδου οὗτος τὴν περὶ ἐκεῖνον λήθην ἔπαυσε, νικήσας τοὺς προειρημένους στεφάνους. τὸ δὲ ὑπέρτατος ἀντὶ τοῦ πρεσβύτερος· ὁ γὰρ Σωκλείδης πρεσβύτερος μὲν τῶν υἱῶν γέγονεν Ἁγησιμάχῳ, πατὴρ δὲ Πραξιδάμαντος.

38. ἐπεί οἱ τρεῖς ἀεθλοφόροι: ἄρθρον ἐστὶ τὸ οἱ BD ἀντὶ τοῦ τῷ· τουτέστι τῷ Σωκλείδῃ. τρεῖς γὰρ παῖδες ἐγέ-

---

1 οὖν B: οὖν καὶ D 1. 2 ἀπὸ ἐρασμίων ἀγώνων καὶ τῆς νεμέας D 3 ὃς B: ὅστις D παρὰ D 6 τῷ B: τὸ D διαλειπεῖν D 7 τῇ γῇ τὰ scripsi (τῇ γῇ τὸ b): τῇ γῇ B τῇ D τῇ γῇ, del. τῶν ἀνθρώπων, cj. h 7. 8 διὰ τὸ v. Wilam. ap. Horn. p. 62· δι' αὐτὸν BD 8 ἀλκιμίδαν, ⟨ὃν⟩ πρότερον b μὲν ⟨γὰρ⟩ h 10 πραξίδαμος B 12 παρὼν ἀλκιμίδης BD (prave); πραξιδάμας b parum probabiliter; an προπάτωρ ἀλκιμίδου? — Q. s. usque ad 17 ποιηταῖς in B vel aegre leguntur vel omnino exesa sunt 13 ληθαργηθῆναι Dr (B l. n.); ληθαργισθῆναι b φησιν D: B l. n. μὴ r 14 ἐκεῖνος D ..... ον? B κἀκεῖνον r 17 ἔστιν ἔθος D 18 ἐκεῖνον λήθην b: ἐκείνου λήθην D ἐκείνου νίκηι B 21 ἀγησιμάχου B 23 ἀντὶ τοῦ αὐτῷ cj. b; sed tum οὐκ ἄρθρον ἐστὶ τὸ οἷ ἀλλ' ἀντωνυμία ἀντὶ τοῦ αὐτῷ scribi debuisse vidit Hermann (Op. VIII p. 71); ⟨ἢ⟩ ἀντὶ τοῦ

νοντο αὐτῷ, ὧν ὁ Πραξιδάμας πρῶτος· οἵτινες παῖδες, φησίν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς, τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο. περιττεύει οὖν ὁ τέ.

b. τρεῖς γὰρ ἀθλοφόρους εἶπε, τοὺς ἀδελφοὺς δηλαδὴ τοῦ Σωκλείδου· τῷ δὲ αὐτὸς μὴ ἠθληκέναι ὁ Σωκλείδης τὸν υἱὸν ἐγύμνασεν, ὃς τὴν περὶ αὐτὸν λήθην ἐσκέδασε νικήσας· ἀνεκήρυξε γὰρ τὸν πατέρα. c. τὸ δὲ σὺν θεοῦ τύχᾳ ἀντὶ τοῦ τῇ ἐκ θεοῦ τύχῃ. d. οὐδένα ἕτερον οἶκον οὕτως ἀπέδειξε καὶ ἀπέφηνε, φησί, πλείους ἀπενηνοχότα στεφάνους.

BD 44. μυχῷ Ἑλλάδος ἁπάσας: ἀμφίβολον πότερον ὡς ἐν Ἰσθμῷ πολλὰς νίκας εἰληφότων οὕτως εἶπεν, ἐπεὶ μυχὸς τῆς Πελοποννήσου ἡ Κόρινθος, ἐν ᾗ τὰ Ἴσθμια ἄγεται· Ὅμηρος (Z 152)·

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο·

ἢ ἐπεὶ μυχοί εἰσι τῶν χωρῶν αἱ πόλεις αἱ κρύψεις παρέχουσαι ἀντὶ τῶν πεδινῶν τόπων, τὰς πόλεις, ἐν αἷς ἐνίκησαν, μυχοὺς Ἑλλάδος κέκληκεν. ἐν μυχοῖς οὖν Ἑλλάδος, ἐν ταῖς Ἑλλαδικαῖς πόλεσιν, ἐν ἑκάστῳ μυχῷ τῆς Ἑλλάδος.

BD 45a. ἔλπομαι μέγα εἰπὼν ἄντα σκοποῦ τυχεῖν: ἔνιοι γράφουσιν ἂν τετυχεῖν. ἐλπίζω οὖν, φησί, μεγαλορρημονήσας καὶ καυχησάμενος ἐπιτυχεῖν ἂν τοῦ σκοποῦ ὡς ἀπὸ τόξου πέμπων βέλος. τὸ δὲ τετυχεῖν ὅμοιον τῷ λελαβέσθαι

---

22 sch. Γ 354. δ 388. EM 86, 44. Eust. ad Α 168 (73, 4), al.

αὐτῷ Abel ipse improbans. Sed fuit fortasse: ἄρθρον ἐστὶ τὸ οἵ: — ἀντὶ τοῦ αὐτῷ, τουτέστι κτλ. τουτέστι τῷ σωκλείδῃ del. b; postea (expl. p. 409) vidit, tum q. s. sic mutanda esse: ἐγένοντο αὐτῷ ἄλλοι ἔξω τοῦ σωκλείδα, ὧν ὁ σωκλείδας ὁ τοῦ πραξιδάμαντος πατὴρ πρῶτος; sed hoc ipse vix probavit. Scilicet prior scholiasta οἱ ad Soclidam rettulit et illud ὧν ὁ Πραξιδάμας πρῶτος, in quo offendit b, ex vs. 18 sumpsit.

5 αὐτὸς μὴ B: μὴ αὐτὸς μὴ D 6 αὐτὸν B: αὐτῶν D 8 τῇ om. B¹D ante οὐδενα suppl. ἡ τῆς πυγμῆς μάχη b. Siquid deest, in οὕτως potius latet 11 εἰληφότ(ων) B εἰληφότος r εἶπεν B: εἴρηκεν D 12 ἡ om. B 14 πόλοις? D 16 τῶν om. D 17 ἐν — ἑλλάδος om. B — Scribend. vid. μυχῷ 20 ἂν τετυχεῖν B (sed prius ε ex corr.): ἄντα τυχεῖν D μεγαλορημονήσας D 21 ἂν om B¹ 22 τυχεῖν D τὸ λαβέσθαι D

(δ 388). γράφουσι δὲ καὶ ἄντα, ἵν' ᾖ ὁ λόγος· ἐναντίον τι καὶ εὐθὺ τοῦ σκοποῦ. b. ἄλλως. προσδοκῶ δὲ μεγάλως ἐπαινέσας τὸν νικηφόρον ἐπιτυχεῖν τοῦ σκοποῦ ὡς ἄριστος τοξότης. c. τὸ δὲ ὦ Δωρικῶς, ὡς ἀντὶ τοῦ ὥστε φησίν.

48a. εὐθὺν ἐπὶ τοῦτον ἄγε Μοῖσα: ἐπὶ τοῦτον οὖν BD τὸν σκοπὸν, ὦ Μοῦσα, τοὺς σοὺς ἄγε λόγους τοὺς εὐκλεεῖς, καὶ ἐπαίνει τὸν νικηφόρον. b. ἢ οὕτως· ἐπὶ τὸν σκοπὸν, ὃν προεῖπον, τὴν οὐριότητα τῶν ποιημάτων ἄγε.

50. παροιχομένων γὰρ ἀνέρων: τῶν γὰρ τεθνηκό- BD των ἀνδρῶν τὰ κάλλιστα κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ τῇ μνήμῃ παραδιδόασι καὶ οἱ λοιποὶ τῶν σοφῶν. ἀοιδοὶ μὲν γὰρ οἱ ποιηταί, λόγιοι δὲ οἱ πρότερον τὰ κατὰ τὰς πόλεις διηγούμενοι.

53a. Βασσίδαισιν ἅ τ' οὐ σπανίζει: ὁ Δίδυμός φησι BD προσήκειν γράφειν Βουδίδαι. γενέσθαι γάρ τινα Βουδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βουδιδῶν. μνημονεύειν δέ φησι τοῦ Βουδίωνος Πυθαίνετον (FHG IV 487) ἐν πρώτῳ Αἰγινητικῶν γράφων οὕτως· περὶ δὲ ταῦτα τούτων λεγομένων λέγεται Βουδίωνα τυγχάνειν διενηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτοῦ θυγατέρα. b. ὁ δὲ νοῦς οὕτως· ἅτινα κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις οὐ σπανίζει, ἀλλὰ πλεονάζει, οὐδὲ ἐν τῷ γένει τῷ ἐξ ἀρχῆς διαβοήτῳ. Βάσσος γὰρ πρόγονος τῶν ἀνωτέρω τοῦ Ἀλκιμίδου· ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ Βασσιάδαι. c. ἢ οὕτως· ἡ τῶν Βασσιδῶν, φησί, γενεὰ οὐ σπανίζει καλῶν ἔργων. διὸ οἱ ἀοιδοὶ καὶ οἱ λόγιοι κομί-

---

17 cfr. Tzetzes ad Lyc. 175 (p. 85 S.)

---

4 ὦ B: ῶ D ὦτ' ἀπὸ τόξου τὸ ὦτε r ὡς om. B (vix recte; videntur duae glossae ὦ δωρικῶς ἀντὶ τοῦ ὡς et ὦτε ἀντὶ τοῦ ὥστε in unam coaluisse) 14 βασίδαισιν D 15 προσήκειν scripsi: προσήκει βουδίδαισιν M. Schmidt Did. p. 233 18 αἰγινητικῶν h (in ind., vol. III p. 303): αἰγινητῶν BD Tz. γράφοντα b. Scribend. vid. μνημονεύει δέ, φησί, τ. β. πυθαίνετος ... γράφων περὶ B: παρὰ D τούτων B: οὕτως D 19 γενομένων? 21 βασιλ(ί)δαις D 22 οὐδὲ del. hb 24 βασιάδαι B βασιδῶν B

ζουσιν αὐτῶν τὰ ἔργα τὰ καλά. ἐὰν δὲ προφερώμεθα, ἅ τ' οὐ σπανίζει, τὸν λόγον οὕτω καταστήσομεν· ὧν οὐ σπανίζει ἡ παλαίφατος γενεὰ τῶν προειρημένων ἔργων. d. *ἢ οὕτω· Βασσίδαισι καθ' αὑτό, εἶτα ἀπ' ἄλλης ἀρχῆς· ἅ τ' οὐ σπανίζει· τὰ προειρημένα ἔργα, ἅ τ' οὐ σπανίζει τοῖς Βασσίδαις.* e. *ἢ Βασσίδαισιν ἅ τ' οὐ σπανίζει, εἶτα ἀπ' ἄλλης ἀρχῆς· παλαίφατος, ᾧ συναπτέον τὸ ἐπιφερόμενον.*

BD 55a. *ἴδια ναυστολέοντες: οἱ Βασσίδαι, φησίν, ἴδια ναυστολοῦντες, τουτέστιν ἴδια χορηγοῦντες καὶ κομίζοντες ἔργα τοῖς τῶν Πιερίδων ἀρόταις, τουτέστι τοῖς ποιηταῖς.*

b. *ἀνυμνεῖν θέλοντες οὐκ ἐπακτοῖς χρήσονται ἐπαίνοις διὰ τὸ σπανίζειν αὐτοὺς ἔργων, ἀλλὰ τοῖς αὑτῶν· πολλὰ γὰρ δεδράκασιν. ἐπικώμια δὲ τὰ εἰς κῶμον ὑμνεῖσθαι ἐπιτήδεια τῆς νίκης. μετὰ γὰρ τὸ νικῆσαι ἐκώμαζον μετὰ τῶν ἡλικιωτῶν.*

c. *ἢ οὕτως· οὐ δεόμενοι δι' ἑτέρων κοσμήσασθαι, ἀλλ' ἑαυτοῖς ἀρκούμενοι πρὸς κόσμον ἴδια παρακομίζοντες ἔργα τοῖς ποιηταῖς. ναυστολοῦντες δὲ ἀντὶ τοῦ ἐπιφορτίζοντες, οἱονεὶ σωρεύοντες ἐκ τῶν ἰδίων κόπων τὰ ἐγκώμια.* d. *ἀγερώχων δὲ ἐργμάτων ἀντὶ τοῦ μεγάλων ἔργων. δυνάμενοι οὖν τοῖς ποιηταῖς παρέχειν πολλῶν ἐπαίνων χορηγίαν ἕνεκεν τῶν πραττομένων αὐτοῖς ἔργων ὀλβίων.*

BD 59a. *καὶ γὰρ ἐν ἀγαθέᾳ χεῖρας ἱμαντωθείς: καὶ γὰρ ἐν ..... θαυμασίᾳ τὰ πυκτικὰ σκεύη μετὰ χεῖρας λαβὼν ἐνίκησεν ἀπὸ τῆς αὐτῆς συγγενείας ὢν καὶ πατρίδος ὁ Καλλίας.* b. *ἢ ὅτι πυκτεύσας ἐν Πυθοῖ ἐνίκησεν ἀρέσας τῷ*

---

17 cfr. sch. Luc. Lexiph. 1 (p. 191, 10 R) 18 sch. *B* 654. *Γ* 36. Eust. 314, 41. 378, 1, al. EM 7, 47 cett.

---

1 *δὲ* om. B 3 *ἔργων* om. D 4 *βασσίδαισι* D: *βασσίδαι οἱ* B *εἶτα ἀπ' ἄλλης* B: *εἶτ' ἀπάλης* D 4 *σπανίζει* — 5 *οὐ* om D 6 *παλαίφατον* D 11 *ἀνυμνεῖσθαι* cj. b (vix recte) 12 *αὑτῶν* b: *αὐτῶν* 15 *κομίσασθαι* D 17 *ἀντὶ τοῦ* om. D 19 *τοῦ*] *τῶν* D *δυνάμενοι* h: *δυναμένοις* 20 *ἕνεκα* D 23 in lac. *πυθῶνι* suppl. Ox., *πυθῶνι τῇ* b *πυκτικὰ* D: *π[υκτὰ?]* B *πηκτὰ* r 24 *πατρίδος*] *φατρίας*? (*συμφατριώτης* Tricl.); cfr. p. 84, 21

Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι ἀπὸ τῆς αὐτῆς ὢν πατρίδος, ἤτοι τῆς Αἰγίνης, καὶ ἐκ τοῦ αὐτοῦ αἵματος, τουτέστιν ἐκ τῆς αὐτῆς φατρίας τῶν Βασσιδῶν Καλλίας, ὅ. Κρέοντος ὑπῆρχε παῖς. c. χρυσηλάκατον δὲ εἶπε τὴν Λητὼ | τὸ τῆς Ἀρτέ- BDP μιδος μετενεγκὼν ἐγκώμιον ἐπὶ τὴν μητέρα τὴν γεννήσασαν.

64a. *παρὰ Κασταλίᾳ τε Χαρίτων ἑσπέριος*: ἀπὸ BD τῆς πηγῆς τοὺς Δελφοὺς ὠνόμασεν. ἐκωμάσθη γὰρ νικήσας ὑπὸ τῶν ἡλικιωτῶν ἑσπέριος.

64b. *Χαρίτων ἑσπέριος*: Χαρίτων ὁμάδῳ οἱ μὲν τῷ BDP χορῷ ἀποδεδώκασιν, οἱ δέ, τῷ χαριεστάτῳ θορύβῳ τῆς ἐπὶ τῇ νίκῃ πανηγύρεως ἐλαμπρύνετο κωμάζων. c. ἄλλως. μέχρις ἑσπέρας ἔλαμπεν. d. ὁ δὲ νοῦς· παρὰ δὲ τῇ Κασταλίᾳ πηγῇ (ἐκ δὲ τούτου ἐν Δελφοῖς τῷ ἀγῶνι νικήσας) τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ μέχρις ἑσπέρας ἡ νίκη αὐτοῦ καὶ ἡ δόξα ἐξέλαμπεν· ἔθος γὰρ ἦν καὶ παννυχίδας ὕμνων τοῖς νενικηκόσιν τελεῖσθαι. τοῦτο δὲ ὡς καὶ τὰ Πύθια νικήσαντος αὐτοῦ.

67a. *πόντου τε γέφυρα*: ὡς καὶ ἐν Ἰσθμοῖ νενικηκό- BDP τος αὐτοῦ· πόντου γὰρ γέφυρα ὁ Ἰσθμός· τεσσαράκοντα τριῶν γὰρ σταδίων ἀμφιθάλασσος ἦν. καὶ ἔστι κατὰ τὸ ἔτυμον γέφυρα ἡ δ.ὰ τῆς γῆς φέρουσα ὁδός. ἀπὸ δὲ τοῦ προκειμένου τούτῳ προσυπακουστέον τὸ φλέγε πόντου γέφυρα. 69 BD

---

9 sch. *B* 96; *H* 3.7; α 365. Eust. p. 180, 9; 682, 39; 1297, 27. Hes. s. v. EM 623, 18; EG 426, 56. Phot. Suid. s. v. Ap. soph. 120, 18 21 Orion 37, 18?

---

4 *χρησηλάκατον* D *incipit* P *f. 172 (ultim.)* 5 *ἐγκώμιον* om. P *τὴν μητέρα* om. P 7 *δελφοὺς* r: *ἀδελφοὺς* 9 l. P: om. BD *χαρ. γὰρ ὁμ.* BD 10. 11 *τῆς νίκης* P 11 *πανηγύρεως*] + *φασίν* B + *φησίν* D *ἄλλως* P: *ἤτοι* BD 13 *ἐκ δὲ τούτου* P: *τουτέστιν* BD 14 *αὐτοῦ* P: *αὐτῷ* B *αὐτ(οῦ)* D^cp 15 *ἔλαμπεν* B 16 *νενικόσιν* D *τελεῖσθαι* P: *ἀποτελεῖσθαι* B *ἐπιτελεῖσθαι* D *καὶ τὰ* B?DP: *κατὰ* r 18 l. P: om. BD *ἰσθμοῖ* P: *ἰσθμίοις* BD 19 *γὰρ* om. D 20 *ἦν* BD: *ὤν* P *ἔτοιμον* B?Dr 21 *διὰ* om. BD *ἐπὶ* Schneider ap. b. Locus vix sanus 22 *τούτῳ* a: *τοῦτο* P *οὕτω(ς)* BD

P b. ἀμφικτυόνων δὲ τῶν π·ριοικούντων· μέχρι γὰρ αὐτοῦ οἱ BDP ἀγῶνες ἐτελοῦντο. 69 P c. πόντου γέφυρ' ἀκάμαντος ὁ Ἰσθμι- P κὸς ἀγὼν, ὅτι ἱερὸς τῷ Ποσειδῶνι. 71d BD d. ὁ δὲ νοῦς· πόντου ἀκάμαντος γέφυρα ὁ Ἰσθμὸς, ὁ ὢν τοῦ Ποσειδῶνος τέμενος καὶ ἀγὼν καὶ οἴκημα ὥσπερ. 73 P

BDP 69a. *ταυροφόνῳ τριετηρίδι*: ἐν ᾗ ταύρους φονεύουσι καὶ ἱερουργοῦσι τῷ Ποσειδῶνι. καὶ Ὅμηρος (γ 6)·

ταύρους παμμέλανας ἐνοσίχθονι κυανοχαίτῃ.

b. τριετηρίδι δὲ διὰ τὸ διὰ τριετηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι.

BDP 70. *Κρεοντίδαν*: τὸν Καλλίαν, ὡς τοῦ πατρὸς αὐτοῦ Κρέοντος καλουμένου.

BDP 71a. *βοτάνα τέ νίν ποθ' ἁ λέοντος*: βούλεται ἡ ἱστορία ἐκ τοῦ Ἀρχεμόρου αἵματος ἀναδεδόσθαι τὸ βοτανίδιον· οἱ δὲ, ὃ καὶ βέλτιον, βοτάνη λέοντος ἡ Νεμέα, παρόσον κατ' αὐτὴν διῆγεν ὁ λέων βοσκόμενος.

BD b. ἄλλως. βοτάνην λέοντος τὸ σέλινον δεκτέον. σέλινον γὰρ ὁ αὐτόθι στέφανος,

b. ἄλλως. βοτάνη λέοντος P ἤτοι καθολικῶς ἡ Νεμέα, ἢ τὸ σέλινον δεκτέον,

BDP ὅτι ὁ Ἡρακλῆς καταγωνισάμενος τὸν λέοντα τοῦτο ἐνομοθέτησεν εἶναι τὸ στέμμα. c. ἀλλ' ἀλόγως· φαίνεται γὰρ ἐπ' Ἀρχεμόρῳ ὅ τε ἀγὼν τεθεὶς καὶ τὸ σέλινον τοῖς νικῶσι διδόμενον. 67c BD d. ὁ δὲ νοῦς· καὶ ἡ Νεμέα δέ ποτε νικήσαντα τὸν Καλλίαν ἔστεψεν, ἥτις Νεμέα ἐστὶν ὑπὸ τοῖς συμφύτοις καὶ ἀρχαίοις τοῦ Φλιοῦντος ὄρεσι. θέλει δὲ αὐτὸν καὶ Νεμεονίκην ἀποδεῖξαι. 67b P

---

1 μέχρι — 2 ἐτελοῦντο corrupta vel lacunosa 2 πόντου — 3 ἀγὼν P: ἢ ὁ ἰσθμικὸς BD 5 οἴκημα ὥσπερ P; ὥσπερ οἴκημα a 6 ἐν P: τουτέστιν ἐν BD 7 καὶ (alt.) P: ὡς καὶ BD 9 διὰ (alt.) om. P 11 τὸν P: δὲ τὸν BD καλλίαν] + φησὶν BD 13 l. BD: βοτ. τέ νιν P βούλεται BD: βούλεται γὰρ P 14 ἀρχαιμόρου B 18 λεκτέον r 20 ὁ om P 21 ἀλλ' ἀλόγως BD (ἀλλ' D[s]): ἀναλόγως P (ad schol. quod praecedit relat.). Locus suspectus φαίνεται DP: φέρεται B 22 ἐπὶ ῥηχεμόρῳ P 23 δέ (alt.) om. P νικ. ποτε D 25 δὲ καὐτόν P? 26 πυθιονίκην D

73. *δασκίοις*: τοῖς συνδένδροις, ἢ παρὰ τὸ ὑψηλὸν τοῖς μεγίστην σκιὰν ἀπεργάζεσθαι δυναμένοις. κεῖται δὲ ἡ Νεμέα παρὰ τὰ Φλιάσια ὄρη, παράκειται δὲ καὶ πόλις ὁμώνυμος ἡ Φλιοῦς, ἡ πρότερον Ἀραιθυρέα καλουμένη, ἣν καὶ Ὅμηρος οὕτω φησί (*B* 571). BDP

75. *πλατεῖαι πάντοθεν λογίοισι*: πολλαὶ καὶ πλατεῖαι ἀφορμαί εἰσι τοῖς ἐλλογίμοις, φησί· πάλιν τοὺς ποιητὰς ἀκουστέον· ὥστε ὑμνεῖν τὴν νῆσον ταύτην τὴν Αἴγιναν· ἐπειδὴ αὐτοῖς χορηγίαν παρέχουσιν ἐπαίνων οἱ Αἰακίδαι, καὶ ἐξαίρετον ἀρετὴν ἐπεδείξαντο. ἀμφίβολον δὲ πότερον τοῖς προκειμένοις λόγοις παρέσχον μοῖραν πλείστην οἱ Αἰακίδαι, ἢ οἱ Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν τοῖς ἰδίοις πολίταις δοξάζοντες αὐτούς. BD

83. *καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἂν ἀπονοστάσαντος ἐπᾶλτο*: ἔστι καὶ συνεσταλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο, τουτέστιν ἐπάλθη, ἐβλήθη τὸ κλέος αὐτῶν εἰς Αἰθίοπας. BD

85a. *βαρὺ δέ σφιν νεῖκος ἔμπεσ' Ἀχιλεύς*: βαρεῖαν δὲ καὶ ἐπαχθῆ μάχην διὰ φιλονεικίαν αὐτοῖς ἐπέδειξεν ὁ Ἀχιλλεὺς τοῖς Αἰθίοψι, χαμαὶ κλίνας τὸν Μέμνονα αὐτὸς ἐκ τῶν ἁρμάτων κατελθὼν, τῆς φαιδρᾶς Ἡμέρας τὸν υἱὸν, ἡνίκα ἐφόνευσε τῇ ἀκμῇ τοῦ δόρατος τοῦ λίαν ὀργίλου. περίφρασις δὲ τὸ σχῆμα, ἵνα τὴν Ἀχιλλέως δείξῃ περὶ τὸ πολεμεῖν εὐθαρ- BD

---

1 sch. *O* 273. Eust. p. 1015, 55. Ap. soph. 56, 16. Hes. Suid. EM 248, 51 4 sch D *B* 571. Eust. p. 291, 15. Steph. Byz. s. v. Ἀραιθυρέα, Φλιοῦς. Strab. VIII p. 382. Paus. 2, 12, 5

---

1 δασκίοις — συνδένδροις P: δασκ. δὲ ἢ τοῖς (ἤτοι D) δασκίοις δένδροις BD ἢ παρὰ BD: καθαρά P 2 ἀπεργάζεσθαι DP: ἀπεργάσασθαι B (aegre legitur) r 3 ὄρους D 4 ἡ — 5 φησί BD: ἣν ὅμηρος ἐπίσταται ἀριθυρέαν καλουμένην P, *cuius scholia hic deficiunt*, add. ὕμνων τὸ τέρμα πινδαρικῶν ἐνθάδε. Sequuntur adhuc apophthegmata Pindari (vol. I p. 3, 16—4, 6 huius ed.) 4 ἀραιθυραία B ἀραθυρέα D 10 ἀπεδείξαντο cj. Abel πρότερον D 11 μοῖραν πλ. παρέσχον D 18 ἔντεσ' D ἀχιλλεύς D 19 ἀπέδειξεν Bergk 20 τοῖς B: τῷ D 23 ἀχιλλέως B (ubique) τὸ πολεμεῖν B: τὸν πόλεμον D

σίαν. b. *ἄλλως. Μέμνων υἱὸς μὲν ἦν Τιθωνοῦ καὶ Ἡμέρας, βασιλεὺς δὲ Αἰθιόπων. οὗτος ἐναντιούμενος τοῖς Ἕλλησιν ὑπὲρ τῶν Τρώων ἀνῃρέθη ὑπὸ Ἀχιλλέως, καὶ διὰ τοῦτό φησι τὴν τῶν Αἰακιδῶν δόξαν καὶ μέχρις Αἰθιόπων διαπτῆναι. οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως, ὡσανεὶ μείλινον ἤ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιαίτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γάρ, ὥστε δύο ἀκμὰς ἔχειν καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεΐσι* (fr. 152)· *κάμακος εἶσι, κάμακος γλώσσῃ α διπλάσιον. καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς* (fr. 156)·

ἦ δορὸς διχόστομον πλᾶκτρον·
δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον
Ἀχιλλῄου δόρατος.

μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως (fr. 5 Kinkel)·

ἀμφὶ δὲ πόρκης
χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ δίκροος δίη.

c. *ἢ ζάκοτόν φησι κατὰ μετουσίαν τοῦ φέροντος καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ, ἀπὸ τῶν παρ' Ὁμήρῳ* (*Λ* 573; *Ο* 316)·

πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.

BD 91a. *καὶ ταύταν μὲν παλαιότεροι: καὶ ταύτην μὲν τὴν ὁδὸν τὴν τῶν ἐπαίνων, ἥτις ἐστὶ τολοιπὸν κατημαξευμένη, οἱ παλαιότεροι ἡμῶν καὶ οἱ πρεσβύτεροι ἐξεῦρον· ἀντὶ τοῦ καὶ οἱ πρότεροι ἡμῶν ἐπήνεσαν τοὺς Αἰακίδας. ἀκολουθήσω οὖν καὶ αὐτὸς ἔχων ταύτην τὴν μελέτην καὶ σπουδήν,*

---

19 Eust. ad *Λ* 571 (p 863, 23)

---

6 *μήλινον* D 7 *περὶ* D 8 *αἰχμὰς* Hermann Opusc. V 153 *ἔχει* D *ὥστε* del. Nauck ad fr. Soph. 12 *πλακτὸν* D 14 *ἀχιλη ου* B *ἀχιλλείου* D; corr. r 16 *λέγοντος* Beck: *λέγοντες* 17 *πόρκης* Beck: *πόυκις* B *πόρκος* D 18 *δίκρυος* D *δίη* corruptum; *ἄρδις* Scaliger ad Euseb. Chron. p. 82 *αἰχμή* sch. Hom. Townl. *Π* 142 22 *γαίης* D 24 *κατεμαξευμένη* D 26 *πρότεροι* B: *πρεσβύτεροι* D 27 *γοῦν* D

τὸ ἐπαινεῖν τοὺς ἀγαθοὺς ἄνδρας ἀεί. b. μελέτην δέ φησι τὴν ἐπιμέλειαν. Ὅμηρος (Hes. op. 412)· μελέτη δέ τοι ἔργον ὀφέλλει.

94 a. τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον: πους μὲν BD νεὼς τὸ πηδάλιον. τὸ δὲ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἑλισσόμενον δονεῖ καὶ ταράσσει τὸν ἑκάστου θυμόν. οὐ τὸ παρεληλυθὸς οὖν ταράσσει, ἀλλὰ τὸ ἔτι εἱλούμενον. λέγει δὲ τοῦτο ὁ Πίνδαρος, ὅτι παρεξέβη εἰς τὸ ὑμνεῖν τοὺς Αἰακίδας· ἔργον δὲ οὐκ ἐξέλαβε τοῦτο, ἀλλ' εἰς τὸ ὑμνῆσαι τὸν Ἀλκιμίδην. διό φησιν· αὐτὸν ὑμνήσω. b. ὁ δὲ νοῦς· παραπεμψάμενος οὖν, φησί, τὰ παλαιὰ τῶν νέων καὶ παρόντων ἕξομαι· καὶ γὰρ ἐπὶ τῶν πλεόντων ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν καὶ ὁρώμενον τοῦ κυβερνῶντος ἀνδρὸς ταράσσει τὴν ψυχήν.

97 a. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος: BD μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων· σημαίνει γὰρ ὅτι ἑκουσίως ἐγὼ τοῦτο τὸ βάρος ὑπέμεινα δίδυμον ὑπάρχον· τοῦτο δέ φησιν, ἢ ὅτι σὺν τῷ τὸν Ἀλκιμίδην ὑμνῆσαι συμπαραλαμβάνειν μέλλει καὶ ἔπαινον τοῦ ἀλείπτου Μ·λησίου, ἢ τὸ τοῦ Ἀλκιμίδου καὶ τὸ τῶν Αἰγινητῶν· καὶ γὰρ ἐκείνους καὶ ἔτι τρίτον τοὺς Αἰακίδας ὕμνησε, καὶ αὐτὸν τὸν Ἀλκιμίδην. b. ὁ δὲ νοῦς· ἑκὼν γὰρ ἐδεξάμην ἐπὶ τοῖς ἐμαυτοῦ νώτοις τοῦτο τὸ φορτίον τὸ διπλοῦν, ἄγγελος καὶ κῆρυξ βου ηθεὶς γενέσθαι τῆς ἀρετῆς τῶν ἀνδρῶν, Ἀλκιμίδου καὶ Μελησίου. περὶ γὰρ αὐτῶν ἑξῆς φησιν ὡς εἰκοσιπέντε στεφάνους εἰληφότων τῶν ἀπὸ ταύτης τῆς φατρίας ἢ καθόλου τῶν Αἰγινητῶν. c. ἄλλως. φησὶν αὐτὸ τὸ προφθάσαν γένος εἰκοσιτέσσαρας ἐσχηκέναι νίκας, τὸν δὲ Ἀλκιμίδην εἰκοστὴν πέμπτην ταύτην νενικηκέναι. τοῦτο οὖν τὸ εἰκοστὸν πέμπτον σεμνο-

---

1 sch. Hes. op. 408. Suid. μελέτη 4 sch. κ 32

---

4 ἑλισσόμενον om. D πους B: τοὺς D 7 ἔτι B: ἔστι D 9 ἐξέλαβε B?r: ἐξέβαλε D εἰς delend. vid. 14 l. B: ἑκόντι δ' ἐγὼ ν. D ἑκοντὶ B 16 βάρος D: μέρος B 20 ὕμνησε Beck: ὕμνησα B?rD 24 στεφάνων D 26 αὐτὸ B: αὐτὸν D

λόγημα ἐξαγγέλλων, ὅπερ ἀπὸ τῶν ἀγώνων ἐδέξαντο, ἀγώνων δὲ τούτων οὓς ἱεροὺς καλοῦσιν, ἤτοι τοὺς περιοδικούς . . . .

d. . . . *εἰκοσιτέσσαράς φησιν. ὅπερ εὖχος καὶ σεμνολόγημα τὸ εἰκοστὸν πέμπτον ὁ Ἀλκιμίδης προσέθηκε καὶ ἐπήρκεσε παρασχεῖν νικήσας τὸν ἀγῶνα τῇ ἐνδοξοτάτῃ αὐτοῦ γενεᾷ.*

BD 104a. *δύο μὲν Κρονίου πὰρ τεμένει: ἐν Ὀλυμπίᾳ, φησίν, ἐνόσφισεν αὐτοὺς καὶ ἐχώρισεν ἡ προεξάνθησις τῶν τριχῶν· ἀπεκρίθησαν γάρ, ὡς οὐ παιδικὴν ἔχοντες ἡλικίαν διὰ τὸ προηνθηκέναι τὰς τρίχας. πρὸ ὥρας γοῦν τὸ ἄνθος αὐτοῖς τῆς ἥβης, φησί, συνεκληρώθη· οὗτος γὰρ κλῆρος ἄνθους. ὁ δὲ Πολυτιμίδας οἰκεῖος τοῦ Ἀλκιμίδου. κληρωθέντες οὖν οὗτοι παίδων ἀγωνίσασθαι, μεταξὺ γενειάσαντες, ἐξεκρούσθησαν τοῦ ἀγῶνος.* b. *ὁ δὲ νοῦς· δύο δὲ ἄνθη καὶ νίκας τῆς Ὀλυμπίας τῆς οὔσης παρὰ τῷ Κρονίῳ τεμένει ὁ προπετὴς κλῆρος ὑμᾶς ἀπεστέρησεν, ὦ Ἀλκιμίδη.*

BD 108a. *δελφῖνί κε τάχος δι' ἅλμας ἶσον εἴποιμι Μελησίαν: Μελησίας εἷς τῶν ἐνδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος, ἐπεὶ ταχὺ αὔξει τοὺς ὑπ' αὐτοῦ ἀλειφομένους καὶ κατάγει εἰς τοὺς ἀγῶνας. καὶ τοσοῦτόν φησι διαφέρειν τῶν ἄλλων ἀλειπτῶν τῷ ταχέως τοὺς ἀλειφομένους κατάγειν, εὐχερείας καὶ ἰσχύος ἡνίοχον ὄντα, ὅσον ὁ δελφὶς τῶν ἄλλων ἐναλίων τῷ τάχει διαφέρει.* b. *ἀντὶ τοῦ ἶσον ἂν εἴποιμι καὶ τὸν Μελησίαν τῷ ταχεῖ δελφῖνι τῇ τε ἰσχύϊ καὶ τῇ τέχνῃ.*

---

1 *ἐξαγγέλων* D *ἐδέξαντο* B^{pc}: *ἔξαντο* B^{ac} *ἐδέξατο* D 2 *τούτων* [B]r: *τοῦτο* D 2 3 lac. indic. b 4 *προσέθηκε* B: *προσήνεγκε* D *ἐπήρκεσε* a: *ἐνήρκεσε* 5 *εὐδοξ.* B? *αὐτοῦ*] + *νίκῃ* B, sed delet. *γενεᾷ* D: *γέννᾳ* B?r 6 l. B: *δύο μ. κρ.* D 8 *ἔχοντες* om. D 9 *τὸ* — 10 *φησί* B: *αὐτοῖς, φησί, τὸ ἄνθος τ. ἥβ.* D 10 *συνεπληρώθη· οὗτος γὰρ καιρὸς ἄνθους* Hermann 11 *ἄνθους*] *ἥβης* Hartung 14 *ὀλυμπιάδος* D 15 *ἡμᾶς* D *ἀλκιμίδα* D 16 l. B: *δελφίνι κε τάχος* D 17 *τῶν ἐνδόξων* om. D *ἐπαινεῖν* D 19. 20 *διαφέρει* B 20 *τῷ* B: *τὸ* D 21 *εὐχειρίας* D *δελφὺς* D 23 *μελησία* D *τῇ τε* — 24 *τέχνῃ* secl. h

Scholia in Nemeonicarum carmen VII.

Σωγένει Αἰγινήτῃ πεντάθλῳ παιδί. D

Τῆς ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβʹ. BD τὸ αʹ ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. τὸ βʹ ἐγκωμιολογικὸν λεῖπον τῷ ἐσχάτῳ ἰάμβῳ. τὸ γʹ ἐπιωνικόν, διὰ τὰς ἀντιπαθεῖς ἰάμβῳ. τὸ δʹ περίοδος διπλῆ, καὶ ἡ μὲν πρώτη ἀπόδοσίς ἐστι μέσος ἴαμβος, ἡ δὲ δευτέρα διπλοῦς τροχαῖος. λείπει. τὸ εʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὁ τρίτος ποὺς δάκτυλος συναλειφόμενος. τὸ ϛʹ χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ ζʹ Ἀνακρεόντειον ἐκ διπλοῦ πενθημιμεροῦς καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν. τὸ ηʹ ἰωνικὸν δίμετρον καταληκτικόν· ἡ γάρ πο συλλαβὴ βραχεῖα. τὸ θʹ τροχαϊκὸν Εὐριπίδειον διαλυθέν. τὸ ιʹ ἐπιωνικὸν ὅμοιον τῷ γʹ. τὸ ιαʹ ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβʹ ἰαμβικὸν ἐφθημιμερές.

ἡ δὲ ἐπῳδὸς κώλων ἑπτά. τὸ αʹ ⟨δίμετρον⟩ χοριαμβικὸν καὶ ἴαμβος καὶ συλλαβή. τὸ βʹ ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἡ πρώτη συζυγία τροχαῖος, εἶτα ἰωνική. τὸ γʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δʹ Φερεκράτειον ἢ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ εʹ Γλυκώνειον· ἡ

Codices **BD**, *si nihil aliud notatum est*

2 *σωγένι* D 4 *ἀναπαιστικὸν* D 5 *ἰάμβῳ*] + *ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτυν* mg. Brub. 5. 6 *διὰ τὰς ἀντιπαθεῖς ἰάμβῳ* D: .... (spat. 10 fere litt.) *παθεῖ ἰάμβῳ* B *ὅπερ ἀντιπαθεῖ τῷ ἰάμβῳ* r *ὅπερ ἀντιπαθεῖ ἰάμβῳ* a (de B falsus). Locus in archetypo legi non potuisse vid. 6 *διπλῆ* mg. Brub.: *β͡* BD, *δευτέρα* r 7 *ἴαμβος*] *διΐαμβος* Pauw; sed cfr. Aristid. p. 38 Mb. *ἡ δὲ δευτέρα* B: *ὁ δὲ βʹ* D 8 *λείπει* secl. Beck; cum duplex trochaeus (h. e. _ ∪ _ ∪ ∪ _ ∪ _) nusquam appareat, *λείπει* pro lacunae signo a librario additum fuisse recte statuisse vid. Pauw; cfr. ad 5. 6 *ἀκατάληκτον* Pauw: *καταληκτικόν* 10 *διπλοῦ πενθημιμεροῦς* (Pauw) Christ. Metr. Überlief. p. 14: *β͡ πενθημιμεροῦς* B *βʹ πενθημιμερῶν* D 11 *ἰαμβικῆς* del. Christ l. l. Potius scribend. *ἰαμβικοῦ καὶ συλλαβῆς* 12 *ἡ—βραχεῖα* ante *τὸ ηʹ* BD; trp. Ox. 14 *ἐφθημιμερές* mg. Brub.: *πενθημιμερές* 15 *δὲ* om. B *κώλων*] + *ἐστὶ* D suppl. b (post Brub., Pauw) 17 *ἡ πρώτη* B: *ἡ δὲ* D *διτρόχαιος* s. *τροχαϊκή* Pauw 18 *ἢ ἀναπ.—19 γλυκώνειον* om. D

μία ἀπόδοσις ἀντὶ τῆς ἰαμβικῆς συζυγίας τὴν χοριαμβικὴν ⟨ἔχει⟩ ὡς συγγενῆ. τὸ ς′ τροχαϊκὸν δίμετρον κατα ηκτικόν. τὸ ζ′ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, ἢ Ἀρχιλόχειον παρὰ μίαν συλλαβήν.

Inscr. *Πρῶτος ὁ Σωγένης Αἰγινητῶν ἐνίκησε παῖς ὢν πεντάθλῳ κατὰ τὴν τεσσαρεσκαιδεκάτην Νεμεάδα. ἐτέθη δὲ ὁ πένταθλος πρῶτον κατὰ τὴν τρισκαιδεκάτην Νεμεάδα.*

1a. *Ἐλείθυια πάρεδρε Μοιρᾶν: ζητεῖται διατί ἀπὸ τῆς Εἰλειθυίας εἰσβέβληκε, καὶ τί δήποτε τῇ Εἰλειθυίᾳ προσδιαλέγεται. ἔνιοι μὲν οὖν φασι νέον ὄντα τὸν Σωγένην ἑτέρου νικήσαντος αὐτὸν κατὰ χάριν ἀνηγγέλθαι τοῦ πατρὸς Θεαρίωνος εἰς τοῦτο φιλοτιμηθέντος, τὸν δὲ ἀγωνισάμενον Νεοπτόλεμον τοὔνομα Ἀχαιόν· παρὸ καὶ εἰς τοὺς ὑπὲρ Νεοπτολέμου τοῦ Ἀχιλλέως τὸν ποιητὴν παρεκβῆναι λόγους. αὐτοσχέδιον δέ φησι τοῦτο εἶναι ὁ Δίδυμος· οὐδεὶς γὰρ ἀφ' ἑτέρου ὀνόματος κηρύττεται, μόνον δὲ ἐν τοῖς ἱππικοῖς ἀγῶσι νενόμισται τὸ ἔθος, ὥστε τοὺς βασιλέας καὶ τυράννους ἀναγράφεσθαι πλούτου γὰρ καὶ χορηγίας τὴν ἱπποτροφίαν ἐπίδειξιν εἶναι* B *καὶ οὐ ῥώμης. ἔνιοι δέ φασι | πρὸς τοὔνομα τοῦ Σωγένους παρειλκύσθαι τὴν Ἐλείθυιαν· εἶναι γὰρ αὐτὴν σωγενῆ τινα διὰ τὸ τὰ γεννώμενα ἀνασῴζειν· τὸν οὖν Πίνδαρον ψυχρευσά-* BD *μενον | πρὸς τοὔνομα τῆς Εἰλειθυίας μεμνῆσθαι. καὶ τοῦτο δὲ οὐκ εὖ· τότε γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπῇ τις ὁμωνυμία· οἷον* (fr 120) *Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν, παῖ θρασύμηδες Ἀμύντα· καὶ* (fr. 105)*· Σύνες ὅ τι λέγω, ζαθέων ἱερῶν ὁμώνυμε πάτερ, κτίστορ Αἴτνας. νῦν δὲ*

---

1 *μία*] scribend. vid. *τετάρτη* (vs. 83) 2 suppl. b *καταληκτικόν* mg. Brub. (add. *ἢ καὶ περίοδος*): *ἀκατάληκτον* 3 *τρίμετρον* mg. Brub.: *δίμετρον* 4 *μίαν* om. D 6 *πεντάθλων* D *τεσσαρεσκαιδεκάτην* B: *κδ′* D *νδ′* (et 7 *νγ′*) Hermann ap. Boeckh. expl p. 416 *μα′* Gaspar chron Pind. p. 40 *μδ′* Wilamowitz Berl. Sitzungsber. 1908 p. 345, probabiliter 8 *μοισᾶν* B 10 *σωγένη* B 11 *ἀνηγγέλθαι* r: *ἀνηγγελθεν* D (de acc. n. l.); B l. n. 14 *ἀχιλέως* B *παρεκβῆναι* r: *παραβῆναι* B?D 16 *κηρύτεται* D 17 *ἀνγράφει* D 20 *σωγενη* B (s. acc.) *τινα* Ox.: *τινὲς* 21 *γενόμενα* r 25 *ὅττι* D

οὐδὲν τοιοῦτόν ἐστιν. ἔνιοι δὲ τὸν πατέρα τοῦ Σωγένους Θεαρίωνα τῇ Εἰλειθυίᾳ ἔφασαν ἱερᾶσθαι· ἀμάρτυρον δὲ καὶ τοῦτο. οἱ δὲ, ὅτι ἐν γειτόνων ἦν τῷ Σωγένει ἱερὸν Εἰλειθυίας. οὐδὲ τοῦτο δὲ ἱστορεῖται. ἄλλοι δὲ ἔφασαν, ὅτι τοὺς ἐκ φύσεως ἀγαθοὺς ἐπαινεῖ πάντοτε ὁ Πίνδαρος μᾶλλον τῶν ἐκ διδασκαλίας· καὶ ἡ Εἰλείθυια οὖν τὸν Σωγένην εὐθέως ὑπὸ τὴν γένεσιν ἐπιτήδειον κατεσκεύασε πρὸς ἄθλησιν. οἱ μὲν γὰρ ἄλλοι τῶν θεῶν αὐξανομένοις ἀγαθὰ δωροῦνται, ἡ δὲ Εἰλείθυια αὐτὴν τὴν πρώτην καταβολήν. ἔστι δὲ καὶ πρὸς τοῦτο λέγειν· τί δήποτε τὴν Ειλείθυιαν ἰδίως ἐπὶ τοῦ Σωγένους παρέλαβεν, ἀλλ' οὐχὶ καὶ ἐπ' ἄλλων εὐφυΐᾳ διενεγκόντων; Ἀριστόδημος δὲ ὁ Ἀριστάρχου μαθητὴς βέλτιον οὕτω φησίν· ὀψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν ἤδη προήκοντι, εὐξαμένῳ τῇ θεᾷ Σωγένην τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γέννησιν οἷον Εἰλειθυίας εἶναι χάριν. διὰ τὴν ἰδιότητα οὖν τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν θεὸν ταύτην ἐπήρεισε τὸν λόγον. ἐπιστοῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος Σιμωνίδου (fr. 166). ἑνικῶς δὲ εἶπεν Εἰλείθυια, ὡς καὶ Ἡσίοδος (th. 922)·

ἣ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτεν.

ὁ δὲ Ὅμηρος (*Π* 187 al.; *Λ* 270 al.) ἑκατέρως. ὅτι δὲ τῆς Ἥβης ἀδελφὴ ἡ Εἰλείθυια, πρόκειται τὰ Ἡσιόδου. b. ὁ δὲ νοῦς· ὦ Εἰλείθυια, παῖ μὲν τῆς μεγαλοσθενοῦς καὶ ἰσχυρᾶς Ἥρας, πάρεδρε δὲ τῶν συνετῶν Μοιρῶν. τοῦτο δέ φησιν, ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρεστάναι καὶ ἐπικλώθειν τὰ τῆς εἱμαρμένης.

3a. ἄνευ σέθεν οὐ φάος οὐ μέλαιναν δρακέντες: ἄνευ γὰρ σοῦ, ὦ Εἰλείθυια, οὔτε τὴν ἡμέραν οὔτε τὴν νύκτα

---

1 τοιοῦτον ἔστιν οὐδέν D θερίωνα D 3 ἐγγειτόνων D 5 πάντοτε B: διαπαντὸς D τῶν B: τὸν D 6 ὑπὸ D: ἐπὶ B 7 πρὸς B: πρὸς τὴν D 8 αὐξανομένης D 9 αὐτὴν B: αὐτὴ D κατ' αὐτὴν r 14 σωγένην a: σωγένη 16 γοῦν B 17 ὑπογράμματος r (B l. n.) 22 πρόκειται b: πρόσκειται 24 μυρῶν D 26 ἐπικλώθην D 28 οὔτε τὴν νύκτα οὔτε τὴν ἡμέραν B

θεωρήσαντες ἠδυνήθημεν τῆς σῆς ἀδελφῆς Ἥβης τυχεῖν. εἰκότως· οὐ γὰρ οἷόν τε μὴ γεννηθέντα καὶ ταῦτα ἰδεῖν καὶ αὐξηθῆναι. b. ἢ οὕτως· ἢ γὰρ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ γεννώμεθα, οὐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἐλάχομεν τὴν Ἥβην· οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ᾽ ἂν ἠκμάσαμεν. c. ἀγλαόγυιον δὲ αὐτήν φησιν, ἐπεὶ ὃν ἡβῶμεν χρόνον, εὐπρεπέστεροι αὐτοὶ ἑαυτῶν γινόμεθα. κἂν γὰρ αἰσχροὶ ὦσί τινες τὰς φύσεις, διαφορώτεροι ἑαυτῶν γίνονται κατὰ τὸν τῆς ἀκμῆς χρόνον.

7. *ἀναπνέομεν δ᾽ οὐχ ἅπαντες ἐπ᾽ ἴσα*: ζῶμεν δὲ οὐχ ὁμοίως πάντες, φησίν, ἀλλ᾽ οἱ μὲν πλουτοῦσιν, οἱ δὲ οὔ· καὶ οἱ μὲν ἔρρωνται, οἱ δὲ οὔ. εἶτα ἔξωθεν προσληπτέον τὸ πράγματα. διακωλύει δὲ ἕτερον ἕτερα, καὶ διαζεύγνυσιν ἡμᾶς ἀπ᾽ ἀλλήλων, ἢ ἀπ᾽ ἄλλων πραγμάτων, τὰ συγκεκληρωμένα ἡμῖν πράγματα.

9a. *σὺν δὲ τὶν καὶ παῖς ὁ Θεαρίωνος*: σὺν σοὶ δέ, ὦ Εἰλείθυια, ἀντὶ τοῦ διὰ σὲ γεγονὼς καὶ ὁ τοῦ Θεαρίωνος παῖς Σωγένης ἔκκριτος γενόμενος, ἔνδοξος καὶ ἀγωνιστικὸς ὑμνεῖται καὶ πένταθλος ἀγωνίζεται. εἰκότως δὲ οὕτως ἐστὶν ἔνδοξος, ἐπειδὴ καὶ τὴν εὔυμνον Αἴγιναν τὴν τῶν γενναίων Αἰακιδῶν οἰκεῖ. φιλόμολπον δὲ ταύτην καλεῖ διὰ τοὺς γράφοντας τοῖς νικῶσιν ἐπινίκους. σύμπειρον δὲ τὸ συμπεπερασμένον. σφόδρα δὲ ἀεὶ θέλουσι, φησί, τὴν ἑαυτῶν ψυχὴν οἱ Αἰγινῆται συμπεπερασμένην ἔχειν τῇ νίκῃ τῇ πενταθλικῇ. 16a

b. ἢ οὕτως· οἷον μὴ ἀπείρατοι τῶν ἀγώνων εἶναι, τουτέστι

---

1 ἐδυν. D 3 αὐξυνθῆναι D γενώμεθα D (B aegre legitur) 4 ἐλάβομεν B 5 ἐγεννήθην D 8 διαφορώτεροι D: εὐπρεπέστεροι B ἀκμῆς B: ἀκοῆς D 9 ἐπ᾽ ἴσα D: om. B(?) 11 ἔρρωνται Kayser lectt. Pind. p. 78: ἐρῶνται D ἐρωτῶνται ἢ ἐρῶνται B 12 δὲ D: γὰρ B ζεύγνυσιν Bergk 13 ἢ ἀπ᾽ ἄλλων om. D 15 θερίωνος D 16 καὶ D: ἢ B θερίωνος D 17 γινόμενος B 17. 18 ἔνδοξος τῇ ἀγωνιστικῇ ὑμνεῖται ὢν πένταθλος Kayser lectt Pind p. 78 18 ἀγωνίζεται corruptum (ei quod praecedit ἀγωνιστικός assimulatum); ἐγκωμιάζεται Mor. Schmidt haud male δὲ om. D οὗτος scribend. vid. 22. 23 οἱ αἰγινῆται om. B 23 πενταθλιστικῇ r πενταθλητικῇ b

πειρᾶσθαι θέλουσι τῶν ἀγώνων, ἐνεργεῖν θέλουσι διὰ τῆς πείρας. δύναται δὲ καὶ ἰδίως ἀκούεσθαι ὡς φιλοπεντάθλων ὄντων τῶν Αἰγ.νητῶν, ἐπειδὴ Πηλεὺς δοκεῖ εὑρηκέναι τὸν πένταθλον Αἰγινήτης ὑπάρχων καὶ Αἰακίδης. 16b

16a. *εἰ δὲ τύχῃ τις ἔρδων*: εἰ δὲ ἐπιτύχῃ τις πράσσων, τὴν ἡδεῖαν αἰτίαν τοῦ αὐτὸν ἐπιτετυχηκέναι ταῖς ῥοαῖς τῶν Μουσῶν ἐνέβαλε, τουτέστι τοῖς ὕμνοις τοῖς εἰς αὐτὸν γραφομένοις. 9b b. ὁ δὲ νοῦς· ἐὰν δέ τις σὺν εὐτυχίᾳ εἴη τι πράττων, ἡδεῖαν πρόφασιν τοῖς τῶν Μουσῶν ῥεύμασιν ἔδωκε.

18a. *ταὶ μεγάλαι γὰρ ἀλκαί*: αἱ γὰρ μεγάλαι δυνάμεις καὶ τὰ μείζονα κατορθώματα ὕμνων χρῄζοντα σκότον καὶ ἀφάνειαν ἔχουσιν. b. ἢ οὕτως· αἱ μεγάλαι ἀλκαὶ ὕμνων δεόμεναι σκότον πολὺν ἔχουσι, τουτέστιν ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν.

20a. *ἔργοις δὲ καλοῖς ἔσοπτρον*: τοὺς ἀγαθόν τι πράξαντας, φησί, φιλοτιμεῖσθαι δεῖ τὰ ἴδια ἔργα διὰ τῶν ποιημάτων καὶ παραδιδόναι ἔπειτα λαμπρότατα. b. ἄλλως. ἔσοπτρόν φησι τῶν καλῶν ἔργων τὸν ὕμνον εἶναι, ὅτι ὥσπερ ἡμεῖς διὰ κατόπτρου γινώσκομεν, οὕτω τὰ καλὰ ἔργα διὰ τῶν ὕμνων θεωρεῖται ὡς δι' ἐσόπτρου· κἂν τελευτήσωσιν οἱ πράξαντες, ἐμβλέψαντες ὡς εἰς κάτοπτρον ἀρετῆς τοὺς ὕμνους

3 Philostr. gymn. 3

1 τῶν — θέλουσι om. **D** 6 ἔρδων **D** (**B** l. n.) εἰ δὲ ἐπι[τύχῃ τις] **Br**: ἐὰν δέ τις ἐπιτύχῃ **D** 6 τοῦ] τὸ cj. h ⟨ἐκ⟩ τοῦ M. Schmidt αὐτὰ ἐπιτετευχέναι r (in **B** αὐτὸν ἐπι l. n.) ῥοαῖς **D**: πνοαῖς r (**B** l. n.) 8 εἴη σὺν εὐτ. τί **D** 9 ἡδεῖα **D** 10 αἱ — δυνάμεις **B**: αἱ μεγ. γὰρ ἀλκαὶ **D** 14 μὴ **B**: καὶ **D** 16 φιλοτιμεῖσθαι — 17 λαμπρότατα **BD** (ἔπειτα in **B** l. n.; λαμπρότ(α)τ(α) s. -τ(η)τ(α) cp **BD**); τιμᾶσθαι δεῖ διὰ τῶν ποιημάτων καὶ παραδιδόναι τὰ καλὰ ἔργα τοῖς ἔπειτα λαμπρότατα b φιλοτιμεῖσθαι. δεῖ τὴν ἰδέαν τῶν ἔργων διὰ τῶν ποιημάτων παραδιδόναι .... ἔπειτα λαμπρότητα Hartung 16 τὰ ἴδια ἔργα] ἀΐδια τὰ ἔργα Wiskemann p. 19 17 καὶ del. M. Schmidt, ft. recte. — Locus corruptus; τοῖς recte supplevisse vid. b; sed λαμπρότατα (h. e. λαμπρότητα) glossema est vocabuli ἔσοπτρον, cfr. 20c 19 ἡμεῖς **BD**; ἡμᾶς b δέμας s τὸ εἶδος Hartung διὰ (pr.) **D**: διὰ τοῦ **B** γινωσκόμεθα Wiskemann 21 ὡς om. **B**

ἀντιλαμβανόμεθα τῶν καλῶν ἔργων. c. *ὁ δὲ νοῦς· τοῖς δὲ καλοῖς ἔργοις λαμπρότητα ἴσμεν ἑνὶ τρόπῳ γινομένην, διὰ δὴ τῶν ὕμνων.*

25a. *σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον:* *οἱ μὲν οὕτως· ὥσπερ τῶν κυβερνητῶν οἱ σοφοὶ ἐπιτηδείου πνέοντος ἀνέμου οὐχ ὑπτιοῦνται πρὸς τὸ παρὸν ἀγαθόν, ἀλλὰ καὶ μετὰ τρεῖς ἡμέρας ἐσόμενον ἄνεμον προγινώσκουσι καὶ προορῶσι τὸ μέλλον· οὕτω καὶ τοὺς ἀνθρώπους τοὺς συνετοὺς προσῆκόν ἐστι μὴ τῷ παρόντι πλούτῳ βουκολεῖσθαι τὰς ἐλπίδας, ἀλλὰ φροντίζειν τοῦ μετὰ ταῦτα καὶ ἄξιόν τι δρᾶν, ὅπως καὶ μετὰ ταῦτα ὑμνηθέντες ἀθάνατον ἔχωσι τὴν εὐδοξίαν. καὶ γὰρ οἱ πλούσιοι καὶ οἱ πένητες ὁμοίως τελευτῶσι. διὸ δεῖ τῆς μετὰ ταῦτα μελλούσης εὐδοξίας φροντίζειν. οἱ δὲ οὕτως· ὥσπερ γὰρ τῶν ἐν εὐδίᾳ πλεόντων οἱ σοφοὶ καὶ τῶν μετὰ ταῦτα ἀνέμων φροντίζουσι, καὶ οὐχὶ διὰ τὸ παρὸν κέρδος, κέρδος δὲ τὸ τοῦ πλοῦ εὔδιον, ἐζημιώθησαν τὸν μετὰ ταῦτα πλοῦν, οὐδὲ ἀπώλοντο ἀμελήσαντες, ἀλλὰ καὶ ⟨τὰ⟩ μετὰ ταῦτα προορώμενοι καὶ ἀσφαλισάμενοι ἐσώθησαν· οὕτω δέον μὴ φιλοκερδεῖς εἶναι, ἀλλὰ προΐεσθαι τοῖς ποιηταῖς μισθόν, ὅπως ἂν σχῶσι τῆς ἀρετῆς ἀδιάλειπτον τὴν μνήμην. ὅτι δὲ φιλοκερδὴς πανταχοῦ ὁ Πίνδαρος, ἐκ τῶν φθασάντων δῆλός ἐστιν. οἰκειοτέρα δὲ αὕτη ἡ ἐκδοχή, ὡς ἐξ ὧν ἐπάγει. φησὶ γὰρ ὅτι ὁμοίως καὶ ὁ πλούσιος καὶ ὁ πένης τελευτᾷ· διὸ δεῖ τὸν πλούσιον τῆς μετὰ ταῦτα εὐδοξίας φροντίζειν. οὐ γάρ ἐστιν ἀργυρίῳ τὸν θάνατον παραιτήσασθαι.* b. *ὁ δὲ νοῦς· οἱ σοφοὶ δὲ τῶν κυβερνητῶν προορῶνται, τίς ἐπὶ τρεῖς ἡμέρας πνεύσεται ἄνεμος, ἢ τίς εἰς τρίτην ἡμέραν πνεύσεται.*

29a. *ἐγὼ δὲ πλέον ἔλπομαι λόγον:* *ἐγὼ δέ, φησίν,*

---

2 *δὴ* om. D 6 *καὶ* om. B *καὶ ⟨τὸν⟩ μετὰ* M. Schmidt 8 *τῶν ἀνθρώπων* D 10 *τοῦ μετὰ ταῦτα* B: *τῶν μετ' αὐτ(ῶν?)* D 14 *τῶν ἐν εὐδίᾳ πλεόντων* M. Schmidt: *τῶν διαπλεόντων* B *διὰ τῶν πλεόντων* D 15 *παρὸν – 16 εὔδιον* B: *παρὸν δὲ κέρδος τὸ τοῦ πλοῦ δὲ κέρδος εὔδιον* D 16 *τὸν μετὰ* om D 17 suppl. b 22 *δὲ* om. D *ὡς ⟨δῆλον⟩ ἐξ ὧν* cj. Abel probabiliter *γὰρ* B: *δὲ* D 27 *τίς* B: *τί* D 28 *λόγον* om. B

ἐλπίζω αὐτὸν μὴ τοσαῦτα πεπραχέναι μηδὲ τοιαῦτα τὸν Ὀδυσσέα, οἷα Ὅμηρος κεκήρυχε περὶ αὐτοῦ. ἀγαθοῦ γὰρ τυχὼν ποιητοῦ ἐνδοξότερα καὶ μείζονα ἔσχεν ἔργα ἢ κατώρθωσε· δυνατοὶ γάρ εἰσιν οἱ ποιηταὶ τὰ τυχόντα ἔργα μεγαλύνειν καὶ αὔξειν. διὸ καὶ σὺ φρόντιζε τοῦ ὑμνεῖσθαι. b. ὁ δὲ νοῦς· ἐγὼ δὲ μᾶλλον ἐλπίζω διὰ τὴν Ὁμήρου ποίησιν ζῆν ἐπιπλέον καὶ θρυλλεῖσθαι τὴν Ὀδυσσέως εὐδοξίαν. τοῖς γὰρ περὶ Ὀδυσσέως κεκηρυγμένοις σεμνότης τις ἐπήνθει. ποτανὴν δὲ μηχανὴν τὰ ποιήματα εἶπε, καθὸ ὑψοῖ καὶ μετεωρίζει τὰς ἀρετὰς τῶν ὑμνουμένων, ἢ καθὸ τὰ ἔπη κοινῶς λέγεται παρ' Ὁμήρῳ πτερόεντα, ἢ διὰ τὸ οὕτω μεμηχανῆσθαι ὥστε κατὰ πᾶσαν χώραν πέτεσθαι καὶ διϊκνεῖσθαι.

33a. σοφία δὲ κλέπτει παράγοισα μύθοις: ἡ τοῦ Ὁμήρου σοφία κλέπτει τὸν νοῦν ἡμῶν, ὥστε τὰ ψευδῆ δοκεῖν ἀληθῆ εἶναι διὰ χάριν καὶ σεμνότητα. ἡ ἀπότασις πρὸς τὰ ἑξῆς ἱστορούμενα περὶ τοῦ Αἴαντος. b. καθόλου ἡ σοφία ἔχει κλέψαι τὸν νοῦν τῶν ἀνθρώπων. c. ἢ οὕτως· ἡ δὲ σοφία καὶ ὁ λόγος ἱκανός ἐστί τινα παραπείθων ὑποκλέψαι τὴν ἀλήθειαν· τυφλὸν γὰρ καὶ ἀνόητον ἦτορ ἔχει ὁ πολὺς τῶν ἀνδρῶν ὄχλος. βούλεται δὲ τὸν δημώδη λέγειν.

35a. εἰ γὰρ ἦν ἑὰν ἀλάθειαν: ἔνιοι μὲν ἀνέγνωσαν ἑάν δασέως, ἀντὶ τοῦ τὴν ἑαυτοῦ· βέλτιον δὲ ψιλῶς, ὡς καὶ Διονύσιος ὁ τοῦ Χαρμίδου. b. ἄλλως. εἰ γὰρ ἦν τὴν οὖσαν καὶ δέουσαν ἀλήθειαν πάντας γινώσκειν, οὐκ ἂν οὐδὲ ὁ Αἴας τῶν ἀριστείων ἐστερήθη, εἰ μὴ διὰ τὴν τῶν κρινάντων ὄχλων ἀμαθίαν, καὶ διὰ τὴν ὀργὴν ἐνέπηξε κατὰ τῶν φρενῶν ἑαυτοῦ τὸ ξίφος.

39a. λευρὸν ξίφος: λευρὸν οἱ μὲν τὸ πλατύ· βέλτιον

---

28 sch η 126. Ap. soph. 108, 14. Hes. λευρῷ, al.

---

3 post ἐνδοξότερα desiderat δοκοῦντα M. Schmidt 7 τὴν ὀδ. εὐδοξίαν B: τὸν ὀδυσσέα D 8 ποτᾶνον D 9 μετωρίζει D 10 ὑμνουμένων B: ὕμνων D 12 πετᾶσθαι D 16 τοῦ om. D 17 ἔχει ⟨τὸ⟩ h 19 ἦτορ B: τὸ ἦτορ D 22 τὴν om. D 23 διόνυσος D 25 sq. „Exspectes οὐδὲ διὰ τ. τ. κ. ὄ ἀμαθίαν καὶ διὰ etc.“ b 28 l. B: + ὃν κράτει (s. s. ï) D λευρὸν om. D

δὲ τὸ πλάγιον ἀκούειν, ἵνα νοήσωμεν οὐχὶ τὸ καθ' ἑαυτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγίως ἐνεχθέν. οὕτω γὰρ καὶ ὁ Εὐφορίων (fr. 40) τὴν πληγὴν ὑπεστήσατο·

πλευρά τε καὶ θώρηκα διήρικεν ἰνίου ἄχρις.

b. τοῦ δὲ ὃν κράτιστον καὶ ἑξῆς, ὁ νοῦς οὕτως· ὅντινα ἤγαγον αἱ τοῦ Ζεφύρου πνοαί, τῷ ξανθῷ Μενελάῳ τὴν δάμαρτα κομίσαι εἰς Ἴλιον. Ὅμηρος (*B* 768)·

ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
ὄφρ' Ἀχιλεὺς μήνιεν.

44a. ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμα: πάντες γὰρ ἀποθνήσκομεν καὶ οἱ ἄξιοι καὶ οἱ μή. καὶ τὸ κῦμα, φησί, τοῦ ᾅδου ἐνέπεσε τῷ ἀδοκήτῳ· τῷ μὴ δοκοῦντι νῦν τελευτήσειν, ἀλλὰ μετὰ ταῦτα, ἐξαίφνης ἐμπίπτει ὁ θάνατος. ἢ ἀδόκητον κέκληκε τὸν ἄδοξον, δοκέοντα δὲ τὸν ἔνδοξον· δοκεῖν γὰρ καὶ δοξάζειν ταὐτόν. ἐπεὶ οὖν ὁ θάνατος καὶ τὸν ἔνδοξον καὶ τὸν ἄδοξον συναναιρεῖ, σὺ ὁ μεγάλα κατεργασάμενος τῷ αἰῶνι παρακατατίθεσο τὴν μνήμην διὰ τῶν ποιημάτων.

b. ἄλλως. ἀδόκητον τὸν νεώτερόν φησιν· οὐ γὰρ προσδοκᾷ ταχέως τὸ ἀποθανεῖν· δοκέοντα δὲ τὸν πρεσβύτην· προσδοκᾷ γὰρ τὸ ἀποθανεῖν. ἐμπίπτει, φησίν, ὁ θάνατος ὁμοίως καὶ πρεσβυτέροις καὶ νεωτέροις. τὸ δὲ σύμπαν τῆς διανοίας τοιοῦτόν ἐστι· τὸ μὲν ἀποθανεῖν καὶ τοῖς νεωτέροις καὶ τοῖς πρεσβυτέροις ἐμπίπτει· ἐκείνων δὲ ἡ τιμὴ καὶ ἡ δόξα αὔξεται, ὧν ἂν ἡ Μοῦσα αὐξήσῃ τὸν ἐγκωμιαστικὸν λόγον. βούλεται δὲ εἰπεῖν, ὅτι ἀθάνατος ἡ μνήμη τῶν ἐγκωμιαζομένων.

46a. τιμὰ δὲ γίνεται, ὧν θεὸς ἁβρὸν αὔξει λόγον: ἁβρὸν λόγον τὰ ἐγκώμιά φησι, θεὸν δὲ τὴν Μοῦσαν.

b. ὁ δὲ νοῦς· τούτων δὲ τιμὴ γίνεται τεθνηκότων, ὧν ἂν θεὸς αὔξῃ λόγον, τουτέστιν ὁ ποιητὴς ἐμπνευσθεὶς ὑπὸ τῶν θεῶν. τινὲς δὲ τὸ τεθνακότων πρὸς τὸ ἑξῆς.

4 διήρικεν Beck: διήρεικεν 6 ξάνθης D 8 ἔην B: εἴη D 9 ἀχιλλεὺς D 10 κῦμα om. B 12 ἐνέπεσε ⟨καὶ⟩ τῷ ἀδ. cj. Abel 14 δοκεῖν — 15 ταὐτόν post 13 θάνατος trp. Schr. 14 δοκεῖ D 16 συναιρεῖ D 19 δὲ om. D 20 ἐμπίπτει B: ἐκπίπτει δέ D 22 ἐστι om. D 29 αὔξῃ B: ἂν ᾖ D

47. *τεθνακότων βοαθόων*: πρὸς τὸ ἓν ἀκουστέον ἄχρι τοῦ ἐπεὶ πράθε, καὶ γραπτέον ἐν τῷ ε ἔμολεν, ὡς Δίδυμος, ⟨ὅς⟩ καὶ ὑφ' ἓν ἀπὸ τοῦ τεθνακότων ἕως τοῦ πράθεν ἀναγινώσκει. τὸ δὲ ὅλον τοιοῦτον· ἔμολε παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου χθονὸς Νεοπτόλεμος, Πριάμου πόλιν ἐπεὶ πράθε· τεθνηκότων δὴ τῶν βοηθῶν ἐν Πυθίοις δαπέδοις κεῖται. ποίων δὲ βοηθῶν; τῶν περὶ τὸν Εὐρύπυλον, οὓς αὐτὸς ὁ Νεοπτόλεμος ἀνελὼν ἐπόρθησε τὴν Ἴλιον. οὕτω γὰρ ἴδιος ὁ πόνος ἔσται τοῦ ἥρωος. δοκεῖ δὲ ὁ Νεοπτόλεμος ἐν Δελφοῖς ἀνῃρῆσθαι καὶ τεθεῖσθαι ἐν τῷ ναῷ. ἐὰν δὲ ἐπὶ τῶν περὶ τὸν Ἕκτορα, καθὼς Ἀρίσταρχός φησιν, ἀναδράμωμεν, πρῶτον μὲν μακρόθεν ἔσται τὴν πόρθησιν συνάπτων, δεύτερον δὲ ἐπὶ τὴν κοινότητα μεταβησόμεθα, δι' ἧς τὸ ἐγκώμιον οὐκ ἔσται. εἰ δὲ γράφεται ἔμολον, τῷ πληθυντικῷ ἀντὶ τοῦ ἑνικοῦ χρᾶται, ὥστε ὅμοιον εἶναι τῷ· ὁ δὲ ἀποπλέων Σκύρου μὲν ἅμαρτεν, ἵκοντο δὲ εἰς Ἔφυραν, ἀντὶ τοῦ ἵκετο. εἰς δὲ τὸ προκείμενον τείνων παρέθηκε τὴν τοῦ Νεοπτολέμου ἀπώλειαν, ὅτι ἀδοκήτως αὐτῷ συνέβη.

53. *τᾷ καὶ Δαναοὶ πόνησαν*: ὑπὲρ ἧς, φησί, καὶ οἱ Ἕλληνες ἐταλαιπώρησαν, ἢ ἐφ' ᾗ, ἢ ἐν ᾗ· ἢ ταύτῃ καὶ οἱ Δαναοὶ πόνησαν, ᾗ καὶ ὁ Νεοπτόλεμος· παρόσον ἀπονοστοῦντες οἴκαδε χειμῶσιν ἐχρήσαντο καὶ ὁ Νεοπτόλεμος καὶ οἱ Ἕλληνες. Ἔφυραν δὲ εἶπε νῦν τὴν ἐν Ἠπείρῳ, ἣν Κιχυρόν φησι μετωνομάσθαι ἀπὸ Κιχύρου τοῦ Μέρμου. τέσσαρας δὲ

---

28 sch. *β* 328. Eust. ibid. p. 1448, 34 (cfr. 301, 3). Strab. VII p. 324. Hes. s. v. *Ἐφύρη*. — Parthen. 32 24—p. 124, 6 cfr. Eust. ad *B* 603, p. 300, 45. sch. Z 152. *N* 301. *α* 259. Eust. ibid. p. 1415, 50. Strab. VIII p. 338

---

2 *τοῦ* **B**: *τὸ* **D** *ἐν*] *σὺν* cj. Abel *ε*] *ν'* (h. e. *πεντηκοστῷ*) Beck 3 suppl. b 4 *ἀναγινώσκειν* **D** *τὸ γὰρ ὅλον εἰσὶ τοιοῦτον* **D** 7 *δὲ* **B**: *δὴ* **D** *περὶ* **B**: *παρὰ* **D**; item 10 8. 9 *ὁ πόνος ἔσται* **B**: *ἐστὶν ὁ πόνος* **D** 10 *τεθῆσθαι* **D** 14 *τοῦ* om. **B** 15 *κέχρηται* **D** 19 *πόνεσαν* **B** 19. 20 *καὶ οἱ ἕλλ φησὶν* **D** 20 *ἢ ἐν ᾗ ἢ* **B**: *καὶ ἐν ᾗ ἢ ἐν* **D** 21 *ᾗ* Bergk: *ἢ* 22 *καὶ οἱ ἕλλ. καὶ ὁ νεοπτ.* **D** 24 *φησὶ* **BD**: *φασὶ* h *φησι ⟨δίδυμος⟩* cj. Abel, praeeunte b *μέρμου* **BD**: *μερμέρου* Brub. ft. recte

ἀναγράφει τὰς Ἐφύρας· πρώτην μὲν τὴν αὖθις Κόρινθον ὀνομασθεῖσαν· Ὅμηρος (Ζ 152)· ἔστι πόλις Ἐφύρη. ἑτέραν δὲ τὴν περὶ Θεσσαλίαν· Ὅμηρος (α 259)·

ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο.

τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἱππίας μνημον.ύει (FHG II 61 M., I 158 J.). τετάρτην τὴν ἐν Θεσπρωτοῖς. συνήθως δὲ ὁ Πίνδαρος τῷ τῆς λέξεως κέχρηται σχήματι, συντάξας τῷ ἑνικῷ πληθυντικόν· ὁ δὲ ἀποπλέων Σκύρου μὲν ἅμαρτεν, ἑνικόν· ἵκοντο δὲ οὐκ ἐπήνεγκεν ἑνικὸν, ἀλλὰ πληθυντικὸν ἑνικῷ.

56a. *Μολοσσίᾳ δ' ἐν βασίλευεν ὀλίγον χρόνον*: ἀνάγει τοὺς χρόνους· ὕστερον γὰρ ἀπὸ Μολοσσοῦ τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης τοὔνομα ἔλαβεν ἡ Μολοσσία. παρεκβαίνει δὲ εἰς τὰ περὶ Νεοπτολέμου, ὡς μὲν Ἀρίσταρχος, ὅτι ⟨ὁ⟩ νικήσας καὶ χαρισάμενος τὴν ἀνάρρησιν τῷ Σωγένει Νεοπτόλεμος ἦν τοὔνομα, Ἠπειρώτης τὸ γένος, ὅπερ οὐχ οὕτω φησὶν ἔχειν ὁ Δίδυμος· ὡς δὲ Ἀριστόδημος, ὅτι ἀλείπτῃ ἐκέχρητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος τῇ ἡρωϊκῇ κέχρηται παρεκβάσει. b. ὁ δὲ νοῦς· τὸ γένος τοῦ Νεοπτολέμου τὸ τῆς βασιλείας γέρας ἔσχεν ἀεί. δοκοῦσι γὰρ οἱ ἀπὸ Νεοπτολέμου βεβασιλευκέναι ἐπὶ πλεῖον.

58. *ᾤχετο δὲ πρὸς θεόν*: διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δελφοὺς Νεοπτόλεμος· καὶ οἱ μέν φασιν ὅτι παίδων αὐτῷ οὐ γινομένων ἐξ Ἑρμιόνης ἦλθε παρὰ τοῦ θεοῦ πευσό-

---

11 sch. Eur. Andr. 24. 33. Serv. ad Aen. 3, 297 21—p. 125, 18 sch. Eur. Or. 1655. Mythogr. Graec. ed. Westerm. p. 378, 14

---

1 πρῶτον B αὐτις B 3 περὶ θεσσαλίαν B: παρὰ θαλασσίαν D 4 ἐφέρης B? ἀνιόντ(α) B 5 περὶ ἦλιν Palmer ap. Ox. (τὴν περὶ ἦλιν Abel add. p. 519): περὶ μῆλιν B παρὰ μῆλιν D (Ἐφύρη νῆσος περὶ Μῆλον sch. Ζ 152 vix huc pertinet) 7 σχήματι κέχρηται D 8 ἑνικόν — 9 ἐπήνεγκεν om. D 9 πληθυντικῷ D 10 χρόνον om. D 12 ἡ B? (aegre legitur) r: ὁ D 13 ἀρίσταρχος] ἀριστόνικος fuisse susp. Horn p 66 14 suppl. Mor. Schmidt, Horn καὶ ὁ χαρισάμενος D τῷ σῷ γένει B? r D; corr. Beck 16 δὲ B: ὁ D ἀριστόδημος D: ἀρίσταρχ(ος) B 21 διάφορος αἰτία δι' ἂν D 23 αὐτῶν οὐχὶ γιν. ἡ ἑρμιόνης D

μενος ὡς παιδοποιήσεται· οἱ δὲ ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσου πράγμασι διαρπάσαι πρῶτον ἐπέβαλε τὸ ἐν Δελφοῖς ἱερὸν ἤτοι χρηστήριον· ἄλλοι δὲ ὅτι δίκας αἰτήσων τοῦ πατρὸς τὸν θεόν·

ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐπὶ Σκαιῇσι πύλῃσιν (X 359).

οὐκ ἔοικε δὲ συγκατατίθεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις, ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν θεόν.

62a. ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ: φασὶ τοῦ Νεοπτολέμου θύοντος τοὺς Δελφοὺς ἁρπάζειν τὰ θύματα, ὡς ἔθος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα διακωλύειν· αὐτοὺς δὲ διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας.

b. ἄλλως. Ἀσκληπιάδης διὰ τῶν Τραγῳδουμένων (FHG III 303 M., I 171 J.) φησὶν οὕτως· περὶ μὲν οὖν τοῦ θανάτου σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οὐδὸν τοῦ νεώ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν, καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. τὸν δὲ Μαχαιρέα φησὶν υἱὸν εἶναι Δαίτα.

c. τρεῖς δὲ αἰτίας ὑπὲρ τοῦ θανάτου τοῦ Νεοπτολέμου πορίζεται· πρῶτον μέν, ὅτι τὸ πεπρωμένον αὐτῷ ἀπέδωκε· δεύτερον δέ, ὅτι πρέπον ἦν ⟨ἕνα⟩ τῶν Αἰακιδῶν καὶ ὀφειλόμενον σύνοικον εἶναι τῷ Ἀπόλλωνι· ἐτάφη γὰρ ὑπὸ τὸν οὐδὸν τοῦ ἱεροῦ· ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσι. λέγεται γάρ, ὅτι μετὰ τὸ θῦσαι ἐναγισμοὺς ἐπέσπενδον.

68a. ἡρωΐαις δὲ πομπαῖς: γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια, ἐν οἷς δοκεῖ ὁ θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας.

---

3. 4 τον θεὸν τοῦ πατρός D 6 ἐπὶ] ἐνὶ codd. Hom. 7 συγκ. ταύταις τ. αἰ. ὁ πίνδ. D 10 τοὺς δελφοὺς Stephanus: τοῖς δελφοῖς ἁρπάζει D 11 τὸν r: τοὺς BD 13 ἀσκληπιάδ(ης) B ἀσκληπιάδας D διὰ BD; δὲ ια' b δὲ α' s. δ' Müller (cfr. Nauck Philol V 698) 14 οὖν om. D 15 μὲν B: μὲν οὖν D 16 τραφῆναι D νεὼ B: γε ὦ D 18 υἱὸν om. D δαῖτα BD; corr h, qui ⟨τοῦ⟩ δαίτα cj. 21 δὲ om. B πρέπον] πεπρωμένον cj. Abel, cl. p. 126, 11 suppl. Abel indidem 23 ἡ δὲ τρίτη B: ὁ δὲ γ' D 27 ὁ B: ἡ D

εἶναι οὖν μόρσιμον ἐν ταῖς πομπαῖς ταῖς ἡρωΐαις καὶ ταῖς πανηγύρεσιν, ἐν αἷς ἐκήρυσσον τοὺς ἥρωας, θυσίαις ταῖς πολυθύτοις ἐπισκοπεῖν μετὰ Θέμιδος καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἐφορῶντα. b. ὁ δὲ νοῦς· ταῖς δὲ ἡρωϊκαῖς πομπαῖς καὶ πανηγύρεσι ταῖς πολυθύτοις οἰκεῖν προσῆκον τὸν Νεοπτόλεμον ὄντα δίκαιον ἔφορον.

70. *εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει*: Ἀρίσταρχος οὕτως· ἐπεὶ μέμψις τοῖς Αἰγινήταις πρὸς τὸν ποιητὴν ἦν χάριν τοῦ Νεοπτολέμου, εἰς τὴν ἀπολογίαν τὴν περὶ Νεοπτόλεμον δικαίως διαρκέσει τρία ἔπεα, φησίν· ὅτι μόρσιμον ἦν αὐτῷ οὕτω τελευτῆσαι, καὶ ὅτι πεπρωμένον ἦν ἕνα τῶν Αἰακιδῶν ἀποθανόντα τεθῆναι ἐν τῷ ναῷ, τρίτον ὅτι ταῖς ἡρωΐαις πομπαῖς ἕνα τῶν Αἰακιδῶν θεμίσκοπον εἶναι. τρεῖς οὖν φησι λόγους ἱκανοὺς εἶναι εἰς τὴν εὐώνυμον δίκην· οἷον ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμεῖται, τοῦ δικαίως αὐτῷ συμβεβηκέναι τὸν θάνατον. ἔνιοι δὲ οὕτως ἀπολογοῦνται περὶ τῆς τοῦ Νεοπτολέμου τελευτῆς, τρία φέροντες ταῦτα, ὅτι τὸ ὑπὲρ τῶν κρεῶν εἰπεῖν ἀνῃρῆσθαι, καὶ ὅτι οἱ Δελφοὶ ἐβαρύνθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ, καὶ ὅτι πεπρωμένον ἦν αὐτὸν ἀναιρεθῆναι. ὁ δὲ Ἀριστόδημος ἔπεα τρία τὰς τριάδας ἀκούει· τὴν γὰρ ἀρχὴν ἔπος προσηγόρευον τὴν στροφὴν καὶ τὴν ἀντιστροφὴν καὶ τὴν ἐπῳδόν· τρεῖς δὲ λοιπὸν ὑπεῖναι τῷ ἐπινίκῳ τριάδας.

73. *Αἴγινα, τεῶν Διός τ' ἐκγόνων*: ὦ Αἴγινα, τῶν τε σῶν καὶ τοῦ Διὸς ἐκγόνων, τῶν Αἰακιδῶν δὲ λέγει, τὸ ταῖς

---

3 ἐπισκοπεῖν] ἐπίσκοπον οἰκεῖν b. Locus corruptus θέμιλος **D** καὶ delend. cj. Abel νομικῶς **D** **5** ταῖς **B**: τοῖς **D** **7** διαρκέσει om. **D** **10** περὶ **B**: παρὰ **D** δικαίου **D** **11** ὅτι **B**: ὅτε **D** **12** ἕνα — **13** πομπαῖς om. **D** **13** ⟨προσῆκεν⟩ ἕνα cj. Abel **14** ab τρεῖς nov. sch. incipere vid. **16** αὐτῷ **B**: αὐτὸν **D** **16—20** fuisse vid.: ἔνιοι δὲ οὕτως ἀπολογεῖται . . ., tum: ὅτι τε ὑπὲρ τῶν κρεῶν εἶπεν ἀνῃρῆσθαι. Sed φέροντες non expedio **19** ἐβαρύνθησαν om. **D** τῇ ἀπωλείᾳ **B** Tricl.: τῆς ἀπωλ(είας) **D** ὅτι **B**: ὅταν **D** **21** ἀκούει **B**: ἀκόυ^α **D** **22** καὶ τὴν ἀντιστρ. om. **D** ἀντίστροφον? ἐπῳδήν **D** **23** λοιπὰς **D** **25** τε σῶν scripsi: τεῶν **B** τεδῶν **D** τὸ **BD**; τὴν h

λαμπραῖς ἀρεταῖς, αἷς οἴκοθεν ἔχετε, ὁδὸν κυρίαν λόγων, ἀντάξιον, κυρίως ἔχουσαν, εἰπεῖν ἀδύνατόν μοι καὶ τολμηρὸν τυγχάνει. τοῦτο δέ φησιν ὡς οὐ δυνησόμενος θρασέως τὴν τῶν Αἰακιδῶν ἀρετὴν διεξιέναι· πολλοῖς γὰρ ἀνήνυτόν φησι τοῦτο.

76. *ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ: βούλεται ἤδη λῆξαι τῆς περὶ Νεοπτόλεμον παρεκβάσεως. ἀναπαύσομαι ἤδη λέγων περὶ αὐτοῦ, ἐπεὶ κόρος ἔπεστι πᾶσι. κόρον γὰρ ἔχει καὶ τὸ μέλι, φησί, καὶ τὰ Ἀφροδίσια. παρὰ τὸ Ὁμηρικόν* (*N* 636)· *πάντων μὲν κόρος ἐστί.*

79. *φυᾷ δ' ἕκαστος διαφέρομεν: διαφέρομεν, φησίν, ἄλλοι ἄλλων τῇ φύσει· οὐ πρὸς πάντα πάντες εὐφυεῖς ἐσμεν, ἀλλ' ἄλλοι περὶ ἄλλα·*

ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις (ξ 228)·

τὸ δὲ τυχεῖν πάντων τῶν ἀγαθῶν ἕνα καὶ παραμεῖναι αὐτῷ μέχρι τέλους ἀδύνατον.

85. *Θεαρίων, τὶν δ' ἐοικότα: σοὶ δέ, φησίν, ὦ Θεαρίων, ἡ τύχη καιρὸν εὐδαιμονίας ἁρμόδιον δωρεῖται, ὅτι γεγηρακότι ἀνακουφίζεταί σοι τὸ γῆρας ταῖς τοῦ παιδὸς εὐδοξίαις.*

87. *τόλμαν τε καλῶν ἀραμένῳ: ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν* (fr. 231)· *ἡ μὲν σύνεσις προεπισκοποῦσα, πῶς ἐκβήσεται, ἡ δὲ τόλμα ἐγχείρησις οὖσα. θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων* (η 51). 97a

89a. *ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων ψόγον: ξένος* B *εἰμί, φησί, τῶν Αἰγινητῶν, τὸν ἐπισκοτοῦντα ψόγον ἀπέχων.*

---

9 sch. *N* 636 25 cfr. sch. η 51

---

1 *ἔχεται* D *ὁδὸν* ⟨*λόγων*⟩ cj. Abel *λόγων* B: *λόγον* D edd. 7 *παραβάσεως* D 8 *ἐπειδὴ* D *κόρος* Brub.: *κότος* B *κόπος* D 9 *ἔχει φησὶ καὶ τὸ μέλι* D 10 *κόρος μὲν πάντων ἐστί* D 14 *ἄλλος γάρ* B: *ἀλλά* D *ἐπιτέρπετ'* B? 15 *τῶν* om. B *ἀμαθῶν* D 22 *τέ μιν* Beck: *τὲ μὲν* B *τὲ* D 24 *ἐγχειροῦσα* Schr. probabiliter 25 *θαρραλέος* B 26 l. et D

BD b. *οὐδείς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας· οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ διὰ τοῦτο ἐπαινῶ· προσχαρίζεσθαι γὰρ ἂν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων· ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται* (fr. Pind. 181)· *νῦν δὲ οὐκ ὢν ἐξ οἴκου ἐπαινῶ αὐτούς· διὸ οὐ φθονηθήσομαι. Δίδυμος δέ, οὐδένα ψέξω, φησί, καὶ ὅτι τοῦτο οὐκ ἀλλότριον τοῦ Πινδάρου, ἄλλα γὰρ πολλὰ αὐτῷ τοιαῦτα εἴρηται. τοῦτο δὲ λέγει, παρὸ εἰώθασιν οἱ πολῖται ἀεὶ φθονεῖν τοῖς κατά τι προέχουσι· διὰ τοῦτό φησιν ὁ Πίνδαρος ξένος εἶναι καὶ τὸν σκοτεινὸν ψόγον ἄποθεν ἔχειν· καὶ οὐδένα, φησί, ψέξω, μᾶλλον δὲ τὸ κλέος τὸ ἀληθὲς ὥσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλον ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ὀχετηγός. ὡς γὰρ ἐκεῖνος ἀμφυτὰ ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτά, οὕτω κἀγὼ τὰς τοῦ ὕμνου ῥοὰς ἐπὶ σέ, τὸν φίλον ἄνδρα, ἐπαινέσω σου καὶ αὐξήσω τὸ κλέος.* c. *ὁ δὲ νοῦς· ξένος ὢν λέγω τἀληθῆ, τοῦ φθόνου ἐκτὸς ὢν τοῦ πολιτικοῦ. ἔμφυτον γὰρ τοῖς πολίταις τὸ ἀλλήλοις διαφθονεῖν· καὶ ὥσπερ τὰ ὕδατα ὀχετηγὸς ἀψαύστως, οὕτω καὶ ἐγὼ διαπορθμεύσω τοῦ ἀνδρὸς τὴν ἀρετὴν τοῖς ὕμνοις καὶ τὴν περὶ τοὺς ἀγῶνας αὐτοῦ εὐδοξίαν ἀψευδῶς καὶ ἀληθῶς ἐπαινέσω· πρόσφορος γάρ ἐστι τοῖς ἀγαθοῖς καὶ ἀνδρείοις ὁ μετὰ τοῦ ἀληθοῦς ὕμνος.*

94a. *ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνήρ: Ἀχαιὸν ἄνδρα τὸν Ἠπειρώτην· ἢ αὐτὸν τὸν Νεοπτόλεμον ἢ ἕνα τῶν Ἠπειρωτῶν. Ἀχαιὸς γὰρ οὐ καθάπαξ ὁ Ἠπειρώτης, ἀλλὰ Μυρμιδών· Ἀχαιοὶ γὰρ οἱ ἀπὸ τῆς Θεσσαλίας ταχθέντες ὑπὸ Νεοπτολέμῳ ἀπεπλάγχθησαν εἰς τὴν Μολοσσίαν καὶ*

---

2 *προσχαρίζεται* **D** 4 *ὢν* **B**: *ἂν* **D** 6 *ψέγω* **D** *ὅτι* **B**: *ἔστι* **D** 7 *γὰρ πολλὰ* **D**: *πολλὰ γὰρ* **B** 8 *προσέχουσι* **D** 9 *ξέναν* **D** 10 *ψέξω* **B**: *ψέγω* **D** 12 *ἀμφυτὰ* quid sibi velit incertum; *ἂμ φυτὰ* Kayser p. 80 cl. Φ 257; aut delend. aut *ἀψαύστως* scribend. cj. M. Schmidt Did. p. 235 13 *ἐπὶ τὰ δένδρα* delend. cj. Abel *κἀγὼ ⟨ἄγων⟩*? 14 *σὲ τὸν* **D**: *τὸν* r (**B** l. n.) *ἄνδρα ⟨ἄγων⟩* cj. Abel *σου* **D**: *σε* **B** 15 *λέγω τἀληθῆ* r: *λέγων τὰ ἀληθῆ* **D** (**B** l. n.) 17. 18 *ἀψαύστως* obscurum; *ἀψεύστως* Schr. 18 *διαπορθμήσω* **D** 20 *ἐπαινέσω* **D**: om. r (**B** l. n.) 22 *μ'* **D**: *με* **B**? 24 *γὰρ* **B**: *οὖν* **D** 25 *τῆς* om. **D**

κατῴκησαν εἰς τὴν Ἤπειρον. οὐ μέμψοιτο ἂν οὖν με Ἀχαιὸς ἀνὴρ ἐπὶ τῷ δοκεῖν μικρολόγον παρεστακέναι τὸν Νεοπτόλεμον, ὅτι εἶπον αὐτὸν περὶ κρεῶν μεμαχῆσθαι καὶ διὰ τοῦτο ἀπολωλέναι. καθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας. ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν Παιᾶνα ἔφη (Paean VI 117)· ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι. ἀπολογούμενος γάρ τι ἀντεισήγαγε τοῦτο ὁ Πίνδαρος, ὅτι οὐκ ἔφησε περὶ χρημάτων γεγονέναι τῷ Νεοπτολέμῳ τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Δελφοῖς. ὃ οὖν λέγει, τοιοῦτόν ἐστι· παρὼν δέ τις ἐνταῦθα Δωδωναῖος οὐ μέμψεταί μοι ὡς ἐνυβρίσαντι τῷ Νεοπτολέμῳ.

b. ἢ οὕτως· ἐγγύς μου γενόμενος καὶ ἀκούσας αὐτὸς ὁ Νεοπτόλεμος, ὧν εἶπον, ἢ ἕτερος Ἠπειρώτης, οὐκ ἂν μέμψοιτο.

95a. *Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων*: δοκεῖ ὁ Νεοπτόλεμος τὴν τοῦ πατρὸς ἀρχὴν διαδέξασθαι τῶν Μυρμιδόνων καὶ ἡγήσασθαι ἐν Τροίᾳ. οὗτοι δὲ καὶ Ἀχαιοὶ ἐκαλοῦντο, καθά φησι καὶ Ὅμηρος (B 684)·

Μυρμιδόνες δ' ἐκαλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

οὗτοι δὲ κατὰ τὸν Ἰόνιον πόντον ᾤκησαν, καθὰ καὶ αὐτὸς ὁ Πίνδαρος σημαίνει λέγων (N. IV 51)· Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ, βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται, Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον. b. τὸ δὲ προξενίᾳ ἀμφίβολον πότερόν φησιν ὁ Πίνδαρος, μὴ μεμφθῆναι ἂν ὑπὸ τῶν Αἰακιδῶν· πρόξενον γὰρ ὄντα μὴ ἄν ποτε κατὰ Νεοπτολέμου εἰπεῖν· καὶ ὅτι πρόξενος ὢν αὐτοῖς ἐπ' οὐδενὶ μεμφθήσομαι· θαρρῶ γὰρ αὐτοῖς· οἷον οὐδείς με μέμψεται·

---

1 μέμψαιτο b 5 θανάτου B: θάνατον D γὰρ om. D 7 μοιριᾶν Boeckh II 2 p. 568, praeeunte Schneidero: μυρίαν BD [μ]υρ[ιᾶν] pap. Oxyrh. 841 παρὰ D 8 γάρ τι B: γὰρ D; neutrum verum vid. 9 οὐκ om. D 11 τις B: τίν D 12 δωδωναῖον D 13 μου] μοι Beck αὐτὸς B?r: om. D 19 δ' ἐκαλεῦντο D^ac: δὲ καλεῦντο D^pc δ' ἐκαλοῦντο B 20 αὐτὸς—21 λέγων B (aegre legitur) r: αὐτός φησιν ὁ π. D 22 βουβότᾱ B βουβότα D κατάκειται D 23 πορον D: πόντον γρ. πόρον B 26 καὶ ὅτι – 27 μέμψεται sensu cassa

ἢ πέποιθα τῇ προξενίᾳ τῇ πρὸς τοὺς Ἠπειρώτας· ἢ πιστεύω καὶ τῇ συγγενείᾳ ᾗ ἔχομεν Θηβαῖοι πρὸς τοὺς Αἰγινήτας. διὸ οὐ μέμψονταί μοι οὐδὲ οὗτοι. 97b

97 a. ἐν τοῖς ἰδίοις δημόταις καταφανής εἰμι ὡς ἂν οὐδενὶ ἐνεχόμενος ἀτόπῳ πράγματι. 89

b. ὄμματι δέρκομαι λαμπρόν: καὶ ἐν τοῖς ἰδίοις μου πολίταις ὁρῶ οὐχ ὑπέρλαμπρον καὶ ὑπεροπτικόν, ἀλλὰ μέτριός τις καὶ χρηστὸς τυγχάνω. ἡ δὲ ὑπέρ συναπτέα τοῦ βάλλων, ἵν' ᾖ οὐχ ὑπέρλαμπρον βάλλων. c. ἢ οὕτως· οὐδὲ μὴν ἄλλως, φησίν, ἐν τοῖς πολίταις ὑπεροπτικός εἰμι καὶ ὑπέρογκος, οὐ προσβλέπων τοὺς πολίτας ὄμματι λαμπρῷ καὶ ὑπερηφάνῳ, ἀλλὰ προσμειδιῶντι καὶ προσηνεῖ, ὥστε καὶ διὰ τοῦτο ἄμεμπτος εἶναι.

98a. βίαια πάντα ἐκ ποδὸς ἐρύσαις: διάγω, φησί κατὰ τὰς Θήβας μετριάζων, τὰ βλάσφημα καὶ ὑπεροπτικὰ ἐκ ποδῶν ἀφελκύσας, ἤτοι μακράν μου χωρίσας. b. ἢ οὕτως· οὕτω, φησί, ζῶ, τὰ βιαστικὰ πάντα ἐκ ποδός μου ἄρας· τουτέστιν οὐδένα βιαζόμενος ζῶ.

99a. ὁ δὲ λοιπὸς εὔφρων ποτὶ χρόνος ἕρποι: ὁ δὲ λοιπὸς χρόνος ἕρποι καὶ βαίνοι πρᾶος ὢν καὶ εὔφρων.

b. ὃ δὲ νοῦς ὅλος· εἴθε μοι τὸ ὅλον τοῦ βίου οὕτω μετ' εὐφροσύνης συμπερανθείη. τὸ δὲ ποτὶ ἕρποι ἀντὶ τοῦ προσέρποι.

100a. μαθὼν δέ τις ἂν ἐρεῖ: τίς; σοφὸς μαθών. ἔτι γὰρ καὶ ταῦτα προσαπολογεῖται περὶ τοῦ Νεοπτολέμου. τὸ δὲ ἄν ὑπερβιβαστέον πρὸς τὸν δέ σύνδεσμον. ἵν' ᾖ· μαθὼν δέ

---

1 πέποιθα D: πεποιθότα B 2 ᾗ D: ἣν B τοὺς om. D 6 ἰδίοις b: ἱεροῖς 7 ὁρῶ B: ὁρῶν D 8 τυγχάνω B: τυγχάνων D 8—9 sensu cassa; ἡ δὲ ὑπὲρ συναπτέα τῷ λαμπρόν, ἵν' ᾖ οὐχ ὑπέρλαμπρον βλέπων a 8 τοῦ BD: τῷ r 9 ὑπέρλαμπρον βάλλων D: ὑπερβάλλων B 11 ὄμμ. λ. τοὺς πολ. D 12 μειδιῶντι Beck 14 βίαια B: βία D ἐρύσαις om. D 17 ποδός D: ποδῶν B 19 ἕρποι om. B 20 προσέρποι r 22 συμπεραθείη D 24 l. om. D 25 περὶ D: ὑπὲρ B δὲ om. D 26 sensus obscurus

τις, εἰ παρὰ τὸ προσῆκον λέγω, ἀντὶ τοῦ εἰ ψεύδομαι. b. ὁ δὲ νοῦς· γνώριμος δέ τις καὶ πολίτης εἴποι ἄν τις, εἰ λοξὰ καὶ οὐκ ἀληθῆ λέγω περὶ ἐμαυτοῦ· ἀντὶ τοῦ μαρτυρήσει μοι ἀληθεύοντι.

103a. Εὐξενίδα πάτραθε Σώγενες: πρὸς αὐτὸν τὸν Σωγένη ἀπέστρεψε τὸν λόγον. Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε καλεῖν τοὺς Θεσσαλούς, καὶ Ἐμμενίδας τοὺς ἐπὶ Σικελίας. ἢ εὐξενίδας ἀντὶ τοῦ εὐξένους. πανταχοῦ δὲ τοὺς Αἰγινήτας φιλοξένους προσαγορεύει, καὶ νῦν εὐξενίδα ἀντὶ τοῦ εὔξενε. b. ἄλλως. φατρία ἐν Αἰγίνῃ ἀπὸ Εὐξένου, ἧς ἐστιν ὁ Σωγένης. ὁ δὲ λόγος· ὦ Σώγενες, ἀπομνύω τῇ Εὐξενίδα πάτρᾳ, μὴ τέρμα προβὰς θοὰν ὅρσαι γλῶσσαν, ὡς ἄκοντα χαλκοπάρῃον. τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων μετενήνοχε τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων καὶ διὰ τοῦτο ἐξάθλων γινομένων. c. ἐγώ, φησί, καθίημι τοῦ σκοποῦ· ἡ γλῶσσά μου ἐπὶ τὸν σκοπὸν ἐνήνεκται, οὐχ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πένταθλός ἐστιν ὁ Σωγένης. d. ὁ δὲ νοῦς· ὄμνυμι τῇ φατρίᾳ τῶν Εὐξενιδῶν, περὶ σοῦ λέγων μὴ ὥσπερ ἀκοντισταί, οἳ δι' ἀπληστίαν ἰσχύος ὑπερβάλλουσι τὸ τέρμα καὶ τὸ ὡρισμένον, καθ' οὗ δεῖ πέμψαι, οὕτω κἀγὼ τὴν ἀλήθειαν.

---

2 Hes. ψάγιον: πλάγιον. λοξόν

---

1 λέγων D 2 εἴπη D 2—3 εἰ λοξὰ καὶ οὐκ ἀληθῆ λέγω περὶ ἐμαυτοῦ scripsi: ἔδοξα καὶ οὐκ ἀληθῆ οὖν περὶ ἑαυτ(οῦ) D ἔδοξα [καὶ οὐκ ἀληθῆ . . . .] ἐμαυτ(οῦ) B ἔνδοξα καὶ οὐκ ἀληθῆ λέγων ἐμαυτῷ r εἴ τι ἔδοξα ψάγιον καὶ οὐκ ἀληθὲς λέγειν περὶ ἐμαυτοῦ a 3 μαρτυρήσει B: μαρτυρήσας D 5 σώγενες om. D 7. 8 σκοπάδας h: κοπάδας 8 θετταλούς D εὐμενίδας B 9 σικελ(ίας) B σικελίᾳ r 10 πανταχοῦ B: παντελῶς D 12 εὐξείνου D 15 μετηνήνοχε D παρὰ] ὑπὲρ cj. Abel ὁρισμένον D 16 καὶ διὰ τοῦτο Hermann op. III 32: διὰ τῶν BD ἐξ ἄθλων B γενομένων Hermann (γιν. Dr, B l. n.) 17 κατίημι D ἀνήνεκται B?r 19 δὲ om. B 21 οἳ B: ἢ D 22 ὁρισμένον D δεῖ B: δὴ D τὴν ἀλήθειαν b: τῇ ἀληθείᾳ BD

106a. *ὃς ἐξέπεμψε παλαισμάτων αὐχένα*: ἀπὸ τοῦ πρὸς αὐτὸν λόγου εἰς τὸν περὶ αὐτοῦ μετέστη· ὅστις ὁ Σωγένης τῶν τοῦ πεντάθλου ἀγωνισμάτων ἐξέπεμψεν ἑαυτοῦ τὸ γυῖον ἄνευ ἱδρῶτος πρὶν ἐπιπεσεῖν τὴν τοῦ ἡλίου ἀκτῖνα. ἐκ δὲ τούτου τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει.

b. ἔνιοι δὲ ὅτι νικήσας φασὶ τὸ ἀκόντιον ἐστέφθη, οὐκέτι μέντοι ἐπάλαισε, παραιτησαμένων αὐτὸν τῶν ἄλλων. ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβοῦσι καὶ διὰ τὸν πλείονα χρόνον ἐν τῷ ἡλίῳ μένουσι, διὰ τοῦτό φησι· πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν, τουτέστι πρὸ τοῦ ἐκλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ ἡλίου διὰ τὴν πάλην, ἀντὶ τοῦ εἰπεῖν· πρὶν παλαῖσαί σε. 109 c. ὁ ἄκων, φησίν, αἴτιος γενόμενος τῆς παντελοῦς νίκης οὐκ ἐποίησε χρείαν σε ἔχειν τοῦ διὰ πάλης περιγενέσθαι τῶν ἀνταγωνιστῶν, ἀλλά σου ἄβρεκτον τὸν αὐχένα ἐξέπεμψε τοῦ ἀγῶνος. 110

109. *εἰ πόνος ἦν τὸ τερπνόν*: εἰ καὶ κάματος ἦν, φησίν, ἐν τῷ ἀγωνί͵εσθαι, ἀλλὰ μείζων ἡ ἐκ τῆς νίκης ἡδονή. 106c

110. *ἔα με νικῶντί γε χάριν*: τὸ ὑπερβατὸν οὕτως· ἔα με, εἴ τί περ ἂν ἀερθεὶς ἀνέκραγον, νικῶντί γε χάριν φέρειν.

112. *οὐ γὰρ τραχύς εἰμι καταθέμεν*: οὐ γάρ εἰμι ἀηδής, φησί, καὶ ἀπηνὴς τοῖς νικῶσι τὰ ἐγκώμια θέσθαι.

113. *εἴρειν στεφάνους ἐλαφρόν*: πρὸς αὐτὸν διαλέγεται. ὁ δὲ νοῦς· ἐπὶ τούτοις τοῖς κατορθώμασιν ἐλαφρῶς συντιθέναι καὶ πλέκειν στεφάνους παραιτοῦ, ἀντὶ τοῦ μέγα τι καὶ ἀξιοπρεπὲς ἐφάρμοζε τῇ νίκῃ ἐγκώμιον.

114a. *ἀναβάλλεο· Μοῖσά τοι κολλᾷ χρυσόν*: ἤτοι

---

1 ἐξέπεμψας B?r τοῦ — 2 λόγου B Tricl.: τὸν — λόγον D 3 τῶν B: ἀπὸ τῶν D 6 ὅτι D: ὡς r (B l. n.) 12 γενόμενος Hermann nott. ad Pind. 383: ὁ γενόμενος BD 13 περιγενέσθαι] σε γενέσθαι BD σε περιγενέσθαι Hermann l. l. 16 τὸ τερπνόν om. B 17 μεῖζον D 19 χάριν om. D 20 πέραν? (ut in textu editur) 24 l. om. D αὐτὸν BD 25 ἐλαφρὸν D 27 δεξιοπρεπὲς D

ἡ Μοῦσα ἡ ἐγκωμιαστικὴ ποικίλως κοσμεῖ τοὺς ἐπαινουμένους. b. οἷον ἡ Μοῦσα πᾶσι χρῆται τοῖς εἰς κόσμον τῶν ἐγκωμιαζομένων. c. ἄλλως. λέγειν τι ἐλαφρὸν περὶ τῶν ἱερῶν στεφάνων ἀναβάλλου, οἷον μὴ λέγε κοῦφα περὶ τῶν νικώντων, ἀλλὰ τοὐναντίον μεγάλα λέγων αὔξανε αὐτούς. d. ἀντὶ τοῦ ἀνακρούου καὶ ἄρχου τι λέγειν ἐλαφρῶς περὶ τῶν στεφάνων· εἰ μείζονα εἴρηκας αὐξητικὸς ὤν, νῦν ἐλαφρῶς ἄρχου τι λέγειν περὶ αὐτῶν.

116. *καὶ λείριον ἄνθεμον*: τινές φασιν εἶναι κουράλιον, εἰρῆσθαι δὲ αὐτὸ ποντίαν ἕερσαν διὰ τὸ δοκεῖν, ἕως μέν ἐστι κατὰ βάθους, ἁπαλὸν εἶναι καὶ φυτῷ ὅμοιον· ὅταν δὲ ἀνασπασθῇ καὶ γένηται ἔξω τοῦ ὕδατος, ἀπολιθοῦσθαι τοῦ ἡλίου καταλάμψαντος αὐτῷ. οἱ δὲ ποντίαν δρόσον τὴν πορφύραν φασὶ διὰ τὴν τοῦ κογχυλίου βαφήν, λείριον δὲ ἄνθος τὸ ἔριον. ἀναφέρει δὲ ταῦτα ἐπὶ τὴν τῶν ὑφαινομένων ποικιλίαν ταύτην, ἐπεὶ τὸ ποίημα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις (fr. 179)· ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα.

118. *Διὸς δὲ μεμναμένος*: τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν πολυθρύλλητον λόγον ἐκ τῶν ὕμνων ἀνακίνει εὐμούσως καὶ τεταγμένως περί τε τὴν Νεμέαν καὶ τὸν Δία. τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σωγένης.

120. *βασιλῆα δὲ θεῶν*: τὸν δὲ τῶν θεῶν βασιλέα Δία κατὰ τοῦτο τὸ ἔδαφος ὑμνεῖν προσήκει· ἤτοι τὸ τῆς Νεμέας· ἀνάκειται γὰρ ὁ Νεμεαῖος ἀγὼν τῷ Διΐ· ἢ κατὰ τὸ τῆς Αἰγί-

---

1 ἐπαινουμένους B: ἐγκωνουμένους D 2 εἰς—ἐγκωμιαζομένων D: ἐγκωμίοις B 5 τουναντίον D: μᾶλλον B 6 ἀκρούου D 7 αὐξητικῶς D 7. 8 τι περὶ αὐτῶν λέγειν D 9. 10 κουράλιον B: κουλλούριον D 10 εἰρεῖσθαι D 12 ἀπολιθοῦνται D 13 αὐτοῦ cj. Schneider (ap. b) 15 ἀναφέρει r: ἀναφέρειν BD 16 ταύτην] αὐτὴν? Schr. 17 ὑφαίνω δ' B: ὑφαίνων D ἀμυθαωνίδαις BD; corr. b 18 ποικίλων D ἄνθημα D 20 εὐμούσως B: εὐμοῦσκε D 22 λέγειν D 23 θεῶν (pr.) B: θεόν D τὸν δὲ τῶν θεῶν a: τὸν τῶν θεῶν B τὸν δὲ θεὸν D βασιλῆα D

νης, ὃ καὶ μᾶλλον διὰ τὰ ἐπιφερόμενα. διατί δὲ πρέπει τὸν Δία ἐν τῇ Αἰγίνῃ ὑμνεῖν, αὐτὸς ἐποίσει.

123a. λέγοντι γὰρ Αἰακόν: τουτέστι, διὰ τὸ τὸν Δία πατέρα εἶναι Αἰακοῦ, ὅς ἐστι πολίαρχος ἡμῶν. Διὸς γὰρ καὶ Αἰγίνης Αἰακός. ἰδίως δὲ ἐπὶ ταύτης φαίνεται τῆς ᾠδῆς ἀνεστραμμένος ὁ Πίνδαρος· ὁτὲ μὲν γὰρ αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου διαλέγεται πρὸς τοὺς μεμφομένους περὶ τοῦ Νεοπτολέμου, ὁτὲ δὲ παράγει τὸν χορὸν τῶν Αἰγινητῶν διαλεγόμενον· ἐμᾷ μὲν πολίαρχον· οὐ γὰρ Αἰγινήτης ὁ Πίνδαρος.

b. φασὶ δὲ τὸν Δία ὑπὸ ταῖς γοναῖς τῆς Αἰγίνης πεφυτευκέναι τὸν Αἰακόν. c. ὁ δὲ νοῦς· ἔφυσε δὲ ὁ Ζεὺς τὸν Αἰακόν, ὦ Ἡράκλεις, τῇ μὲν ἐμῇ πόλει βοηθόν, σοὶ δὲ πρόθυμον ἀδελφόν. μνημονεύει δὲ τοῦ Ἡρακλέους, ἐπειδὴ ὁ τοῦ νικηφόρου οἶκος ἑκατέρωθεν Ἡρακλείοις περιέχεται τεμένεσιν· ἀπέστρεψε δὲ τὸν λόγον πρὸς τὸν Ἡρακλέα, ὡς τοῦ Αἰακοῦ ὑποδεδεγμένου καὶ ἐξενικότος. προπρεῶνα δὲ ἀντὶ τοῦ πρόθυμον. φησὶ δὲ καὶ ὅτι ἀδελφὸς Ἡρακλέους ὁ Αἰακός.

127a. εἰ δὲ γεύεται ἀνδρὸς ἀνήρ: εἰ θιγγάνει, φησί, τῇ ψυχῇ καὶ ἐπιδέεται ἀνδρὸς ἀνὴρ εἰς τὰς βιωτικὰς χρείας, τί ἂν φαῖμεν χρῆμα τούτου μεῖζον εἶναι, ἢ τοὺς φιλοῦντας εὐθὺς καὶ γειτνιᾶν; ὁ γὰρ γείτων τάχιον χρείας ἐπειγούσης ἀπαντᾷ. Ἡσίοδος (op. 345)·

γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.

b. ἢ οὕτως· ἐπεὶ δεῖται ἄνθρωπος ἀνθρώπου εἰς βίον, τί ἂν εἴη τούτου μεῖζον τοῦ εὑρεῖν γείτονας ἀλλήλους φιλοῦντας;

c. Ἀρίσταρχος οὕτως· ἐπεὶ δὲ κατὰ τὰς συνουσίας καὶ γειτνιάσεις ἕτερος ἄνθρωπος ἀφ' ἑτέρου γεύεταί τι καὶ ἀπολαύει

---

2 ἐν B: ἐπὶ D 5 δὲ φαίνεται ἐπὶ ταύτης τῆς ᾠδῆς B 6 ἀνεστραμμένως D 7 περὶ B παρὰ D 9 ὁ πίνδ. αἰγιν. B 10 φησὶ D 11 ἐφύτευσε δὲ τὸν αἰ. ὁ ζεύς D 12 βοηθῶ D 14 ἡρακλείοις B Tricl.: ἡρακλείας D 16 ἐξενικότος ⟨αὐτόν⟩ cj. Abel 17 ὁ om. D 18 γεύεται B[1]D: δεύεται B[2] 21 ἐπειγούσης D: ἀπαιτούσης B 24 ἐπεὶ B: ἐπειδὴ D 26 τὰς B: τῆς D

ἀφομοιούμενος, ὥσπερ ἡ παροιμία ἔχει·

χωλῷ παροικεῖς, κἂν ἐνὶ σκάζειν μάθοις·

εἴποιμεν ἂν τὸν ὠφεληθέντα γείτονα ἀπὸ γείτονος ἀξιόχρεων εἶναι χάρμα. παρὸ καὶ Ἡσίοδος (op. 346)·

πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ·

d. ὁ δὲ λόγος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. εἰ δὲ κατὰ τὰς γειτνιάσεις γεύεται καὶ ἀπολαύει γείτονος γείτων δεξιοῦ τε καὶ προθύμου, τί ἂν εἴποιμεν τῷ φιληθέντι τὸν φιλήσαντα; εἶτα ὡς κατὰ ἀπόκρισιν, γείτονα πάντων χρημάτων ἐπάξιον.

131a. εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι: εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅτι οἱ φιλοῦντες γείτονες μεγάλως ἀλλήλους ὠφελοῦσι, καὶ περὶ θεὸν τοῦτ' ἂν εἴη, καὶ θεὸς τοῦτ' ἂν ἔχοι ἀγαθὸν γειτνιῶν ἀνθρώπῳ φιλοῦντι, ὥστε πολλὰ αὐτῷ συμβάλλεσθαι. τοῦτο δὲ ἀναφέρει ἐπὶ τὸν Σωγένη καὶ τὸν Ἡρακλέα· ἦν γὰρ Ἡράκλεια τεμένη ἑκατέρωθεν τῆς οἰκίας Σωγένους. μέγα οὖν ἔχει ἀγαθὸν ὁ Σωγένης τὸ ἔχειν σε γείτονα, ὦ Ἡράκλεις, φιλοῦντα αὐτόν· οὐ γὰρ ἐνίκησεν ἂν εἰ μὴ ἐκ τῆς ἰδίας ἐπινοίας. b. ὁ δὲ νοῦς· εἰ δὲ αὐτὸ τοῦτο καὶ θεὸς παρέχει τὸ τῆς γειτνιάσεως ἀγαθόν, σὺν σοὶ ἄν, ὦ Ἡράκλεις, ὅστις ἐδάμασας τοὺς Γίγαντας, ὁ Σωγένης εὐτυχῶς βούλοιτο διαζῆν, τὴν σὴν καὶ δικαίαν τοῦ πατρὸς ἑαυτοῦ θεραπεύων ψυχὴν καὶ τῶν προγόνων τὴν θείαν καὶ πλουσίαν ὁδόν, ἀπὸ κοινοῦ ἀμφέπων.

---

2 Plut. de educ. puer. 6

---

2 παροικῶν cj. Schottus Stromat. 920 (?) ἐνὶ σκάζειν] ὑποσπάζειν Plut. ὑποσκάζειν cj. b probab. 3 ὀφεληθέντα D ἀχιόχρ. D τὸν—4 χάρμα vix recte habent; ἔχειν pro εἶναι cj. v. Wilam. ap. Horn p. 66. Exspectes potius τῷ φιληθέντι γείτονι ὑπὸ γείτονος ἀξ. εἶναι χ. 5 ὅσσον τ' D: ὅσον B 9 ἀπόκρισιν D: σύγκρισιν B γείτονα B? r: γείτονι D χαρμάτων cj. Feine p. 315 10 ἔχῃ D 11 μεγάλ(ως?) BD ὀφελοῦσι D 12 θεὸν B: θεῶν D ἔχοι D[s]: ἔχῃ D[1] om. B 13 φιλουμένῳ? Schr. συμβαλλέσθαι B 16 ἀγαθ. ἔχει D 17 τῆς ἰδίας] τινος θείας b τῆς σῆς ἰδίας a τῆς φιλίας M Schmidt. Locus corruptus; ft. εἰ μὴ delend. 21 τὴν [σὴν καὶ] vel τὴν ὁσίαν καὶ cj. b. Scribend. vid. τὴν ἴσην καὶ (ut paraphrastes de ἀτάλαντος cogitaverit) αὐτοῦ B 23 ἀμφέπου D

137a. *ἐπεὶ τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς:* ἐπειδή, φησίν, ὥσπερ τῶν τετρώρων ἁρμάτων ὁ ῥυμὸς μεταξὺ, οὕτω καὶ ἐν τοῖς τοῦ Ἡρακλέους τεμένεσιν ὁ νικηφόρος ἐν μέσῳ τὸν ἑαυτοῦ οἶκον ἔχει. b. ὁ δὲ νοῦς· ἐπεὶ ἐν τοῖς σοῖς τεμένεσιν, ὦ Ἡράκλεις, τὸν δόμον ἔχει μέσον· ὡς ἐπὶ τῶν ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστὶν, οὕτως ὁ Σωγένους οἶκος ἐξ ἀμφοτέρων τῶν χειρῶν, καὶ ἀριστερᾶς καὶ δεξιᾶς, ἔχων τὰ σὰ τεμένη, μέσος ἐστίν. c. ὡς ὁ ῥυμὸς ἅρματος τετρώρου.

141a. *δύνασαι δὲ βροτοῖσιν ἀλκάν:* δύνασαι δὲ καὶ αὐτὸς τῶν ἀπόρων καὶ ἀμηχάνων εὕρεσιν δοῦναι· ἀπὸ κοινοῦ γὰρ τὸ διδόμεν· καὶ δύνασαι τοὺς ἄλλους θεοὺς πεῖσαι δοῦναι, οὓς προεῖπεν. b. ὁ δὲ νοῦς· δύνασαι, φησίν, ἀπαλλάξαι τὰς ἀμηχανίας καὶ τὰς ἀτυχίας τῶν ἀνθρώπων· ἀλεξίκακος γὰρ ὑπάρχεις.

144a. *εἰ γάρ σφιν ἐμπεδοσθενέα βίοτον:* εἴθε γὰρ αὐτοῖς ἀσφαλῆ καὶ ἀδιάπταιστον βίον ἁρμόσας τῇ τε ἥβῃ καὶ τῷ λιπαρῷ γήρᾳ αὐτῶν προσπλέξαις. b. ἄλλως. εἴθε γὰρ αὐτοῖς ἐμπεδοσθενῆ τοῦτον τὸν βίον ἁρμόσαις, ἐν τῇ ἀκμῇ καὶ τῷ λιπαρῷ γήρᾳ διαπλέκοις τὸν βίον εὐδαίμονα.

147. *παίδων δὲ παῖδες ἔχοιεν αἰεί:* ὡς τιμήν τινα ἐχόντων αὐτῶν, ἢ ἱερωσύνην ἢ ἄλλο τι τοιοῦτον παρὰ τοῖς Αἰγινήταις. ἔχοιεν οὖν τοῦτο τὸ γέρας, φησίν, οἱ παῖδες τῶν παίδων, ὅπερ νῦν ἔχουσι, καὶ ὄπισθεν αὐτὸ ἄρειον.

150a. *τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ:* οὐκ ἀτρόπως φησὶν οὐδ' ἀπεοικότως εἰς μνήμην ἐληλυθέναι τοῦ Νεοπτολέμου. ὁ μὲν οὖν Καλλίστρατος, ἐπεὶ ἔφησε τὸν Σωγένη

---

1 ὧθ' D: ὥσθ' B ζυγοῖς om. D 4 ἔχειν D σοῖς om. D 5 τῶν om. B 6 ante οὕτως nov. sch. incipere putat M. Schmidt ὁ σωγένους οἶκος B: τῷ σωγένει δόμος D 8 ὁ ῥυμὸς r: ῥυμὸς B δρυμὸς D 9 δύνασαι (pr) B: δύναται D 10 ἀπὸ — 11 διδόμεν post 12 προεῖπεν trp. a (haud male) 13 εὐτυχίας D ἀλλεξίκακος D 15 βίοτον om. D (in B l. n., sed spatio convenit) 16 ⟨τὸν⟩ βίον b 17 αὐτὸν D προπλέξαις D[1] 18 αὐτοῖς a: αὐτῷ ἁρμόσας scribend. vid 19 διαπλέκεις D 20 αἰεὶ om. B 22 τοῦτο φησὶ τὸ γέρας D 24 κέαρ B: ἀνήρ D 26 ἐπεὶ ἔφησε b: ἐπέφησε BD σωγένην D

γείτονα εἶναι τοῦ Ἡρακλέους, καὶ ὁ Νεοπτόλεμος δὲ γειτνιᾷ τῷ θεῷ τῷ ἐν Δελφοῖς, κατὰ τοῦτό φησιν οἰκείως μεμνῆσθαι τοῦ Νεοπτολέμου, διὰ τὴν ἀμφοτέρων γειτνίασιν· ὁ δὲ Ἀριστόδημος, ὅτι μεμφθεὶς ὑπὸ Αἰγινητῶν ἐπὶ τῷ δοκεῖν ἐν Παιᾶσιν εἰπεῖν τὸν Νεοπτόλεμον ἐπὶ ἱεροσυλίᾳ ἐληλυθέναι εἰς Δελφούς, νῦν ὥσπερ ὑπεραπολογεῖται εἰπών, ὅτι οὐχ ἱεροσυλῶν ἐτελεύτησεν, ἀλλ' ὑπὲρ κρεῶν φιλοτιμηθεὶς ἀνηρέθη. διὸ καὶ ἐποίσει· ταὐτὰ δὲ τρὶς τετράκις τ' ἀμπολεῖν ἀπορία τελέθει· οἷον ἀπολελόγημαι ἱκανῶς περὶ τοῦ Νεοπτολέμου· τί οὖν ἔτι μέλλω τὰ αὐτὰ ἀναπολεῖν; ἀπορεῖν γάρ ἐστι λόγων τὸ ἀναπολεῖν τὰ αὐτὰ ὥσπερ παισὶ νηπίοις [τοῖς τέκνοις]. τὸ δὲ ἑλκύσαι ἀντὶ τοῦ ἐνυβρίσαι φησίν· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν ἑλκόντων τὰ σώματα. b. ὁ δὲ νοῦς· διορίζεται, φησί, καὶ πέποιθεν ἑαυτῇ ἡ ἐμὴ ψυχή, μηδέποτε τῷ Νεοπτολέμῳ ἐνυβρίσαι.

155a. ἅτε μαψυλάκας Διὸς Κόρινθος: μαψυλάκας ὁ μάτην φλυαρηθείς. Διὸς Κόρινθος δὲ παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων· ἡ δὲ παροιμία ἐντεῦθεν ἕρπει. Ἀλήτης ἐλθὼν περὶ τῆς ἐν Κορίνθῳ βασιλείας προσῆλθε τῷ μαντείῳ τῷ ἐν Δωδώνῃ, ὅ ἐστι τοῦ Διός, καὶ ἔχρησεν αὐτῷ τότε κρατήσειν, ὅτε τις δῷ βῶλον γῆς· ἐπιθέσθαι δὲ ἡμέρᾳ πολυστεφάνῳ. ἐλθὼν οὖν ἐν Κορίνθῳ ᾔτει τινὰ ἄρτον ἀγροῖκον ὁ Ἀλήτης, ὁ δὲ λαβὼν βῶλον ἔδωκεν. ἐτελεῖτο δὲ καὶ θυσία τοῖς νεκροῖς ἐν Κορίνθῳ, δι' ἣν τῆς πόλεως ἐν μνήμασιν οὔσης ἐπέρχεται ὁ Ἀλήτης, καὶ εὑρὼν Κρέοντος

17 Hes. Διὸς Κόρινθος. sch. Ar. ran. 439. Zenob. 3, 21

2 οἰκεῖος D 4 τῷ B: τὸ D 4. 5 ἐμπαιᾶσιν D 6 νῦν B: νῦν δὲ D ὑπεραπολογεῖται D: ἀ[πολογ]εῖται B ὅτι om. D 8 καὶ om. D ἐπάγει D ταῦτα δὲ B om. D (corr. a) 9 ἀμπορία D 11 λόγον D π[αι]σὶ B? (-σι dispici vid.) D: παρὰ r 11. 12 τοῖς τέκνοις seclusi; διὸς κόρινθος supplend. cj. Abel 16 διοσκόρινθος B (et sic fere ubique BD): διὸς διοσκόρινθος D 18 τῶν B: τῶν πολλάκις D (Tricl) ἕρποι D ἀλήτης D ubique 19 ἐλθὼν del. b περὶ B: παρὰ D 21 τότε om. D 22. 23 ἀγροῖκον ἄρτον r 23 ἔδωκε βῶλον D 25 οὖσιν D εὗρε B

θυγατέρας περὶ συνθήκας γενομένας, ἔφησέ τε ἐὰν κρατήσῃ, ἕξειν τὴν νεωτέραν αὐτῶν πρὸς γάμον, καὶ πείθεται ἡ κόρη καὶ προδίδωσι τὴν πόλιν τὰς πύλας ἀνοίξασα. καὶ κρατεῖ ὁ Ἀλήτης, καὶ ὠνόμασεν αὐτὴν Διὸς Κόρινθον, ἐπειδὴ διὰ τῆς μαντείας τοῦ Διὸς ἡ ἀρχὴ εἰς αὐτὸν ἦλθεν. b. ἄλλως. παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ὅταν δυσεξελίκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. ἐγὼ οὖν, φησίν, οὐκ εἰμὶ Διὸς Κόρινθος. δοκεῖ οὖν ἀπὸ τοιούτου τινὸς εἰρῆσθαι ἡ παροιμία· Μεγαρέας φασὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν· ἄλλα τε γὰρ πλείονα τοὺς Κορινθίους προστάσσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσαι, διώκουν δὲ οὗτοι τὴν πόλιν, ἔδει Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς Κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔρρωτο, καὶ πρὸς ἐλπίσι τοῦ μηδὲν παθεῖν ἀποστάντας αὐτούς, ἀλλ' ἀφεῖναι, πέμπουσι δῆτα πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ προσελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῆλθον καὶ τέλος, ὅτι δικαίως ⟨ἂν⟩ στενάξειεν ἐπὶ τοῖς γενομένοις ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην

9—p. 139, 7 cfr. sch. Plat. Euthyd. 292e. Suid. Διὸς Κόρινθος

1 συνθήκας sensu cassum; an τὰς θήκας? 2 αὐτῶν B: αὐτῷ D 7 δυσεξελίκτως Beck: δυσεξειλέκτως B δυσεξελύκτως (κ s. v.) D 9 ἡ παρ. εἰρῆσθαι D φησὶ D 12 τελευτήσαι scripsi: τελευτήσοι B? τελευτήσει Dr διώκουσι D οὗτοι b: αὐτοὶ BD 14 τὸν νεκρὸν iteravit D 15 ἀπέλιπον D ἀπελίμπανον sch. Plat. 16 παθεῖν om. D locus corruptus; ἐλπίσαντες οἱ μεγαρεῖς οὐδὲν ἂν παθεῖν ἀποστάντες, παραχρῆμα τῶν κορινθίων ἀφίστανται sch. Plat; καὶ ⟨ἐγένοντο⟩ πρὸς cj. b, q. s. quoque corrupta esse iudicans; κορινθίων ἀφίστανται Siebelis (pro ἀλλ' ἀφεῖναι!). Exspectes καὶ πρὸς ἐλπίσαντες μηδὲν ἂν παθεῖν ἀποστάντες αὐτῶν, ἀλλ' ἀφεῖναι, ⟨ἀφίστανται⟩ 17 δῆτα r: δὴ D (B l. n., sed δὴ spatium vix impleret) οὖν sch. Plat. κατηγορήσαντας D 18 παρελθόντες sch. Plat. 19 ὅτι om. B ἂν στενάξειεν sch. Plat.: στενάξειεν D στενάξει r (B l. n.) 20 ἐπὶ τοῖς γενομένοις om. B γιγνομένοις sch. Plat. λήψονται sch. Plat.

παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τοὺς πρέσβεις λίθοις ἔβαλον· καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων ἐφαπτόμενοι, κτείνοντες ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐκέλευον. ὅθεν φησὶν ὁ Δήμων (FHG I 379) ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων, κακῶς καὶ δειλῶς ἀπαλλαττόντων τὴν παροιμίαν ταύτην τετάχθαι. sch. inscr. VIII D

Scholia in Nemeonicarum carmen VIII.

Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. τὸ α' ἥμισυ ἔπους καταληκτικόν. τὸ β' ἰαμβέλεγος τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν τεθέντος. τὸ γ' Στησιχόρειον. τὸ δ' ἐγκωμιολογικὸν μιᾷ πλεονάζον ἐν ἀρχῇ τοῦ πενθημιμεροῦς ἰαμβικοῦ· ἢ χοριαμβικὸν τρίμετρον ταῖς ἐναντίαις κατακλειόμενον. τὸ ε' ἰαμβέλεγος λειπούσης τῆς ἀρχῆς. τὸ ς' λογαοιδικὸν Ἀρχεβούλειον, ἢ ἐπιωνικὸν ἀπ' ἐλάττονος, ἄτακτον διὰ τὸν σπονδεῖον. τὸ ζ' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ η' Εὐριπίδειον. τὸ θ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α' προσοδικὸν ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος. τὸ β' Εὐριπίδειον. τὸ γ' ἰαμβέλεγος λείπων τῇ ἀρχῇ. τὸ δ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ταῖς

5—7 Suid. ὁ Διὸς Κόρινθος

1. 2 τούς τε πρέσβεις παραχρῆμα λίθοις sch. Plat. 2 ἔβαλον r, sch. Plat.: ἔβαλλον D (B l. n.) ἐπιβοηθησάντων sch. Plat: ἐπιβοησάντων BD 4 ἀποχωρούντων sch. Plat. (recte) ἐφεπόμενοι καὶ κτείνοντες sch. Plat. (recte) παίειν] + ἀλλήλοις sch. Plat. (recte) 6 ἄγαν] + μὲν sch. Plat. (recep. a) κακῶς καὶ δειλῶς D: καὶ δειλῶς B κακῶς δὲ καὶ πονηρῶς sch. Plat. (unde δὲ recep. a) 9—17 post p 142, 16 D 10 καταμικτικόν D τοῦ — 11 τεθέντος] h. e. si finem ad initium transponas? Cfr. O. XI str. α' XII ς' N. VIII epod θ' N. IX ζ' et η' N. X str. η' J. VI epod. β' cum P. IX epod. ια'. Sed repugnant J. I str. γ', J. V str. α'. — τῆς πρώτης ἐπὶ τὸ τέλος μετατεθείσης mg Brub. 14 cfr. Hephaest. p 54 Gaisf. 17 δίμετρον B: ἐστι μέτρον D 18 ἡ ἐπῳδ(ὸς) B[cp]: ἡ δὲ ἐπῳδὴ D κώλων] + ἐστὶν D ἀπὸ om. D

ἐναντίαις κατακλεισθὲν, ἄτακτον, Ἀλκμανικῷ ζήλῳ. τὸ ε΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ζ΄ ὅμοιον τῷ γ΄ τῆς ἐπῳδοῦ. τὸ η΄ μικτὸν ἐκ τροχαίου πενθημιμεροῦς καὶ δακτυλικοῦ πενθημιμεροῦς. τὸ θ΄ ἰαμβέλεγος, ὑπερτιθεμένου τοῦ τέλους. τὸ ι΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ια΄ τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ (Archil. fr. 99)· Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. 26 D

inscr. Ἔνιοί φασι σταδιεῖς αὐτόν τε τὸν Δεινίαν καὶ τὸν πατέρα καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον Δείνιδος δισσῶν σταδίων καὶ πατρὸς εἰπεῖν. παρέχει δέ, φησὶν ὁ Δίδυμος, τὴν ἀπορίαν τὸ μηδέτερον αὐτῶν ἐν τοῖς Νεμεονίκαις ἀναγεγράφθαι.

1a. Ὥρα πότνια, κᾶρυξ Ἀφροδίτας: συντάττει τὸ προοίμιον ὁ Πίνδαρος εἰς τὸ τῆς ὥρας ἄνθος τοῦ νικηφόρου, εἶτα ἐπικωμιαστικῶς τῶν πατρίων ἐφάπτεται, λέγων τὴν Αἴγιναν δι' ὡραΐσματος ὑπὸ Διὸς ἀνηρπάσθαι. b. ὁ δὲ νοῦς· ὦ ἀκμὴ ἐντιμοτάτη, ἄγγελε τῶν ἀφροδισίων καὶ θαυμαστῶν φιλιῶν, ἥτις τοῖς τε τῶν παρθένων βλεφάροις καὶ τοῖς παιδικοῖς ἐπικαθεζομένη, πραέσιν ἔρωσι ταῖς τῆς ἀνάγκης χερσὶ βαστάζεις, ἕτερον δὲ φαύλοις πόθοις. πραέσι δέ φησι ταῖς τῆς ἀνάγκης χερσὶν, ὅτι ἐξ ἀνάγκης ἡμῖν οἱ ἔρωτες παραγίνονται. ἑτέραις δὲ, προσδεκτέον χερσὶν, οἷον τὸν δὲ μὴ πραείαις ἀλλὰ σκληραῖς. πρὸς ἀμφότερα δὲ τὰ μέρη, τοῖς τῶν παρθένων καὶ παίδων, τουτέστι τοῖς παιδικοῖς, τὸ βλεφάροις ἀκουστέον, ἵν' ᾖ τὸ τῆς ἑρμηνείας κατάλληλον.

6. ἀγαπατὰ δὲ καιροῦ: ἀγαπητὸν δέ ἐστι καὶ εὔτακτον

2 τὸ ϛ΄—βραχυκατ. om. D 3 τῆς (et ἐπῳδῆς) r: τοῦ BD 5 ὑπερτιθεμένου a: ἐπιτιθεμένου B ὑπερτιθέμενος D 8 ἐδασάμην B?Dr (corr. b) 9 post φασι lac. 3 litt. B σταδίοις D 12 μηδέτερον b: μηδὲν ἕτερον BD τοῖς νεμεονίκαις b: ταῖς νεμεακαῖς νίκαις BD 18 ἐτοιμοτατη D 19 τοῖς τε B: τῆς περὶ D 20 ⟨τὸν μὲν⟩ πραέσιν cj Abel ταῖς—χερσὶ secl. M. Schmidt 21 πραείαις b 22 ὅτι B: ἐπειδὴ D 27 εὔτακτον] εὐκτότατον M. Schmidt; ft. εὐκτὸν

τῆς εὐκαιρίας καὶ τοῦ δέοντος καιροῦ μὴ ἀποσφαλέντα πρὸς ἕκαστον ἔργον, τῶν βελτιόνων ἐρώτων ἐπιθυμεῖν δύνασθαι καὶ ἐπικρατεῖν, τῶν δὲ φαύλων ἀπέχεσθαι. τοιούτων οὖν ἐρώτων ἐπικρατεῖν δύνασθαι, φησί, καλόν ἐστιν, οἷοι ἦσαν ἐπὶ Διός τε καὶ Αἰγίνης. ἔστι δὲ καὶ θαυμαστικῶς ἐκλαβεῖν τὸ οἷοι· ὁποῖοι ἀγαθοὶ ἔρωτες. πιθανῶς δὲ ποιμένας δώρων Ἀφροδίτης τοὺς ἔρωτάς φησιν· ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας. οἷοι οὖν Διὸς καὶ Αἰγίνης περιεπόλησαν τὸ λέκτρον ἔρωτες· ὁ γὰρ Ζεὺς οὐ μόνον δι' ἐπιθυμίαν ἐμίγη τῇ Αἰγίνῃ, ἀλλ' ἵνα καὶ σπερμήνῃ τοὺς ἀρίστους ἐξ αὐτῆς, Αἰακόν, Πηλέα, Ἀχιλλέα, Νεοπτόλεμον· οὗτοι οὖν οἱ ἔρωτες ἄριστοι, οἱ μὴ μόνον ὀρεγόμενοι τῆς ἀπολαύσεως καὶ τῆς ὥρας αὐτῆς, ἀλλ' ἀποτελεσμάτων ἀξιολόγων καὶ ἔργων ἐπιφανῶν τελεσιουργοί.

12. ἔβλαστε δ' υἱὸς Οἰνώνας: τὸ ἔβλαστεν ἀντὶ τοῦ ὤφθη φησίν. ἀπὸ δὲ τῆς νήσου καὶ τὴν ἡρωΐδα ὠνόμασεν· υἱὸς γὰρ [τῆς] Οἰνώνης τῆς Αἰγίνης ὁ Αἰακός, χειρὶ καὶ βουλαῖς ἄριστος βασιλεύς, τουτέστιν ἀνδρείᾳ καὶ φρονήσει. Ὅμηρος (Γ 179)·

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

14a. πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν: πλεῖστα δέ, φησί, πολλοὶ ἠξίουν θεάσασθαι τὸν Αἰακόν, περιηχούμενοι τῇ τοῦ ἀνδρὸς εὐδοξίᾳ. καὶ γὰρ τὰ ἀνθήματα τῶν ἡρώων, οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἄκροι τῶν περιοικούντων ἀμαχητὶ πείθεσθαι αὐτῷ ἤθελον καὶ χωρὶς τοῦ κρατηθῆναι μάχῃ.

b. οὕτω διέπρεπε, φησίν, ὥστε τοὺς περιοικοῦντας ἑκου-

9 cfr. Diod. 4, 9, 3

2 ἐπιθυμεῖν] ἐπιτυχεῖν Herwerd. Pindar. p. 27 4 οἷοι — 6 τὸ om. D 7 ἀφροδίτας D 8 οἷοι a: οἱ BD γοῦν D 9 ἔρωτες τὸ λέκτρον B 10 καὶ om. D 11 τὸν αἰακὸν D ἀχιλλέα] + καὶ D 15 δ' υἱὸς B: διὸς D 17 τῆς om. D; seclusi a secutus 21 πολλοὶ — ἰδεῖν om. D 22 πολλοὶ B: πολλοῖς D 23 ἀνθήματα Abresch ad Hesych. ed. Alberti I p. 670: ἀναθήματα BD 26 περιοικοῦντας D: παροικοῦντας ἢ περιοικοῦντας B

σίως πείθεσθαι ταῖς ἀναξίαις, τουτέστι ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτοῦ.

19a. οἵ τε κραναναῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν: οἵτινες, φησί, διῴκουν τὰς Ἀθήνας, ἢ εἰς συμφωνίαν ἦγον τὸ πλῆθος. ταῦτα δὲ ἀνάγεται εἰς ἐκεῖνα, ὅτε αὐχμὸς κατέσχε τὴν Ἑλλάδα καὶ εὐξαμένου τοῦ Αἰακοῦ ὄμβρος ἐγεγόνει. b. ὁ δὲ νοῦς· καὶ οἱ ἐν ταῖς τραχείαις Ἀθήναις ἥρμοζον καὶ παρεσκεύαζον καὶ ἤτοι συμμαχοῦντες αὐτῷ παρεῖχον δύναμιν ἢ ὑπὸ τὴν αὐτοῦ ἀρχὴν ὄντες· ὁμοίως παρεσκεύαζον αὐτῷ, ἀπὸ κοινοῦ, καὶ οἱ Πελοποννήσιοι καὶ οἱ Λακεδαιμόνιοι.

24a. ὑπὲρ τῶνδε ἅπτομαι φέρων Λυδίαν μίτραν: ἀλληγορικῶς τὸν ποικίλον ὕμνον οὕτω φησίν, ὅτι ἐντεχνεῖς οἱ Λύδιοι περὶ τὴν μουσικήν. τὸ γὰρ Λύδιον μέλος ποικίλον.

b. ἄλλως. οὕτως εἶπε τὸ ποίημα αὐτοῦ ὡς Λυδίᾳ ἁρμονίᾳ γεγραμμένον. metr. D

26. Δείνιδος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νέμειον ἄγαλμα: τοῦ Δείνιος, ἤτοι τοῦ Δεινίου. Μέγας ὁ τοῦ Δεινίου πατήρ, φησί. δισσῶν δὲ σταδίων, ὅτι διαυλοδρόμος. Νέμεον δὲ ἄγαλμα, τὸ γεγραμμένον εἰς Νεμεακὴν νίκην ποίημα.

28. σὺν θεῷ γὰρ φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος: ὁ γὰρ γνώμῃ θεοῦ, φησίν, ὄλβος τοῖς ἀνθρώποις ἐμφυτευθεὶς καὶ δοθεὶς μονιμώτερός ἐστιν· ὅστις ὄλβος ἐπλούτισε καὶ εὐδαίμονα πεποίηκε τῷ πλούτῳ τὸν Κι-

5 cfr. sch. N. V 17b

1 ἀναξίαις Schneider ap. b: ἀξίαις B εὐδοξίαις D • 3 κραναιᾶς D 3. 4 ἅρμοζον στρατον om. D 5 ὅτε B[cp] D: ὅτι r 7 ταχείαις D 9 ὁμοίως — 10 κοινοῦ post 11 λακεδ. trp. b 12 μίτραν B: μοῖραν D 13 ἐντεχνεῖς] ἔντεχνοί εἰσιν b 14 τὴν om. D γὰρ] δὲ cj. M. Schmidt 15 λυδίᾳ a ἁρμονίᾳ B: ἅρμα D 18 νέμειον — ἤτοι om. D 20 νέμειον cj. Abel 20. 21 νεμεανικὴν νίκην D 22 ὄλβος — 23 παρμονώτερος om. D 23 ἡ γὰρ γνώμη D ὄλβος B: ὄλβιος D 25 ἐπλούτισε h: ἐπλούτησε B?rD πλούτῳ B: πάντῳ D

νύραν ἐν Κύπρῳ τῇ νήσῳ. τούτου καὶ Ὅμηρος μνημονεύει (*Λ* 20)·

τόν ποτέ οἱ Κινύρας δῶκε ξεινήϊον εἶναι.

32a. *ἵσταμαι δὴ ποσσὶ κούφοις ἀναπνέων*: ἐπειδὴ τοῦ Κινύρου ἐμνήσθη ἐν ὑποδείγματι τῶν διὰ θεὸν τὸν πλοῦτον ὀνησιφόρον ποιουμένων, ἐπιλαμβάνεται ἑαυτοῦ ὁ Πίνδαρος, ἵνα μὴ παρεκβῇ πλείονα εἰς τὸν περὶ Κινύρα λόγον .... μεταφέρων ἀπὸ τῶν πεντάθλων φησίν· ἵσταμαι πρὶν παλαῖσαι, εἰ τύχοι, τὸ πνεῦμα συλλεγόμενος. b. ἄλλως. ἀντὶ τοῦ παύομαι. πάλιν δὲ ἐπιχειρεῖν τοῖς τῶν Αἰγινητῶν πατρίοις μέλλων καὶ ἀγῶνα τὴν ἐπιχείρησιν γινώσκων ανα πνεῖν βούλεται καὶ ὥσπερ ἐκ διαλείμματος πάλιν ἀγωνίζεσθαι, ὃν τρόπον οἱ τὰ πένταθλα καρτεροῦντες καὶ κατορθοῦντες. c. ἄλλως. οἱ μέγα φωνεῖν θέλοντες, οἷον τραγῳδοί, προαναπνέουσιν ἐπιπολύ, ἵν' ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή. πολλαὶ οὖν, φησί, περὶ τοῦ Κινύρου καταβέβληνται ἱστορίαι καὶ διάφοροι, διὸ ἀναπνέω πρὶν εἰπεῖν. d. πολλὰ γάρ μοι περὶ τῶν Αἰακιδῶν λέλεκται· ἢ πολλή μοί ἐστι μελέτη καὶ φροντὶς ὑπὲρ τῶν εἰς Αἰακίδας ἐγκωμίων.

34a. *νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ εἰς ἔλεγχον*: ἐμὲ δὲ νῦν, φησί, καινολογῆσαι περὶ τοῦ Κινύρου παρώσαντα τὰ κοινῶς ἱστορούμενα, κινδυνῶδές ἐστιν. ἐὰν γάρ τι καινουργῶ, ἀπιστηθήσομαι. b. ἢ οὕτω· νεώτερα δὲ ἐγκώμια ἐξευρόντα καὶ ἐπινοήσαντα τῇ τῶν ἀκροατῶν κρίσει δοῦναι πρὸς διάκρισιν καὶ δοκιμασίαν ἐπικίνδυνον. βασάνῳ δέ, ἤτοι διαβολῇ, κρίσει. βασανίζοντες γὰρ οἱ ἀκροαταὶ τὰ λεγόμενα κρίσιν διδόασιν.

35. *ὄψον δὲ λόγοι φθονεροῖσιν*: τοῦτο πρὸς τοὺς

---

3 κινύρης codd. Hom. ξενήιον B 4 ἀναπνέων om. B 5 ἐμνήσθη om. B 7 περὶ B: παρὰ D κινύραν b 7. 8 λόγον ⟨λέγων καὶ⟩ suppl. b 10 ἐπιχειρῶν D 11 μέλλων D: λέγ μέλλων B 13 καρτεροῦντες καὶ om. D 14 μέγα D: μεγάλα B 16 φησί post κινύρου D περὶ B: παρὰ D 18 γάρ π. τ. αἰακ. μοι D μοί ἐστι om. D 19 ὑπὲρ B: ὕπεστι D 20 δόμεν—ἔλεγχον om. D 21 κοινολογῆσαι B περὶ B: παρὰ D

ἀντιτέχνους· τοῖς φθονεροῖς οἱ λόγοι εἰς διαβολὴν τῶν κατηγορουμένων ὄψον εἰσὶν, ἤτοι προσόψημα, τουτέστιν οὐχ ἑτέρῳ χρῶνται προσοψήματι οἱ φθονεροὶ ἢ τοῖς εἰς διαβολὴν λόγοις.

37. ἅπτεται δ' ἐσλῶν αἰεί: ἀπὸ τῶν φθονούντων ἐπὶ τὸν φθόνον μετήγαγε τὸν λόγον· οὐ τῶν τυχόντων, φησίν, ἅπτεται ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων· οὐδεὶς γὰρ Θερσίτῃ φθονεῖ, ἀλλ' Ἀγαμέμνονι. χείροσιν οὖν οὐκ ἐρίζει ὁ φθόνος· ὁ γὰρ φθόνος εἰς καλὰ βαίνει.

40. τὸ δὲ ἀμφικυλίσας φασγάνῳ, ἀντὶ τοῦ ξίφει περικυλίσας. τοῦτο δὲ ἐκ τοῦ συμβεβηκότος ἀπὸ τῆς καταπτώσεως τῆς κατὰ τὴν ἀναίρεσίν φησιν.

41a. ἦ τιν' ἄγλωσσον μέν: ἄγλωσσον δή τινα καὶ ἄλαλον, ἦτορ δὲ ἄλκιμον καὶ ἀνδρεῖον, ἐν λυγρῷ νείκει κατέχει λήθη καὶ θάνατος, τουτέστι καὶ ἔτ ρός τις τῶν ἀλαλωτέρων φθονηθεὶς ἀδίκως ἐτελεύτησεν, ἐν οἷς καὶ ὁ Αἴας. b. ἄλλως. τοῦτο ὡς πρὸς τὸν Αἴαντα. θέλει δὲ εἰπεῖν, ὅτι φιλονεικίας οὔσης καὶ ἔριδος τὸν ἀνδρεῖον τὸ σῶμα, ἀσθενῆ δὲ τὴν ἀπόκρισιν, λήθη κατέσχεν. c. ὁ δὲ νοῦς· ναὶ δὴ τὸν μὴ τῷ λόγῳ μὲν ἱκανὸν, ἀνδρεῖον δὲ σῶμα μόνον ἔχοντα, μεγάλη λήθη ἐν τῇ πρὸς τοὺς ἐχθροὺς μάχῃ καὶ στάσει κατέχει· καταπαλαίονται γὰρ τῷ λόγῳ καὶ οἱ πάνυ ἀνδρεῖοι καὶ βαρύσωμοι ὑπὸ φρονίμων. τὸν γὰρ ἐν τῷ λέγειν μὴ δεινὸν μηδὲ σοφιστὴν τῷ λόγῳ ὁ τοιοῦτος ὑπερβάλλει.

43a. αἰόλῳ δὲ ψεύδει τῷ ποικίλῳ φησὶ καὶ πιθανῷ· μέγιστον γὰρ πρόσεστι τῷ ποικίλῳ δόλῳ γέρας, φησί, διὰ τὸ τοῦ λόγου πιθανόν, ὅτι ὁ πιθανὸς λόγος καὶ τὴν ἀλήθειαν

---

25 sch. *M* 167. Hes. *αἰόλος*. Ap. soph. 15, 32, al.

---

1 *ἀντιτέχιως* (corr. ex *ἀτέχνως*) **D** 8 *φθονεῖ* **B**: *φθονός* **D** 9 *ὁ—βαίνει* versus vid. (Bulle de Pind. sap. 60) 11 *ἐκ* **B**: *ἐπὶ* **D** 12 *τὴν* om. **B** 13 *ἦτιν'* **B** *ἄλαλον* **D**: *ἄλλον* **B** 14 *νείκει* **D**: *γήρει* **B** *δήρει* cj. M. Schmidt, probabiliter *κατεῖχε* Bergk 17 *αἴανσα* **D** *δὲ* **B**: *δέ τις* **D** 23 *φρόνιμον* **D** 26 *πρόσεστι* **D**: *ἔστι* **B** *γέρας* **B**: *πέρας* **D** 27 *λόγος πολλάκις καί*, om. p. 145, 1 *πολλάκις*, **D**

οἶδε πολλάκις ὑποκλέπτειν. · b. ἄλλως. μέγιστον νέμεται γέρας τῷ ποικίλῳ ψεύδει· οἱ γὰρ ποικίλως ψευδόμενοι ἀποδοχῆς τυγχάνουσι παρὰ τοῖς ἀνθρώποις. τούτου δὲ ἀπόδειξιν ἐπιφέρει τὰ ἐφεξῆς.

44. κρυφίαισι γὰρ ψάφοις Ὀδυσσῆ: κρυφίαισιν, ἤτοι ταῖς ἀδίκοις ἢ ταῖς κρύφα φερομέναις ψήφοις· οὕτω γὰρ φέρονται. Ὀδυσσέα γοῦν βασκήναντα τῷ Αἴαντι οἱ Ἀχαιοὶ κρυφίας ἐνεγκόντες ψήφους περὶ τῶν Ἀχιλλέως ὅπλων ἐθεράπευσαν οὐκ ὀρθῶς· ἔδει γὰρ Αἴαντα νικῆσαι.

48. ἦ μὰν ἀνόμοιά γε: οὐχ ὅμοια, φησί, τραύματα ἔλαβον ὅ τε Αἴας καὶ Ὀδυσσεύς, τουτέστιν οὐ τὸν αὐτὸν τρόπον οὐδὲ ἐξ ἴσου τοῖς Τρωσὶν ἐπολέμησαν, ἀλλ' ὁ μὲν Ὀδυσσεὺς δειλὸς ἦν, ὁ δὲ Αἴας ὠθεῖτο εἰς τοὺς πολεμίους. θερμὰ δὲ ἕλκη τὰ φλεγμαίνοντά φησι. πελεμιζόμενοι δὲ ἀντὶ τοῦ πελεμίζοντες ἐνεργητικοῦ καὶ διακινοῦντες. ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀνόμοια πλήγματα τοῖς πολεμίοις ὅ τε Ὀδυσσεὺς καὶ Αἴας ὑπὸ ἀλεξιμβρότου λόγχης κινούμενοι. τῇ δὲ Αἴαντος ἀνδρείᾳ καὶ Ὅμηρος μαρτυρεῖ (ε 309—10)·

ὅτε μοι πλεῖστα χαλκήρεα δοῦρα
Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.

---

6 Suid. κρύφιοι EM 659, 27 15 Eust. ad Δ 535 (p. 505, 33), alibi.

---

1 ὑποκρύπτειν D ἄλλως om D 6 ταῖς (pr.) B: τοῖς D ψήφοις B: ψῆφον D 7 φέρονται B: φέρουσιν D. Malim ἐφέροντο ὀδυσσῆα D 8 ἐνέγκαντες D περὶ B: παρὰ D 11 ἔλαβεν D ἐπέβαλον Feine p. 315, ft. recte, sed sufficiat ἔβαλον 14 πελευιζόμενοι et 15 πελεμίζοντες b: πολεμιζόμενοι et πολεμίζοντες BD 15 διακονοῦντες r (non BD) 16. 17 καὶ ὁ αἴας B 17 αἴας ⟨ἐνήραξαν⟩ v c. suppl Kayser lect. Pind 83 ἐπήνεγκον s. ἐπέβαλον Feine p. 315 ὑπὸ B: ὑπό τε D; an ὑπὸ τῆς? αἴαντος] ὀδυσσέως scribend.? cfr. ad 20 18 ἀνδρείᾳ Beck: μαρτυρίᾳ BD καὶ B: ὡς D 19 πλεῖστοι codd. Hom. 20 περὶ B: παρὰ D post θανόντι add. τζετζ[ης· οὐχὶ] περὶ τοῦ αἴαντος περὶ δὲ τοῦ δολίου ὀδυσσέως, ταῦτα λ[έγει]· B, sed postea delevit

54a. *ἐχθρὰ δ' ἄρα πάρφασις ἦν*: πάρφασις, παραλογισμὸς καὶ παράπεισις ἢ ἀπάτη· ἐν ἤθει δὲ προήγαγε τὸν λόγον. ἄρα, φησί, καὶ τότε ἦν ἡ ἐχθρὰ ἀπάτη, ἡ τῶν ἀπατητικῶν λόγων σύμφοιτος καὶ δολοφραδὴς καὶ ὄνειδος οὖσα κακοποιόν. b. ἄλλως. ταῦτά φησι δυσαπασχετῶν ἐπὶ τῷ ἀδίκως ἀναιρεθῆναι τὸν Αἴαντα διὰ τὰ ψεύδη τοῦ Ὀδυσσέως. διὸ καί φησιν· ἦν ἄρα τις καὶ παρὰ τοῖς ἥρωσιν ἀπάτη, οὐ μόνον παρ' ἡμῖν.

58a. *τῶν δὲ ἀφάντων κῦδος ἀντείνει σαθρόν*: ἀφάντων ἀντὶ τοῦ ἀφανῶν, εὐτελῶν. τὸ δὲ ἀντείνει ἀντὶ τοῦ ἀνατείνει, ἐπαίρει. σαθρὸν, πρὸς ὀλίγον. b. ὁ δὲ νοῦς· τῶν δὲ ἀδόξων τὸ κῦδος μεγαλύνει καὶ ὑψοῖ σαθρὸν αὐτῶν τὸ κλέος· οἰκόβιος γὰρ ἡ τῶν ἀδίκων δόξα καὶ εὐκατάακτος.

59. *εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ*: ὦ Ζεῦ πάτερ, μὴ γένοιτό μοι τὸ ἦθος τοιοῦτον, ἀλλὰ τὰς τοῦ βίου μου κελεύθους καὶ ὁδοὺς ἀπλανεῖς φύλαξον, τουτέστιν ἁπλᾶς καὶ ἀκακοήθεις ἀνύοιμι· ὅπως μὴ τελευτήσας τοῖς παισί μου κακὴν καταλείψω φήμην, τουτέστιν ἵνα μὴ δυσφημηθῶσιν οἱ ἐμοὶ παῖδες ἄδικά μου πράξαντος.

63. *χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον*: ἕτεροι μὲν οὖν χρυσὸν πολὺν εὔχονται, κτήσασθαι δηλονότι, ἄλλοι δὲ γῆν πολλὴν πρὸς γεωργίαν· ἐγὼ δὲ εὔχομαι τοῖς πολίταις ἀρέσαι καὶ τεθνάναι ἐπαινῶν μὲν τὰ ἄξια τοῦ ἐπαινεῖσθαι, ψόγον δὲ καὶ μέμψιν τοῖς ἀδίκοις ἐμβάλλων.

68a. *αὔξεται δ' ἀρετὰ χλωραῖς ἐέρσαις*: ἀντὶ τοῦ ταῖς χλωροποιοῖς δρόσοις· αὗται γὰρ τῶν φυτῶν αὐξητικαί. τὸ δὲ ἑξῆς· αὔξεται δὲ ἀρετὰ ἐν σοφοῖς τε καὶ δικαίοις τῶν

1 Hes. πάρφασις. cfr. Eust. ad β 180 (p. 1441, 7), π 287 (1802, 21)

2 δὲ om. D προσήγαγε D 3 τῶν D: om. B?r 4 σύμφυτος B 9 συντείνει B 12 τῶν δὲ B: τῶν D ἐνδόξων D 13 ὀλιγόβιος cj. M. Schmidt, ft. recte 14 πάτερ om. B 16 μου D: μοι B φύλαξον delend vid 18 ἵνα δυσμηθῶσιν (om. μὴ) D 20 χρυσὸν] χρυσίον D χρυσόν δ' B 22 πρὸς γεωργίαν om. D 26 ταῖς om. D

ἀνδρῶν ἀερθεῖσα, ὡς ὅτε δένδρον χλωραῖς ἐέρσαις πρὸς ὑγρὸν αἰθέρα. b. ὁ δὲ νοῦς· αὔξεται δὲ καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν ὑψωθεῖσα τοῖς σοφοῖς καὶ δικαίοις λόγοις τῶν ποιητῶν, ὥσπερ καὶ φυτὸν ἐπαίρεται πρὸς αἰθέρα καὶ αὔξεται ταῖς χλωροποιοῖς δρόσοις. c. ἢ οὕτως· ὥσπερ δένδρον ὕδατι ποτιζόμενον εἰς μῆκος | αὔξεται. d. ἢ οὕτως· ἡ ἀρετὴ τῶν B δικαίων ἐπιτυγχάνουσα ὑψοῦται. τὸ δὲ ἑξῆς· ὡς δένδρον ἀΐσσει πρὸς αἰθέρα ὑγραῖς ἐέρσαις, οὕτω καὶ ἡ ἀρετὴ σοφοῖς ἀνδράσι καὶ δικαίοις | αὔξεται ἀερθεῖσα. BD

71a. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν: καὶ πᾶσαι χρεῖαι τῶν προσφιλῶν ἀνδρῶν, φησίν, οἱονεὶ καὶ πρᾶξις πᾶσα ἀνδρῶν προσφιλῶν καὶ δικαίων αὐξάνεται τοῖς ὕμνοις, ἐξόχως δὲ τὰ περὶ πόνους κατορθώματα. b. ἄλλως. κατὰ πολλά τις χρείαν ἔχει, φησί, τῶν φίλων ἀνδρῶν· οὐ διαπαντὸς δὲ τῶν αὐτῶν εἰσιν αἱ χρεῖαι, ἀλλ' ἄλλοτε ἄλλου, πῆ μὲν ἐν τοῖς πόνοις καὶ ἔργοις, πῆ δὲ καὶ τέρπεται ὁρῶν τις πιστὸν φίλον· νῦν δὲ δηλαδὴ τοῦ Πινδάρου χρεία, ἵνα ὑμνήσῃ τὸν νικηφόρον.

73. μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασιν: ἐπιζητεῖ δὲ καὶ ἡ τῶν ὀμμάτων τέρψις τὸ πιστὸν ὥστε θέσθαι ἐν ὄμμασι, τουτέστι θεωρῆσαι· καὶ ἡμεῖς δὲ φιλοῦντες ὑμᾶς κατὰ ἀλήθειαν, θεωροῦντες τερπόμεθα. Εὐριπίδης (Ion. 732)·

εἰς ὄμματ' εὐρὺ φωτὸς ἐμβλέψει γλυκύ.

75. ὦ Μέγα: ὡς τεθνηκότος τοῦ Μέγα οὕτω φησίν· ἐμοὶ δὲ ἀδύνατον, ὦ Μέγα, τεθνηκότος σου τὴν ψυχὴν ὑπ' ὄψιν καὶ πίστιν ἀγαγεῖν.

77a. κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος: τουτέστιν ἐὰν ἐλπίσω τὰ ἀδύνατα, κενὸς ἔσομαι. b. ἢ οὕτω· τῶν δὲ ματαίων ἐλπίδων ἀσθενὴς καὶ ἀβέβαιος ἡ ἔκβασις.

3 ὑψωθεῖσαν D 6 ἐς D μῆκος D: ὕψος B αὔξεται — 9 δικαίοις om. D 8 πρὸς ὑγρὸν αἰθέρα χλωραῖς ἐέρσαις v. c. cj. Abel (non sine causa) 13 ἄλλως om. D 14 πολλά τις B: πολλάκις D 16 τις πιστὸν a: πιστὸν D τις τὸν B 21 δὲ om. D φιλοῦντες B^{pc}D: φιλονεικοῦντες φιλοῦντες B^{ac} 23 εὔ-νον codd. Eur., B^{3} ἐμβλέψαι codd. Eur. ἐμβλέπειν B^{3}

79a. *σεῦ δὲ πάτρᾳ Χαριάδαις τε*: Χαριαδῶν φυλή, ἀφ' ἧς ὁ νικηφόρος. τὸ δὲ ἑξῆς· τῇ δὲ σῇ πατρίδι καὶ τοῖς Χαριάδαις ἀναστηρίξαι καὶ ἱδρῦσαι εὔτονον μουσικὴν στήλην βούλομαι ἕνεκα τῶν δυνατῶν σου ποδῶν καὶ νικηφόρων. δρόμῳ γὰρ ἐνίκησεν. b. ὁ δὲ νοῦς ὅλος· τὸ μὲν ἀναστῆσαι τὸν τεθνεῶτα, φησίν, ἀδύνατόν μοί ἐστι· τῇ δὲ πατρίδι καὶ τῇ φυλῇ, οἵ εἰσι Χαριάδαι, ὑπερεῖσαι λίθον Μουσαῖον, τουτέστι στήλην ἀπὸ Μουσῶν, ἤγουν τὸν ὕμνον, δυνατός εἰμι, ἐφ' οὗ ἡδρασμένοι ἔσονται ἔνδοξοι. λάβρον δὲ τὸν λίθον τῶν Μουσῶν ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων εὔτονον στήλην φησί· λάβρον δέ, διὰ τὸ ῥεύματι χρῆσθαι τοὺς ποιητάς.

82a. *χαίρω δὲ πρόσφορον*: χαίρω ὅταν ᾖ, φησί, τὰ πεπραγμένα πρόσφορα τῷ λόγῳ· χαίρω δὲ περὶ τῶν διὰ τοῦ ὕμνου κόμπων· ποιητὴς δέ τις τοῖς ὕμνοις ἀνώδυνον τίθησι τὸν πόνον τῷ νικηφόρῳ. b. ἄλλως. ταῖς ἐπῳδαῖς, φησίν, ἀνώδυνόν τις ἔθηκε τὸν κάματον· ἐδόκουν γὰρ οἱ ἀρχαῖοι ταῖς ἐπῳδαῖς ἴασιν καὶ θεραπείαν εὑρίσκειν. Ὅμηρος (τ 457)· ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχεθον. πρὸς τί δὲ τοῦτο εἶπεν; ὅτι ὡς ἐπῳδῇ τις χρησάμενος κουφίζει τὸν κάματον, οὕτω καὶ ἐγὼ ὡς ἐπῳδῇ χρησάμενος τῷ ὕμνῳ κουφίσω τὴν κακοπάθειαν τοῦ ἠθληκότος.

85. *ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι*: τουτέστι τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι, πρὶν καὶ τοὺς Ἀργείους ἐπιστρατεῦσαι ταῖς Θήβαις, τουτέστι πρὶν τὰ Νέμεα τεθῆναι ἦν ἐγκώμια. στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας

---

1 χαριαδῶν] χαριάδαι cj. Abel 2 τῇ B: τὰ D 3 ἱδρῦσαι B? ([ἱ]δρ·[σαι] dispicere mihi visus sum) D: ὑπερεῖσαι r 5 μὲν B: μὴ D 6. 7 καὶ τῇ φυλῇ om. D 7 οἵ εἰσι D: ἥ ἐστι B 8 ἤγουν] ἤτοι cj Abel; ἤγουν τὸν ὕμνον ft. delend. 9 ἡδρασμένου Schr. λαῦρον B 10 εὔτονον B: ἔστονον D φησὶ στήλην D 11 λαῦρον B ῥεύματι ⟨λάβρῳ⟩ M. Schmidt 12 πρόσφρων D 13 χαίρω D: χαίρει B. Locus vix sanus 15 πόνον B: ὕμνον D 16 τις om. D 17 ἴσασιν D 18 ἐπ' ἀοιδῇ D: ἐπαοιδοὶ B 19 ἐπῳδῇ b: ἐπαοιδῇ BD τις B: καὶ D 22 δὴ πάλαι om. D 25 περὶ B: παρὰ D θήβαις D

ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ' αὐτῷ τοῦ μόρου ἄρξαντι τὰ Νέμεα ἔθηκαν.

subscr. τέλος. schol. inscr. IX D D

Scholia in Nemeonicarum carmen IX.

Ἡ ἐννάτη ᾠδὴ μονοστροφική ἐστιν ἐκ κώλων δώδεκα. τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ β' τὸ αὐτό. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ' δακτυλικὸν πενθημιμερές. τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ' δακτυλικὸν πενθημιμερές. τὸ ζ' ἐγκωμιολογικὸν μετατεθείσης τῆς πρώτης ἐπὶ τὴν ἐσχάτην. τὸ η' ἰαμβέλεγος, μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. τὸ θ' πενθημιμερὲς δακτυλικόν. τὸ ι' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. τὸ ια' τὸ αὐτό. τὸ ιβ' πενθημιμερὲς ἰαμβικόν. 16 D

inscr. Περὶ τῶν ἐν Σικυῶνι Πυθίων ὁ Ἁλικαρνασεὺς (Herod. 5, 67 ?) οὕτω γράφει· .... φησὶ δὲ ἐν τῷ πολέμῳ τῶν Κρισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια ποριζομένων καὶ διὰ τοῦτο μακρᾶς γινομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον ναυτικὸν ἰδίᾳ παρασκευάσαντα κωλῦσαι τὴν σιτοπομπίαν αὐτῶν, καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τὸ τρίτον τῶν λαφύρων ἔδοσαν τῷ Κλεισθένει καὶ Σικυωνίοις, ἀφ' οὗ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν. ὁ δὲ Χρόμιος οὗτος φίλος ἦν Ἱέρωνος,

---

2 hyp. Nem. c (p. 3sq.)

---

1 ὑπὸ τοῦ δράκοντος om. D 2 ἄρξαντι ⟨αὐτοῖς⟩ cj. Abel, cl. hyp. Nem. p. 3,7 ἔθηκαν τὰ νέμεα D 5 Scholia N. IX—XI pertractavit Mommsen Parergis Pindaricis (Francofurti 1877) 5—12 post sch. ad v. 13 D 9 membr. ζ' et η' perversa ratio; sed cfr. N. VIII str. β epod. θ' μετατεθείσης B: τεθείσης D ἢ προσοδιακὸν τρίμετρον καθὸ καὶ ἐν τοῖς ἄνω mg. Brub. 15 lac ind. b, qui quae seq. Menaechmo Sicyonio tribuit supplevitque: Μέναιχμος δὲ ὁ Σικυώνιος ἐναντία τούτῳ γράφει (hoc quidem parum recte, cum ap. Herodotum belli Amphictyonici nulla mentio sit) 17 γινομένης D[pc]: γενομένης BD[ac] 18 κλεισθένη D σικυόνιον D 21. 22 παρ' αὐτοῖς D

κατασταθεὶς ὑπ' αὐτοῦ τῆς Αἴτνης ἐπίτροπος· ὅθεν καὶ Αἰτναῖος ἐκηρύχθη. αὗται δὲ αἱ ᾠδαὶ οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι· διὸ κεχωρισμέναι φέρονται.

1a. Κωμάσομεν παρ' Ἀπόλλωνος: ἀπὸ τοῦ χοροῦ ὁ λόγος. ἔνιοι δέ, κωμάσομεν εἰς τὴν Αἴτνην, φασί. νεόκτιστον δὲ ταύτην φησίν, ἐπειδὴ ἦν ὁ Ἱέρων νεωστὶ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλουμένην. ξείνων δὲ θύραι, αἱ τῆς φιλοξενίας. τὸ δὲ νενίκανται ἀντὶ τοῦ ἥττηνται· παντὶ οὖν εἴκουσαι ξένῳ καὶ οὐδένα ἀπελαύνουσαι νικῶνται τῇ φιλοξενίᾳ τοῦ νικηφόρου· ἢ νίκας ἔχουσιν, ἐν οἴῳ τρόπῳ ἐστεφανῶσθαι τόνδε, ἀντὶ τοῦ στέφανον ἔχειν. τὴν δὲ ὅλην Αἴτνην εἰπὼν ἐπήνεγκε Χρομίου δῶμα, ὥστε ὅμοιον εἶναι τῷ (ϑ 362—3)

ἣ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
ἐς Πάφον.

b. ὁ δὲ νοῦς οὕτω· χορεύσωμεν, ὦ Μοῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκοντες καὶ παρὰ τοῦ ἐκεῖσε Ἀπόλλωνος εἰς τὴν καλλίστην Αἴτνην, ἐν ᾗ πᾶσιν ἀνεῳγυῖαι ⟨αἱ⟩ θύραι τοῦ Χρομίου τῆς οἰκίας ἥττηνται ὑπὸ τῶν ξένων, ἔνθα πᾶσι ξένοις ὁ πλούσιος οἶκος ἀνέῳκται ὑπὸ φιλοξενίας ἡττηθείς. ἄγε δὴ οὖν, ὦ Μοῦσαι, διανύσατε καὶ πράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους. τὸ γὰρ τοὺς λοιποὺς κρατοῦν καὶ νικῶν ἅρμα ἐλαύνων ὁ Χρόμιος τῇ τε Λητοῖ καὶ τοῖς δυσὶν αὐτῆς παισὶ τὸ θαυμάζεσθαι δίδωσιν, οὖσιν αὐτοῖς τῆς ὑψηλοτάτης Πυθῶνος καὶ ὁμοκλήροις καὶ ἴσοις ἐπισκόποις.

---

11 sch. Θ 47. Eust. ad ϑ 362 (p. 1600, 50)

---

2 αἱ ᾠδαὶ om. D 5 ἔνιοι—φασί sensu cassa. κωμάσωμεν B^e? 6 φασὶν B ἦν B: οὖν D 9 ξένων D 12 δῶμα B: σῶμα D 13. 14 τῷ ἣ δ' ἐς B: τὸ δ' ἐς D δ' ἄρα codd. Hom. 15 om. D 17 καὶ del. M. Schmidt παρὰ h: περὶ B?D (B l. n.) 18 αἴτναν D ἀνεωγῆαι D suppl. b 18. 19 τῆς οἰκ. τοῦ χρομ. D 20 ἡττηθείς B: νικηθείς D 21 διανύσετε D 24 τὸ] αὐτὸν Hermann (ap. b), αὐτὸ id. not. ad Pind. 388 κωμάζεσθαι Kayser p. 84; sed cfr. sch. N. V 34b et 91 (sic Abel) 24 τῆς B: τοῖς τῆς D 25 καὶ (pr.) del. Abel (probab.)

8. τὸ κρατήσιππον γάρ: κρατήσιππον ἤτοι τὸ συνέχον ἐν τάξει τοὺς ἵππους, ἢ τὸ κρατοῦν καὶ νικῶν τοὺς ἐναντίους.

13a. ἔστι δέ τις λόγος ἀνθρώπων: ἔστι γάρ τις παλαιὰ παραίνεσις καὶ παρὰ ἀνθρώποις ᾀδομένη, ὡς οὐ δεῖ τὸ ὑπό τινος κατεργαζόμενον καλὸν σιγῇ παραδιδόναι, ὥστε εἰς γῆν κατενεχθῆναι καὶ ἄδοξον διὰ τῆς σιωπῆς γενέσθαι.

b. τὸ οὖν ἐπιτελεσθὲν ἀγαθὸν οὐ δεῖ, φησί, τῇ σιγῇ παραδοῦναι οὐδ' ἀνεπισήμαντον ἀφεῖναι. metr. D

16a. θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος: τοῖς νενικηκόσι, φησί, πρόσφορός ἐστι καὶ ἐοικυῖα ἡ διὰ τῆς καυχήσεως ᾠδή· τίνες γὰρ ἄλλοι μέλλουσι καυχᾶσθαι ἢ οἱ νικήσαντες; Ἀττικοὶ δὲ λέγουσι καύχην τὴν καύχησιν, καὶ ἄνθην τὴν ἄνθησιν, καὶ βλάστην τὴν βλάστησιν. b. ἢ οὕτω· προσφορωτέρα ἐστὶ τῆς καυχήσεως ἡ τῶν ἐπῶν ᾠδή· ἢ πρόσφορος καὶ ἀγαθή τις ἡ τῆς τῶν ἐπῶν καυχήσεως ᾠδὴ ἢ ἡ καυχητικὴ ᾠδή. c. ὁ δὲ νοῦς· ἀλλ' ὅτι πρόσφορός ἐστι καὶ ἁρμόζουσα τούτοις θαυμαστή τις λόγων ᾠδή.

18a. ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγα: ἑαυτῷ παρακελεύεται ὑμνεῖν τὸν νικηφόρον. βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ τὸν βρόμον καὶ τὸν ἦχον τὸν ἀποτελούμενον κατὰ τὸν κιθαρισμόν, ἢ βρομίαν τὴν συναναστρεφομένην τῷ Διονύσῳ. Ὅμηρος (ρ 271)·

φόρμιγγός θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην.

b. ὁ δὲ νοῦς· διὰ τοῦτο δὴ σὺν πᾶσιν ὀργάνοις μουσικοῖς, τοῦτο μὲν κιθάρᾳ, τοῦτο δὲ αὐλῷ, ὁρμήσωμεν ἐπὶ τὴν κο-

---

12 Phryn. epit. p 19, 6 Borr. Cfr. Moeris p. 187, 9 et 25 Bekk. Phot. p 139, 13 R. BA p. 403, 22. Suid. ἄνθης. Greg. Cor. p. 50. Sch. Thuc. 1, 73. Thom. Mag. p. 127 Bern.

---

1 κρατήσιππον (alt.) om. D 2 καὶ τὸ νικῶν D 7 ἐπιτελεσθὲν Kayser p. 84: ἐπιτελεστικὸν BD παραδιόδναι B 8 ἀφιέναι b 9 καύχης D ἀοιδὰ πρόσφορος om. D 12 καύχην λέγουσι D 15 ἢ] ἤτοι Schr. 16 ἀλλ' ὅτι corrupta esse iud. M. Schmidt, recte 18 φόρμιγγα om. D 20 ἦχον B: κτύπον D τελούμενον B 23 θεοὶ δαιτὶ B 24 δὴ σὺν πᾶσιν B: οὖν δὴ σύμπασιν D 25 ὁρμήσομεν Bergk

ρυφὴν τῶν ἱππικῶν ἄθλων, ἐπὶ τὸ ἐξαίρετον, τουτέστι τὴν νίκην.

20. ἅ τε Φοίβῳ θῆκεν Ἄδραστος: ἅτινα, τὰ Πύθιά φησι· κατ' αὐτὸν τὸν Πίνδαρον· ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄδειαν, Κλεισθένους αὐτὰ διαθέντος, καθὰ δεδήλωται (sch. inscr.). ἵν' οὖν ἐνδοξότερον ἀποφήνῃ τὸν ἀγῶνα, ὧνπερ, φησίν, ἄθλων μνημονεύσας ἐγὼ καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν τοῦ ἥρωος Ἀδράστου.

25a. ὃς τότε μὲν βασιλεύων: ὅστις Ἄδραστος τὸ τηνικαῦτα λοιπὸν ἐκεῖ βασιλεύων ἐν τῇ Σικυῶνι, οὐκέτι ἐν Ἄργει, παντοίαις ἀρεταῖς, τοῦτο μὲν ἀγωνίσμασιν ἀνδρῶν τοῖς ἐκ δυνάμεως, τοῦτο δὲ φιλοκαλίαις ἁρμάτων γλαφυρῶν καὶ ὡραίων καὶ καινοτέραις εὐωχίαις, ἐμφανεστάτην καὶ ἀοίδιμον ἐποίει τὴν πόλιν. b. καὶ Κλεισθένης μὲν τὰ ἐν Σικυῶνι Πύθια διέθηκε πρῶτος, ἀνατίθησι δὲ τὸ ὅλον Ἀδράστῳ ὡς διαθέντι, ἐπειδὴ καὶ διωρθώσατο αὐτὸς ὕστερον, καὶ ἄλλως ἐνδοξότερος ὁ ἀνήρ.

30a. φεῦγε γὰρ Ἀμφιάρηον: περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος μὲν οὕτω φησίν (V 67)· οἱ δὲ Σικυώνιοι εἰώθεισαν μεγαλωστὶ κάρτα τιμᾶν τὸν Ἄδρηστον. ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος, ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν διδοῖ Ἀδρήστῳ τὴν χώρην. Μέναιχμος δὲ ὁ Σικυώνιος οὕτω γράφει (Scriptt. rer. Al. p. 145)· χρόνου παρελθόντος πολλοῦ Πρῶναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, καταστασιασθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Μελαμποδιδῶν καὶ

---

6 διατιθέντος D καθὼς D 6. 7 ἵν' οὖν B: ἵνα γοῦν D 8 καὶ B: κατὰ D 11 τῇ om. D 12 ἀρεταῖς] ἑορταῖς M. Schmidt μὲν B: μὲν ἐν D 16 ὡς διαθέντι a: ὡς διατιθέντι D καταδιαθέντι B ἅτε διαθέντι Mommsen 17 ὕστερον del. h ἄλλων D 21 εἰώθασι D μεγαλωστὶ om. B ἄδραστον BD 22 πολύβου (pr.) — ἦν om. D 23 ὁ om. codd. Her. 24 χώραν D ἀρχήν codd. Her. 27 κατασταθεὶς B μελαμπηδιδῶν D

τῶν Ἀναξαγοριδῶν· Ἄδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα, καὶ τὴν Πολύβου τοῦ μητροπάτορος βασιλείαν παραλαβὼν ἐβασίλευσε τῆς Σικυῶνος, καὶ τὸ τῆς Ἥρας τῆς Ἀλέας καλουμένης ἱερὸν καθ' ὅνπερ ᾤκει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν διὰ τὸ φεύγοντα τὸν Ἄδραστον ἱδρύσασθαι καὶ καλέσαι ἱερὸν Ἥρας Ἀλέας. τὸ δὲ φυγεῖν τινες ἀλᾶσθαι ὠνόμαζον. Διευχίδας δὲ ἐν τῷ τρίτῳ τῶν Μεγαρικῶν (FHG IV 389) τὸ μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. b. οἱ δέ φασι· Προῖτος ἐβασίλευσε τοῦ Ἄργους, τῶν θυγατέρων δὲ αὐτοῦ μανεισῶν Μελάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῷ μισθοῦ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς· ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν, καὶ τὸ μὲν ἥμισυ ἐκοινώσατο τῷ ἀδελφῷ Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῷ, ὥστε γενηθῆναι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας, Βιαντίδας, Προιτίδας. Μελάμποδος μὲν οὖν Ἀντιφάτης, οὗ Ὀϊκλῆς, οὗ Ἀμφιάραος· Βίαντος δὲ Ταλαὸς, οὗ Ἄδραστος· Προίτου δὲ Μεγαπένθης, οὗ Ἱππόνους, οὗ Καπανεὺς, οὗ Σθένελος. διαφορὰ δὲ ἐγενήθη τοῖς περὶ Ἀμφιάραον καὶ Ἄδραστον, ὥστε τὸν μὲν Ταλαὸν ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδραστον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα, τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς τὸν Ἄδραστον ἔχειν

10—15 cfr. Eust. ad *B* 566 (p. 288, 30)

---

1 ὁ om. **D** **2** τοῦ **B**: τὴν **D** **3** παραλαβὼν **D**: λαβὼν **B** ἐβασίλευε **D** **4** ἀλέας **D**: ἀλ^ε' **B** ἀλεξάνδρου r **6** καὶ — **7** ἀλέας om. **D**, damn. Blass Burs. Jahresber. 1880 p. 213 **7** ἀλέας Mommsen: ἀλεξάνδρου **B** (ἢ ἀλέου? B^ms) φυγεῖν τινες **B**: τινὲς φυγεῖν ἀντὶ τοῦ **D** τὸ δ' ἀλᾶσθαί τινες ἀντὶ τοῦ φεύγειν ὠνόμαζον Blass διευχίδας b: διευτυχίδας **BD** **10** οἱ δέ φασι ft. delend. φασι **B**: φασιν ὅτι **D** προῖτος **D**: πρῶτος **B** (ε. s. οἶ m rec.) **12** δυοῖν **D** **14** ἐκοινωνήσατο **B** **16** μελαμποδίδας Beck: μελαμπίδας **BD** μελάμποδος **B**: μελαμπίδος **D** **17** ὀϊκλῆς B^s (m. rec.): ἰφικλῆς **BD** (ἰοκλῆς Eust. l. l., al.) **18** ἄδρηστος **D** προῖτος **B** (corr. m. rec. in προίτου) **19** ἐγεννήθη **D**

τὴν Σικυωνίων βασιλείαν. εὐλόγως οὖν εἶπε· φεῦγε γὰρ Ἀμφιάρηον ὁ Ἄδραστος διὰ τὴν στάσιν τὴν πρὸς τοὺς Μελαμποδίδας. ὕστερον μέντοι συνεληλύθασι πάλιν, ἐφ' ᾧ συνοικήσει τῇ Ἐριφύλῃ ὁ Ἀμφιάραος, ἵν' εἴ τι μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται (Δ 37), αὐτὴ διαιτᾷ. c. ὁ δὲ νοῦς οὕτως· ἔφευγε γὰρ πρὸ τούτου πολέμιον ὄντα τὸν Ἀμφιάραον, καὶ τὴν πρὸς αὐτὸν στάσιν δεινὴν οὖσαν ἔφευγε καὶ ἐκ τῆς πατρῴας ἑστίας καὶ ἀπὸ Ἄργους.

32. ἀρχοὶ δ' οὐκέτ' ἔσαν Ταλαοῦ παῖδες: οὐκέτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Ἄργει οἱ Ταλαοῦ παῖδες οἱ περὶ Ἄδραστον, βιασθέντες ἐν τῇ στάσει καὶ τῷ πολέμῳ τῷ πρὸς Ἀμφιάραον· ἔφυγε γὰρ Ἄδραστος.

35a. κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ: ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προϋπάρχον δίκαιον καταπαύει. ἐν ἄλλοις ὁ Πίνδαρος (fr. 169)· νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί. b. ἢ δεκτέον τοῦτο εἰρῆσθαι διὰ τὴν ἔχθραν τὴν ἐπὶ τῷ Ἀδράστῳ· διὸ δὴ καὶ οὗτος ἰσχυθεὶς τότε ὑπὸ Ἀμφιαράου ὕστερον αὐτὸν μετῆλθε, κρείσσων φανεὶς καὶ συνετώτερος. πῶς δὲ μετῆλθε; μέσην ποιησάμενος τὴν Ἐριφύλην τῶν πρὸς αὐτὸν διαφορῶν· ἔφθειρε γὰρ ἐκείνην τῇ δόσει τοῦ ὅρμου, καὶ μετῆλθεν αὐτόν, ὥστε ἀπολέσθαι. c. ἀνδροδάμαν δὲ τὴν τὸν ἄνδρα ἀνελοῦσάν φησιν· ἡ γὰρ Ἐριφύλη τὸν ἑαυτῆς ἄνδρα Ἀμφιάραον προὔδωκεν εἰς φόνον. μέμνηται τούτου καὶ Ὅμηρος (λ 326)·

στυγερήν τ' Ἐριφύλην,
ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.

---

2 ἀμφιάρων D ὁ om. B ἄδρηστος BD (corr. b) 3. 4 συνοικήσειν et τὸν ἀμφιάραον b 5 διαιτᾷ B: διαιτοῦ D 7 στάσιν δεινὴν οὖσαν B: δεινὴν (s. δεῖν) στάσιν D 10 ἄργει B: ἄρχειν D 12 ἄδρηστος B 13 καππαύει] καμπάνει B καππάνει D 14 ὁ δὲ om. D 18 ὑπὸ] + τοῦ D 21 διαφορῶν h: συμφορῶν BD γὰρ B: δὲ γὰρ D 22 ἀδροδάμαν D 24 αὐτῆς D προδέδωκεν D 26 στυγερήπερ' ἰφύλη D

d. ὁ δὲ νοῦς· ὁ δὲ συνετὸς ἀνὴρ καὶ κρείσσων τῶν λοιπῶν ὁ Ἄδραστος κατέπαυσε τὴν μάχην τὴν προτέραν οὕτω· τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἐριφύλην τὴν τὸν πρότερον ἄνδρα δαμάσασαν ἔδωκε τῷ Ἀμφιαράῳ, ἥτις ὥσπερ τις ὅρκος πιστότατος δοθεῖσα τῷ Ὀϊκλέος παιδὶ Ἀμφιαράῳ καὶ γυνὴ αὐτῷ γενομένη ἔσβεσε τὴν μάχην, καὶ οὕτω τῶν ξανθοκόμων Ἑλλήνων ἐγένοντο περιφανέστεροι οἱ περὶ Ἄδραστον.

41. *καί ποτ' ἐς ἑπταπύλους Θήβας*: ἐντεῦθεν δὴ καὶ εἰς τὰς Θήβας ποτὲ τὰς ἑπταπύλους στράτευμα ἤγαγον οὐκ αἰσίοις οἰωνοῖς χρησάμενοι οἱ περὶ Ἀμφιάραον καὶ Ἄδραστον· οὐδὲ γὰρ ὁ Ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαργῶντας αὐτοὺς καὶ ἐπειγομένους ἀπὸ τῶν οἴκων ἀπιέναι προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχέσθαι τῆς ἀφίξεως. οὐδὲν γὰρ αὐτοῖς δεδώκει δεξιὸν σημεῖον. εἰς δὲ φανερὰν ἄτην καὶ βλάβην τὸ τούτων ἔσπευδε στράτευμα [καὶ] παραγενέσθαι σὺν τοῖς χαλκοῖς ὅπλοις, φησὶ τοῖς πεζοῖς, καὶ τοῖς ἱππεῦσιν.

53a. *Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν νόστον ἐρεισάμενοι*: τουτέστιν ἀποθανόντες ἐπὶ ταῖς τοῦ Ἰσμηνοῦ ἀναβολαῖς. b. λευκανθέα δὲ λέγει τὰ σώματα· γίνεται γὰρ τὰ σώματα τῶν καιομένων νεκρῶν λευκά· ἢ ⟨τὸν καπνὸν⟩, ὅτι ὁ καπνὸς διὰ τὴν πιμελὴν λευκός ἐστι καὶ βαρύς, παρὸ οὐδὲ πόρρω διϊκνεῖται μετέωρος καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός. c. ὁ δὲ νοῦς· τοιγαροῦν παρ' αὐταῖς ταῖς ὄχθαις τοῦ Ἰσμηνοῦ πεσόντες αὐτόθι καὶ τὴν οἴκοι ἀνακομιδὴν ἀπέθεντο, θανάτῳ λυθέντες καὶ ἑαυτῶν τὰ σώματα τροφὴν δόντες τῷ πυρί. ἑπτὰ γὰρ ὅλαι πυρκαϊαὶ τὰ τῶν νέων κατευωχήθησαν

1 ὁ (tert.) om. D 5 ὀϊκλέος r: ἰοκλέος BD αὐτῷ gemin. D γινομένη D 7 περιφανέστατοι Bergk 8—14 δεξιὸν *manus tertia* D 9 εἰς τὰς ἑπταπ. Θήβας ποτὲ στρ. D 10 αἰσίως D 12 οἴκων D: φίλων B 13 οὐδὲν—14 σημεῖον del. M. Schmidt 14 εἰς δὲ εἰς φαν. D 15 καὶ del. b περιγενέσθαι B 17. 18 ἐρυσάμενοι D[1] 18 ταῖς et ἀναβολαῖς D: τῇ et ἀναβολῇ B 19 λέγει ⟨ἤτοι⟩ τὰ M. Schmidt τὰ σώματα γίν. γὰρ om. D 20 suppl. Kayser lect. Pind. 85 21 πιμελὴν B: πινωλὴν D 22 διικνεῖται] + καὶ D ἐκ τῶν B: αὐτῶν D ξυρῶν D 26 τῶν νέων D: τῶν νεκρῶν ἢ τῶν νέων B

καὶ κατέφλεξαν σώματα. τὸ δὲ ἑπτὰ πυραὶ οὐ πρὸς τοὺς λοχαγούς, ἀλλὰ πρὸς τὸ τῶν νέων στράτευμα· ἐφ' ἑκάστῃ γὰρ πύλῃ πολυάνδριον ἐγένετο.

57 a. ὁ δὲ Ἀμφιάρηϊ σχίσσε: τουτέστιν· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε τὴν γῆν κεραυνὸν βαλών, ὥστε καταποθῆναι αὐτὸν τῷ πάντα βιαζομένῳ κεραυνῷ. τοῦτο οὖν λέγει ὡς τοῦ Ἀμφιαράου σονισταμένου τῷ Περικλυμένῳ, ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τειρεσίου ὁμώνυμος τῷ Νηλέως. πρὶν οὖν φησὶν ὑπὸ τοῦ Περικλυμένου τρωθῆναι τὰ νῶτα τὸν Ἀμφιάραον φεύγοντα καταποθῆναι· ἀεὶ γὰρ ἐπεδίωκεν αὐτόν. b. ὁ δὲ νοῦς οὕτως· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε καὶ διέστησε τὴν γῆν τὴν πλατεῖαν, ἄνωθεν ἐπιπέμψας τὸν κεραυνὸν τὸν πάντας βιάζεσθαι δυνάμενον, καὶ οὕτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραυς ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ, πρὶν ἢ τῷ τοῦ Περικλυμένου δόρατι τρωθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ, καὶ αἰσχύνην προστρίψασθαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ, τοῦ Ἀμφιαράου, τὸν τοιοῦτον θάνατον.

63. ἐν γὰρ δαιμονίοισι φόβοις: ἐν γὰρ τοῖς μεγίστοις καὶ ἐνθέοις φόβοις συνέχονται καὶ οἱ τῶν θεῶν παῖδες καὶ φεύγουσι. συγγνώμη οὖν, φησί καὶ τῷ Ἀμφιαράῳ φεύγοντι· ὁ γὰρ Ζεὺς συνεμάχει τότε τοῖς Θηβαίοις, διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος. οὕτω καὶ ὁ Αἴας ἔφευγεν

ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων (Λ 547),

τὸν Δία ἔχων ἀντιστάτην.

67 a. πεῖραν μὲν ἀγάνορα: πεῖραν, τὴν ληστρικὴν ἐπίθεσιν.

67 b. Φοινικοστόλων ἐγχέων: μεθ' ὧν οἱ Φοίνικες ἐστάλησαν δοράτων, ἤτοι ὑπὸ Φοινίκων ἐσταλμένων, ἐπειδὴ

1 sch. O. VI 23 26 Hes. πεῖραι. Suid πεῖρα. EM 667, 43

4 σχίσε B 5 διέσχεσε D κεραυνὸς D 7 συνεσταλμένου B 8 ὁμώνυμος τῷ Mommsen: ὁμωνύμου τοῦ BD 12 διέστησε καὶ διέσχισε D 13 πάντα a δυνάμενον βιάζεσθαι D 16 αἰσχύνη D

Φοίνικες ᾤκησαν τὴν Λιβύην μετὰ Καρχηδονίων, οἵτινες ἀνιόντες ἐπολέμουν Σικελούς. διὸ νῦν εὔχεται ὁ Πίνδαρος τῷ Διὶ ὥστε μὴ ἐμποδισθῆναι αὐτῶν ὀργήν. c. *ἄλλως. οἱ Καρχηδόνιοι ἦσαν τότε Φοίνικες, οἵτινες μέγα ἰσχύοντες ἐπεβάλοντο καὶ τῆς Ἰταλίας καὶ τῆς Σικελίας κρατῆσαι, ἀντεῖχον δὲ οἱ περὶ Γέλωνα καὶ Ἱέρωνα. διὸ καὶ Φοινικόστολα εἶπεν ἔγχη τὰ ὑπὸ Φοινίκων στελλόμενα ἐπὶ τὴν Ἰταλίαν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ὦ Ζεῦ, εἰ δυνατόν ἐστιν ἀναβαλέσθαι τὴν πεῖραν, | ἀναβάλλομαι.* d. *πρὶν εἰς πεῖραν* B *τὰ Σικελικὰ καὶ Φοινικικὰ ἔγχη συμβάλλεσθαι περὶ ζωῆς καὶ θανάτου, | ἀναβάλλομαι αὐτά, ὦ Ζεῦ, καὶ ὑπερτίθεμαι.* BD

e. *ἢ οὕτω· τὸν μὲν πόλεμον τὸν Φοινικικὸν ἀναβάλλομαι, ὦ Ζεῦ, αἰτῶ δέ σε μοῖραν εὔνομον τοῖς παισὶ τῶν Αἰτναίων δοῦναι. τουτέστιν αἰτῶ δέ σε ἱκετεύων, ὦ Ζεῦ, ὥστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν εἰρήνης μοῖραν παρέχειν. ἀπὸ μέρους δὲ τὸ πᾶν, ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς σύμπαντας Σικελιώτας.*

73a. *ἀγλαΐαισι δ' ἀστυνόμοις ἐπιμῖξαι λαόν: καὶ πολλαῖς εὐφροσύναις ἐπιμῖξαι τοὺς ὄχλους, εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν. εἰσὶ γάρ σοι ἐνταῦθα καὶ ἱππικώτατοι ἄνδρες καὶ νικῶντες τῇ προαιρέσει τὸν πλοῦτον καὶ οὐχ ἡττώμενοι χρημάτων.* b. *ἢ οὕτως· εἰσὶν ἄνδρες ἐν Σικελίᾳ καὶ φίλιπποι καὶ ἱπποτρόφοι, ὡς νῦν ὁ Χρόμιος ἵπποις νενικηκώς. εἰς τοῦτον γὰρ ἡ ἀπότασις.*

78a. *ἄπιστον ἔειπ'. αἰδὼς γὰρ ὑπόκρυφα κέρδει κλέπτεται: ἄπιστον δὲ εἶπον, ὡς ἔοικεν, ὅτι τὴν προαίρεσίν εἰσί τινες βελτίους χρημάτων. καὶ γὰρ αἰδὼς ὑποκλέπτεται διὰ τοῦ κέρδους, ἀντὶ τοῦ οὐκ αἰδοῦνται διὰ κέρδος τι πρᾶξαι,*

8 *μὴ* secl. Beck (*μόνον* s. *μοι* in B legi posse falso put. Mommsen) *αὐτῶν ὀργήν* BD (*αὐτ(ῶν)* D[cp]) *αὐτῶν τὴν ὁρμήν* r. Totum schol. mire confusum 4. 5 *ἐπέβαλον* B 6 *γέλωτα* D 8 *ὦ ζεῦ* om. B 9 *ἀναβάλλομαι*—11 *θανάτου* om. D 10 *συμβάλλεσθαι* b: *συμβαλλόμενα* B 11 *ὦ* om. D 14 *ἱκετεύων* D: *ἱκετεύω* B *καὶ ἱκετεύω* r 20 *ἐνταῦθα* B: *ἔντα* D 22 *ηττόμενοι* D 27 *ὑποκλέπεται* D 28 *διὰ* h: *δίχα* BD *δίχα τοῦ ⟨φανεροῦ⟩ κέρδει* cj. Mommsen

ἥτις αἰδὼς εὐδοξίαν φέρει. b. καὶ ὅτι ἡ αἰδὼς ἡ φέρουσα δόξαν ἔστιν ὅτε παραλογίζεται ὑπὸ φιλοκερδείας. c. ἄλλως. κἄν τις, φησίν, αἰδήμων ὑπάρχῃ, ὑπὸ τοῦ κέρδους παραλογίζεται· ἕνεκα γὰρ τοῦ κέρδους καὶ οἱ αἰδήμονες πολλάκις ἀναισχυντοῦσιν.

80. Χρομίῳ κεν ὑπασπίζων: τῷ Χρομίῳ συμπαρὼν ἂν ἔν τε πεζομαχίᾳ καὶ ἱππομαχίᾳ καὶ ναυμαχίᾳ, ἔκρινας οἷός τις ὁ κίνδυνος ὁ τῶν πολέμων. φαίνεται δέ, ὅτι βούλεται αὐτὸν ὡς ἀνδρεῖον καὶ διασῴζοντα τοὺς συνόντας αὐτῷ ἀφόβως παραστῆσαι. ἐπεὶ πῶς ἂν ἀγαθὸς γένοιτο κριτὴς μετὰ δέους ἀναστρεφόμενος ἐν τῷ πολέμῳ;

85a. οὕνεκεν ἐν πολέμῳ κεῖνα θεός: ὁ λόγος ἐπὶ τῆς προειρημένης αἰδοῦς. ᾔδεσαν οὖν, φησίν, ὅτι ἐν τῷ πρὸς τοὺς Φοίνικας πολέμῳ ἐκείνη ἡ θεός, δηλονότι ἡ Αἰδώς, παρεσκεύαζεν αὐτοῦ τὸν θυμὸν αἰχμητὴν εἶναι, ὥστε ἀμύνειν λοιγὸν Ἐνυαλίου. Ὅμηρος (Ε 531)·

αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

b. παρεσκεύαζεν οὖν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κέρδος, ὡς ἄλλοι ἀπαναισχυντοῦσιν, ἀλλ' αὐτοῦ χάριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ.

89. παῦροι δὲ βουλεῦσαι φόνου: ὀλίγοι, φησί, φόνου ἐνεστηκότος βουλεύσασθαι δυνατοὶ τὴν τοῦ πολέμου νεφέλην τρέψαι πρὸς τοὺς πολεμίους κτείνοντες αὐτούς, καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δρᾶσαι καὶ φονεῦσαι τοὺς πολεμίους, καὶ ἐν τῷ βουλεύσασθαι πῶς δεῖ ἀνελεῖν αὐτούς. κατορθοῦται γὰρ ὁ πόλεμος γνώμῃ καὶ χειρί· χειρὶ τῇ ἀνδρείᾳ, ψυχῇ τῇ φρονήσει, ἵν' ᾖ ῥώμη μετὰ φρονήσεως. ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος· καὶ γὰρ οὗτος βουλῇ καὶ χειρὶ ἐγένετο ἀγαθὸς ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Φοίνικας.

---

1 ⟨ἢ⟩ καὶ ὅτι Mommsen 7 τι om. D 9 σῴζοντα D ἀφόβως om. D 11 τῷ om. B 15 παρασκευάζειν D 17 δ' om. D (Aristarchus) 19 ἀπαναισχυντοῦσιν D 22 ἐφεστηκότος B δυνατοί — 25 βουλεύσασθαι geminavit D 23 νεφέλη D[a] 26 χειρὶ (alt.)] + δὲ D

93a. *Ἕκτορι μὲν κλέος ἀνθῆσαι*: ἀπεικάζει αὐτὸν τῷ Ἕκτορι, καὶ τῷ Ἕκτορί φησιν ἀνθῆσαι τὸ κλέος μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ. τοῦτο δὲ εἰς ἔπαινον παρείλκυσε τοῦ Χρομίου. τὸν δὲ Ἕκτορα παρείληφε καὶ οὐκ Αἴαντα ἢ Ἀχιλλέα, τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον. b. ὁ δὲ νοῦς· λέγεταί γε μὴν καὶ ᾄδεται τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν .... παρὰ τῷ Σκαμάνδρῳ, ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ, [ἀφ'] οὗ δὴ καὶ ὁ Ἀρείας πόρος καλεῖται, δέδεικται τοῦτο τὸ φέγγος τῷ Χρομίῳ, ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ. ἐνίκησε γὰρ ἐνταῦθα Καρχηδονίους συμμαχῶν Γέλωνι τῷ τυράννῳ τῷ Ἱπποκράτους διαδόχῳ.

95a. *βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου*: περὶ τοῦτον τὸν ποταμὸν συνέστη Ἱπποκράτει τῷ Γελώων τυράννῳ πρὸς Συρακουσίους πόλεμος· ὁ δὲ Γέλων, ⟨οὗ⟩ οὗτος ἑταῖρος, ἱππάρχει τότε Ἱπποκράτει. ἐν δὴ τούτῳ φησὶ τῷ πολέμῳ [εἰκὸς τὸν] Χρόμιον ἐπιδείξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην. περὶ δὲ τούτου τοῦ πολέμου Τίμαιος ἐν τῇ ι' δεδήλωκε. καθάπαξ γάρ, φησὶν ὁ Δίδυμος, οὐδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ σὺν Ἱπποκράτει τοῦ Γέλωνος πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γέλωνα ἱππαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως (FHG I 212)· Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελῴοις χαρίσασθαι βουλόμενος, μεταπεμψάμενος αὐτὸν καὶ παρα-

---

2 καὶ φησὶν ἀνθῆσαι τὸ κλέος τῷ ἕκτορι μαχ. D 3 παρείλκυσε B: παρείληφε D 6 γε om. B 7 εὐδοξίαν ⟨ἀνθῆσαι⟩ s. ⟨γεγονέναι⟩ h 8 del. Mommsen, etiam ἀνθ' οὗ coniciens 10 ἐνίκησε—12 διαδόχῳ ad schol. 67 s. 95 s. 102 rettulit Leutsch Philol. XIV 51 (perperam) 14 περὶ B: παρὰ D ἱπποκράτης B 15. 16 οὗ οὗτος ἑταῖρος b: οὗτος ἕτερος ὃς BD 16 δὴ B: δὲ D 17 εἰκὸς τὸν om. D; seclusi 20 περὶ B: παρὰ D 21 ὅτι B: ὅτε D πρὸς] + τοὺς D 22 γέλωνι D 24 post τελευτὴν lac. stat. Leutsch Philol. XIV 49

καλέσας ἐπὶ τὰς πράξεις, ἁπάντων τῶν ἱππέων τὴν ἐπιμέλειαν ἐκείνῳ παρέδωκεν. ὅτι δὲ καὶ ὁ Γέλων τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν ἐξ ὧν φησι Τίμαιος ἐν τῇ β' γράφων οὕτως (FHG I 212)· ἐπιτρόπους δὲ τοῦ παιδὸς μετ' ἐκεῖνον κατέστησεν Ἀριστόνουν καὶ Χρόμιον τοὺς κηδεστάς· τούτοις D γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς. b. ἄλλως. Ἕλωρος χωρίον Σικελίας ἤτοι ποταμὸς ⟨πρὸς⟩ Συρακούσαις, ἐν ᾧ πολέμου γεγονότος μεταξὺ Ἱπποκράτους τοῦ τυράννου καὶ Συρακουσίων συνεμάχησε Γέλωνι συμμάχῳ τοῦ Ἱπποκράτους ὁ Χρόμιος καὶ ἠρίστευσεν. ἡ δὲ μάχη ἐν στερρῷ χωρίῳ τῷ BD Ἑλωρι· ὁ δὲ αἰγιαλὸς καλεῖται Ἀρείας πόρος. c. ἄλλως. Ἀρείας πόρος ἐλέγετο πᾶς ὁ περὶ τὸν πορθμὸν καὶ τὸ Ῥήγιον τόπος. ἔχει δὲ ὁ ποταμὸς ἱεροὺς ἰχθύας, οἳ παρὰ τῶν διαβαινόντων δέχονται τροφήν. ὁ δὲ τῆς Ἀρείας πόρος ἀνεξήγητός ἐστι· διὸ καὶ ἄδηλον, εἴτε Ἀρείας εἴτε Ῥείας λεκτέον εἴτε ὑφ' ἓν Ἀρειάσπορον. καὶ καλεῖσθαι μέχρι τοῦ νῦν Ἀρείας πόρον διὰ τὸ πλῆθος τῶν φυομένων, ἢ ἀπὸ τοῦ συμβεβηκέναι ἐκεῖσε πόλεμον. Ἄρεα δὲ οἱ ποιηταὶ τὸν πόλεμόν φασιν.

102a. πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ: χέρσῳ τῆς ἠπείρου φησί· γείτονι δὲ πόντῳ, ἀντὶ τοῦ ἐν ταῖς νήσοις καὶ θαλασσίοις τόποις. ἐν ὑπερβατῷ δέ φησιν· ἐν δὲ ἄλλαις ἡμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἐν

---

13 cfr. Ath. VIII, 331e. Steph. Byz. Ἕλωρος

---

1 ἐπὶ D: περὶ B παρὰ Beck 2 καὶ om. D 4 ἐπιτρόπου D 5 τούτοις B: τούτους D 6 δεδώκει Lehrs Pindarsch. 47 ἔλλωρος D; corr. Mommsen 7 suppl. a 10 στερῷ D; corr. Mommsen 11 ἄρειος D; corr Mommsen 13 ab ἔχει nov. schol. incipere stat. Hartung παρὰ B: περὶ D διαβάντων D 14 ὁ δὲ — 16 ἀρειάσπορον post 18 φασιν trp. b 15 λεκτέον] γραπτέον Bergk. An δεκτέον? 16 καί ⟨φασι⟩ b ἀρείας πόρον] Ἕλωρον Hartung (in transponendo Boeckhium secutus) 17 φυομένων] φονευομένων h φθιομένων Fuehse syllog. 406 δυομένων Hartung φυομένων ⟨παρὰ τὸν πορθμὸν δένδρων⟩ Bergk 18 ὁ ποιητὴς et φησι D 19 ἐν om. D de lectione χέρσω (pro χέρσου) hariolantur edd. 20 πόντῳ h: πόντου BD

ταῖς νήσοις αὐτῷ διηνυσμένα. b. *ἢ οὕτως· ἐὰν κατορθώσῃ, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρου, καὶ τὰ ἑξῆς.*

104a. *ἐκ πόνων δὲ, οἳ σὺν νεότατι γένωνται:* *ἐκ τῶν πόνων τῶν ἐπιτελεσθέντων τῇ νεότητι, καὶ πόνων γε τοιούτων τῶν σὺν δικαίῳ τελεσθέντων, μία ἡμέρα αἰῶνος ὅλου τάξιν ἔχει εἰς εὐφροσύνην· ἐπειδάν τινες ἐν νεότητι πεπονηκότες ὦσι καὶ βεβιωκότες δικαίως, ἡμέρα μία ἐν τῷ γήρᾳ συγκριτική ἐστι πρὸς ὅλον τὸν αἰῶνα. τινὲς δὲ θηλυκῶς φασιν ἐξενηνέχθαι τὴν ἡμέραν ἀντὶ τοῦ ἥμερος, καὶ τὸν αἰῶνα θηλυκῶς εἰρῆσθαι· ἡ αἰών ἐστιν αὐτοῖς ἡμέρα, ἀντὶ τοῦ ἥμερος καὶ προσηνής ἐστιν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν νεότητι πεπονηκότες δικαίως. τὰ δὲ προσηνῆ κατὰ μεταφορὰν ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥσπερ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός.* b. *ἢ οὕτως· ὁ δὲ ἐκ πόνων καὶ κινδύνων αἰὼν καὶ χρόνος, οἵτινες ἂν πόνοι μετὰ δικαιοσύνης ἐν τῇ νέᾳ ἀνυσθῶσιν ἡλικίᾳ, τούτῳ ὁ πρὸς τὸ γῆρας πᾶς χρόνος ὥσπερ μία ἡμέρα παρατρέχει διὰ τὸ εὐθυμεῖν καὶ μὴ ἐπαισθάνεσθαι τῶν φαύλων.* c. *τὸ δὲ ἑξῆς· ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τούτοις τελέθει ἀεὶ φῶς τοῖς πόνοις, οἳ ἂν ἐν νεότητι γένωνται καὶ σὺν δίκῃ. ἔστι δὲ ἐκ τοῦ ἐναντίου τῷ Ὁμήρου* (τ 360)·

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

109a. *εἰ γὰρ ἅμα κτεάνοισι πολλοῖς:* *εἰ γὰρ ἅμα τῷ πλουτεῖν καὶ δοξασθήσεταί τις καλὰ ἐργασάμενος, οὐκ ἔστιν ὑπερθέσθαι ταύτην τὴν μακαριότητα, ὅταν συνέλθῃ δόξα*

1 *κατορθώσω* scribend. vid. 3 *οἳ* et *οἵ* **B** *οι* **D** (supra *δὲ* add.) 4 *τῇ* **B**: *τῶν ἐν* **D** *ἐν* a *σὺν* (s. *ἐν*) *τῇ* Mommsen 7 *ἡμέρα μία* **B**: *ἡ μία ἡμέρα* **D** 8. 9 *δηλικῶς* **D** 9 *ἐξηνέχθη* **D** *τὴν ἡμέραν*] *τὸ ἡμέρα* M. Schmidt, probabiliter *ἥμερος*] *ἥμερον* cj. Abel 10 *ἡ* om. **D** 11 *ἥμερος καὶ* secl. M. Schmidt *προσηνής ἐστιν* a: *προσηνὴς* **D** *πρᾶος ἐστὶν* **B** *ὁ βίος αὐτοῖς* **D**, om. *ἐστιν* 14 *πόνου καὶ κινδύνου* **D** *ὁ δὲ —16 τούτῳ* sensu cassa 19 *φῶς* **B**: *φησὶ* **D** 20 *καὶ σὺν* a: *καὶ* **B** *συν* **D** *τῷ ὁμήρου* **B** (ut vid.): *τῷ ὁμήρῳ* **D** *τοῦ ὁμήρου* r (*πρὸς τὸ τοῦ ὁμήρου* Tricl) 23 *εἰ γὰρ ἅμα* (alt.) **B**: *ἤτοι ἐν* **D** 24 *καὶ* **B**: *ἐὰν* **D** *εἰργασμένος* **D** 25 *ὑπερθέσθαι* Beck: *ὑποθέσθαι* **BD** *συνεισέλθῃ* **D**

πλούτῳ. b. ὁ δὲ νοῦς· ὁ γὰρ ἅμα πλήθει περιουσίας καὶ δόξαν εὐκλεῆ καρπωσάμενος οὐκέτι περαιτέρω θνητὸς ὢν ὀφείλει περισκοπεῖν οὐδὲ ἄλλης εὐτυχίας ὁδοὺς ἐπιζητεῖν τοῖς ἑαυτοῦ ποσίν. ἀνυπέρβλητος γάρ, φησίν, αὕτη ἡ ἀρετή. παρέοικε δὲ τῇ ἄνω διανοίᾳ (N. III 19)· εἰ δ' ἐὼν καλὸς ἔρδων δ' ἐοικότα μορφᾷ, οὐκέτι πόρσω, καὶ τὰ ἑξῆς.

114a. ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον: τῇ μὲν οὖν εἰρήνῃ καὶ ἡσυχίᾳ προσφιλές ἐστι τὸ συμπόσιον, ἡ δὲ νεωστὶ καταπραχθεῖσα νίκη συναύξεται τῇ μαλθακῇ καὶ ἡδείᾳ ᾠδῇ. b. ἢ οὕτω· τὸ συμπόσιον τὴν ἡσυχίαν φιλεῖ· καὶ ἔστιν ὅμοιον τῷ (N. V 6) ματέρ' οἰνάνθας ὀπώραν. ἡ δὲ νικηφορία οὐ φιλεῖ ἡσυχίαν, ἀλλ' ὕμνους.

117a. θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται: παρὰ δὲ τὸν κρατῆρα, ὃς ἵσταται διὰ τὸ τέλος τῆς νίκης, θαρσαλεωτέρα ἡ φωνὴ γίνεται, καὶ δύναταί τις θαρρῶν ἐπὶ τῇ τοῦ νικηφόρου ἀνδραγαθίᾳ μετὰ παρρησίας τὸν ὕμνον ᾄδειν τὸν ἐπὶ τῇ νίκῃ. b. ἢ ἄλλως· ὅταν τις νικήσῃ, μετὰ παρρησίας εἰς αὐτὸν φωναὶ γενέσθωσαν καὶ ὕμνοι.

119a. ἐγκιρνάτω τίς μιν γλυκὺν κώμου προφάταν: τοίνυν τὸν κρατῆρα τὸν ἱστάμενον ἐπὶ τῇ νίκῃ ἐγκιρνάτω τις προηγητὴν ὄντα τοῦ ὕμνου. προηγητὴν δὲ ἔφη τοῦ ὕμνου τὸν κρατῆρα, ἐπειδὴ τῇ νίκῃ ἅμα κρατὴρ τῆς σπονδῆς ἵσταται, εἶθ' οὕτως ὁ ὕμνος ᾔδετο. b. ὁ δὲ νοῦς· ἤδη κιρνάτω τις τὸν κρατῆρα, ὅς ἐστι προοίμιον καὶ προφήτης κώμου. κωμάζωμεν οὖν αὐτὸν καὶ ὑμνῶμεν, ὅτι νενίκηκεν.

121. ἀργυρέαισι δὲ νωμάτω φιάλαισι: μετὰ τὸ κερασθῆναι τὸν κρατῆρα, φησί, ἀποβαπτιζέτω τις τὰς φιάλας,

10 sch. N. V 10

2 εὐκλεοῦς D 3 σκοπεῖν D 4 αὐτοῦ B 5 παρέοικε B: παρέδωκε D 9. 10 (ἡδείᾳ ᾠδῇ et B) 11 τῷ B: τὸ D 12 ἀλλ' ὕμνους om. B 13 κρητῆρα D 15 ἡ B: δὲ ἡ D 18 φωναὶ om D γινέσθωσαν D 20 ⟨τοῦτον⟩ τοινυν b 21 ἔφη B: φησι D 23 ἵσταται D: om. r (in B l. n.) 25 κωμάζομεν D ὑμνοῦμεν D 26 ἀγυρέαισι D 27—p. 163, 1 in B passim exesa 27 κρατῆρα B: προφήτην D

καὶ διανεμέτω τοῖς κατακειμένοις. ποίας δὲ φιάλας; ἃς ἔλαβεν ὁ Χρόμιος νικήσας ἔνθεν. ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Πυθίοις ἀργυραῖ φιάλαι ἔπαθλα. βιατὰν δὲ ἀμπέλου παῖδα τὸν οἶνόν φησιν, ἤτοι τὸν βίᾳ θλιβόμενον, ἢ τὸν βιάζεσθαι εἰδότα καὶ εἰς μέθην ἄγειν.

123a. ἅς ποθ' ἵπποι κτησάμεναι: ἅστινας φιάλας αἱ τοῦ Χρομίου ἵπποι προσεκόμισαν διὰ τῆς νίκης τῷ δεσπότῃ ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος στεφάνοις ἐκ τῆς ἱερᾶς Σικυῶνος. οὐ παρῆν δὲ ὑπὸ τὴν νίκην, ἀλλ' ἐπεπόμφει τὸ ἅρμα. b. ἃς ἤνεγκαν, φησίν, ἅμα τοῖς στεφάνοις οἱ ἵπποι. θεμιπλέκτους δὲ τοὺς στεφάνους φησὶν ἤτοι νομίμως καὶ καθηκόντως πεπλεγμένους, ἢ καθὸ πάρεδρός ἐστι τοῦ Ἀπόλλωνος ἡ Θέμις χάριν τοῦ χρηστηρίου· καὶ γὰρ ἦν προφῆτις· ἢ ὅτι δικαίως καὶ ἄνευ δωροδοκίας ἐστέφθη. ἱστορεῖται δὲ τὰ ἐν Φωκίδι χρήμασιν ἀνύεσθαι, διὸ καὶ πρόσκειται ἐνταῦθα τὰ ἐν Σικυῶνι. οἰκείως δὲ ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν· ἡ γὰρ Μηκώνη ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος (theog. 535)·

καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ.

καὶ Καλλίμαχος (fr. 195)·

Μηκώνην μακάρων ἕδρανον αὖτις ἰδεῖν.

127a. Ζεῦ πάτερ, εὔχομαι: εὔχομαι δὴ οὖν, πάτερ Ζεῦ, καὶ ταύτην αὐτοῦ τὴν ἀρετὴν ὑμνῆσαι ἐπιχαρίτως, ἐπὶ πολλῶν τε καὶ ἄλλων τὴν νίκην αὐτοῦ ὑμνῆσαι τοῖς λόγοις

---

3 παῖδα om. B 4 βίᾳ B: βίαν D 12 νομίμους D 15 pro ἱστορεῖται—16 σικυῶνι haec fere olim fuisse suspicatus est b: ἢ διὰ τὸν κλεισθένη τὸν τῷ ἐν δελφοῖς ἱερῷ δικαίως βοηθήσαντα· ἱστορεῖται δὲ δι' αὐτοῦ τὰ ἐν φωκίδι πράγματα ἀνύεσθαι, διὸ καὶ κεῖται τὰ πύθια τὰ ἐν σικυῶνι (perperam) 15 χρήμασιν D: χρήματα B 16 ἀνύεσθαι vix verum 16 τὸ ἐκ σικυῶνος scribend.? 17 προσηγόρευον D 18 αὐτῆς B: αὐτοῖς D 23 ἕδρανον Bentley: ἕδραν ὃν BD 24—p. 164, 1 in B nunc lacunosa, sed eadem habuisse vid. quae D 25 ἐπὶ suspectum

προπέμπων μου τὴν Μοῦσαν ἐγγὺς τοῦ σκοποῦ· οἱονεὶ ἐπαξίως αὐτὸν ὑμνῆσαι. b. *ἄλλως. τιμαλφεῖν λόγοις, ἀντὶ τοῦ τιμᾶν αὐτὸν λόγοις, προσβάλλων ταῖς Μούσαις τὴν νίκην καὶ συναρμόζων αὐτήν· τοῖς ὕμνοις βάλλων τὴν νίκην. τινὲς δὲ ἀνέγνωσαν περισπωμένως νικᾶν, ἵν' ᾖ· ὑπὲρ πολλῶν νικῶν τιμᾶν τοῖς λόγοις· ἀκοντίζων δὲ ἐγγὺς τοῦ σκοποῦ τὴν Μοῦσαν, ἤτοι διϊκνούμενος ταῖς Μούσαις.* inscr. N. X D

Scholia in Nemeonicarum carmen X.

Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶν ια'. τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον ⟨εἰς⟩ δισύλλαβον. τὸ β' ἰαμβέλεγος. τὸ γ' ἰαμβέλεγος λείπων μιᾷ ἐν ἀρχῇ, ἢ περίοδος. τὸ δ' προσοδικὸν ἀπὸ ἰωνικοῦ καὶ χοριαμβικοῦ. τὸ ε' τὸ αὐτὸ τῷ γ'. τὸ ς' περίοδος τροχαϊκὴ ἐπίτριτος ἢ χορίαμβος διὰ τὴν ἀπόδοσιν. τὸ ζ' ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ η' ἰαμβέλεγος μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. τὸ θ' δακτυλικὸν πενθημιμερές. τὸ ι' ὅμοιον τῷ (Archil. fr. 99) *Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. τὸ ια' τὸ αὐτό· τὸ δὲ κολεῷ* (vs. 11 vg.) *ἀντὶ τοῦ κολῷ κατὰ συνίζησιν.*

ἡ δὲ ἐπῳδὸς κώλων ιβ'. τὸ α' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ὅμοιον τῷ ζ' τῆς στροφῆς. τὸ γ' ὅμοιον

---

2 Hes. *τιμαλφεῖν*

---

3 *προσβάλλων*] *βάλλων* Hartung *μούσαις* **b**: *μουσικαῖς* **BD** **5** *νικῶν* **B**: *νικῶντι* **D** **6** *ἀκοντίζω* **D** *τὴν μοῦσαν* **b**: *τὴν μουσικὴν* **B** *τῇ μουσικῇ* **D** **7** *ταῖς μούσαις* **b**: *ταῖς μουσικαῖς* **BD**. Nescio an praestet *τῇ μουσικῇ* **8**—165, 9 post 165, 13 **D** **9** *δεκάτης* om. **D** **10** *ὑπερκατάληκτον* Pauw: *καταληκτικὸν* suppl. Brub. (*δύο συλλαβαῖς* cj. Abel) **11. 12** *μιᾷ ἐν ἀρχῇ, ἢ περίοδος* Pauw: *ἐν μιᾷ ἢ περίοδος ἐν ἀρχῇ* **BD** **13. 14** scribend. vid. *περίοδος, τροχαῖος ἐπίτριτος* **14** *τὰς ἀποδόσεις* **D** *ἢ ἐπιχοριαμβικὸν δίμετρον ὅμοιον τῷ α' τῆς ἐπῳδῆς* mg. Brub. Scribend. vid. *ἢ χοριαμβικὸν διὰ τὴν ἀπόδοσιν*, et haec ad col. ε' referenda (propter *θερμὰ δὲ τέγγων* 75) **17. 18** *ἐδασάμην* **B?r** **18** *τὸ αὐτό*] + *λέγει* **D** **20** *ἐπῳδὸς* **r**: *ἐπῳδὴ* **BD**

τῷ α' τῆς ἐπῳδοῦ. τὸ δ' ὅμοιον τῷ β'· τὸ δὲ χαλκέοις (vs. 26 vg.) ἀντὶ τοῦ χαλκοῖς κατὰ συνίζησιν. τὸ ε' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ ϛ' δακτυλικὸν πενθημιμερές. τὸ ζ' ἐγκωμιολογικόν. τὸ η' Εὐριπίδειον. τὸ ϑ' ἀναπαιστικὸν Ἀριστοφάνειον ἥμισυ ἀκροτελεύτιον. τὸ ι' ἄτακτον ἰαμβικὸν ἐφθημιμερὲς διὰ τὸν δεύτερον σπονδεῖον. τὸ ια' ἰωνικὸν δίμετρον βραχυκατάληκτον τῆς α' μακρᾶς λελυμένης. τὸ ιβ' Εὐριπίδειον. 1 D

Inscr. Ἐν Ἄργει τελεῖται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς Ἑκατόμβαια, ὃν καὶ Ἥραια καλοῦσιν· ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ. ὁ δὲ Δαναὸς Βήλου παῖς ὢν τοῦ Ἄργους ἐβασίλευσεν, ὁ δὲ Αἴγυπτος τῆς ὁμωνύμου χώρας, ὁ δὲ Ἀγήνωρ τῆς Φοινίκης. metr. D

1 a. Δαναοῦ πόλιν ἀγλαοθρόνων τε: ἔνιοί φασιν εἰς πλείους νίκας τὸν ἐπίνικον συντετάχθαι· λαβεῖν γὰρ αὐτὸν καὶ Ἴσθμια καὶ Πύθια καὶ Νέμεα. περὶ δὲ τῶν Ὀλυμπίων εὔχεται, ὅτε φησί (29)· Ζεῦ πάτερ, τῶν γε μὰν ἔραται. ὁ δὲ Πίνδαρος ὅτε βούλοιτο ἐπαινεῖν τὰς πατρίδας τῶν νενικηκότων, ἀθροίζειν εἴωθε τὰ πεπραγμένα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχή· Ἰσμηνὸν ἢ χρυσηλάκατον Μελίαν (fr. 29. 30). b. ὁ δὲ λόγος· ὑμνεῖτε, ὦ Χάριτες, τὴν τοῦ Δαναοῦ πόλιν καὶ τὰς πεντήκοντα αὐτοῦ θυγατέρας.

c. ὁ δὲ νοῦς ὅλος· τὴν τοῦ Δαναοῦ πόλιν καὶ τῶν πεντήκοντα θυγατέρων αὐτοῦ, φημὶ δὲ τὸ Ἄργος, ἥτις πόλις Ἀργείων οἰκητήριον θειωδέστατόν ἐστι τῆς Ἥρας, ὑμνήσατε, ὦ Χάριτες. ἔστι δὲ παρὰ τὸ Ὁμηρικόν (Δ 51)·

---

1 ἐπῳδῆς D 8 ἀκατάληκτον Beck: καταληκτικόν BD 5 Scribend. vid. ἀριστοφανείου ἀκροτελευτίου Pauw: ἀκροτελευ^τ/ B ἀκροτελευτίον D ἀκροτελεύτου r 9 ἀγὼν B: ὁ ἀγὼν D ἑκατόμβαιος D 12 ἐβασίλευεν D 15 τετάχθαι B 16 περὶ B: παρὰ D 17 εὔχεσθαι D 19 ἀθροίζει D περιφανῆ B: ἐμφανῆ D 20 τῇ om. D χρυσήλατον D 22 τὰς — 28 καὶ om. D τῶν et θυγατέρων cj. Abel 26 ἔστι B?D: εὖ r (non B)

ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη.

καὶ Καλλίμαχος (fr. 108)·

τὸν μὲν ἀρισκυδὴς εὖνις ἀνῆκε Διὸς
Ἄργος ἔθειν, ἴδιόν περ ἐὸν λάχος· ἀλλὰ γενέθλη
Ζηνὸς ὅπως σκοτίῃ τρηχὺς ἄεθλος ἔοι.

d. τὸ δὲ φλέγ ται ἀντὶ τοῦ λαμπρύνεται καὶ δοξάζεται· ἐκλάμπει χάριν τῶν ἀρετῶν ὧν ἔσχε.

6. μακρὰ μὲν τὰ Περσέως: ἀπὸ Περσέως ἄρχεται· Ἀργεῖος γὰρ οὗτος. μακρὰ οὖν, φη ίι, τὰ διηγήματα τὰ περὶ Περσέως, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα. μακρὰ δὲ αὐτὰ εἶπεν, ἤτοι ὅτι παλαιά ἐστι τὰ λεγόμενα, οἷον ἀπὸ πολλοῦ χρόνου μήκους διῖκται εἰς ἡμᾶς, ἢ μακρὰ οἷον ὑψηλὰ καὶ ἔνδοξα· ἢ καὶ τρίτον μακρά ἐστι τὰ διηγήματα, ἐὰν ἄρξωμαι εἰπεῖν τὰ περὶ Περσέως. μακρὰ τοίνυν ἂν εἴη λέγειν καὶ διηγεῖσθαι τὰ Περσέως καὶ Μεδούσης τῆς Γοργόνος. καὶ ῥητορικῶς δὲ τοῦτο ποιεῖ· δοκῶν παραιτεῖσθαι τὸ λέγειν καθ' ἕκαστα⟨τὰ⟩ τῶν Ἀργείων ἀνδραγαθήματα, λεληθότως καταριθμεῖται αὐτά. ἔστι δὲ ἡ ἱστορία αὕτη. Μέδουσα, μία δὲ τῶν Γοργόνων αὕτη, ἤρισέ ποτε περὶ κάλλους τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς τὴν πρόκλησιν ἀγανακτήσασα πείθει Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἄϊδος κυνέην, εἴη δ' ἂν ἡ ἀορασία, καὶ ἀποτεμεῖν τῆς Γοργόνος τὴν κεφαλήν, ὁ δὲ τῷ αὐτοῦ τάχει θαρρῶν καὶ τῇ τῆς Ἀθηνᾶς συμπραξίᾳ ἐπὶ τὸν ἆθλον στέλλεται, καὶ κατειληφὼς τὰς Γοργόνας καὶ ἰδὼν διαδούσας ἀλλήλαις τὸν ὀφθαλμόν, ἑνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο,

7 Hes. φλέγει, φλέγεται 19 — p. 167, 4 cfr. ad sch. P XII 24 (add. Myth. Vat. I 130. II 112)

2 τε (alt.) om. D 4 εὔνης D 5 ἔθειν B: ἔσθειν D γενέθλους D 9 μακρὰ B: καθαρὰ D 12 παλαιὰ D: πολλὰ B 12. 13 μήκους χρόνου D 15 ἂν τοίνυν εἴη D 16 γοργόνης D 17 τὸ λέγειν B: τὸ μέγα D τὸ μέγα λέγειν Mommsen suppl. Mommsen 18 λεληθότως] + δὲ D 19 ἡ om. D 22 ἄιλος κυνήν D δ' ἂν B: δὲ D 25 καὶ (pr.) om. D καὶ ἰδὼν om. D 26 διαδούσαις D

ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σκοπήσας ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν καὶ δίδωσι τῇ Ἀθηνᾷ· ἡ δὲ δεξαμένη ἐνέθηκε τῷ ἑαυτῆς στήθει, ὅπως ἂν ἐν τῇ παραθέσει ἡ τοῦ κάλλους εἴη διάκρισις. ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολύσασθαι· δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα καὶ ἀπολιθώσας αὐτὸ ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον. οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο.

8. *πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν ἄστη*: πολλὰ δ' ἂν εἴη λέγειν, ὅπως ἐν τῇ Αἰγύπτῳ κατῳκίσθησαν πόλεις ὑπὸ τῶν τοῦ Ἐπάφου χειρῶν. Ἔπαφος δὲ Διὸς καὶ Ἰοῦς, Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης· οὗτος οὖν ὁ Ἔπαφος ἐβασίλευσεν Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός.

10a. *οὐδ' Ὑπερμήστρα παρεπλάγχθη*: τί δ' ἄν τις φήσειε περὶ τῆς Ὑπερμήστρας; ἥτις οὐκ ἐσφάλη φεισαμένη τοῦ αὐτῆς ξίφους καὶ μὴ ἀνελοῦσα τὸν Λυγκέα. παρεπλάγχθη δέ, ἀντὶ τοῦ τοῦ δέοντος ἀπεπλανήθη λογισμοῦ. b. ἄλλως. καὶ τοῦτο εἰς ἔπαινόν φησι. τῶν γὰρ ἄλλων Δαναΐδων κοινῇ γνώμῃ ἐπιθεμένων τοῖς Αἰγυπτιάδαις, μόνη ἡ Ὑπερμήστρα, ἐπεὶ διεφύλαξεν αὐτὴν ἁγνὴν παρθένον ὁ Λυγκεύς, οὐκ ἐφαίνετο ἰσόψηφος ταῖς ἀδελφαῖς, ἀλλὰ μονόψηφος ἐγένετο, ψῆφον ἤνεγκε μόνη καθ' ἑαυτήν, ἀπολυτικήν τινα ταύτην, ἐν κολεῷ κατασχοῦσα τὸ ξίφος· τουτέστι μόνη παρὰ τὰς ἄλλας Δαναΐδας, ἰδίᾳ ψήφῳ χρησαμένη, οὐκ ἔσπασε κατὰ τοῦ Λυγκέως τὸ ξίφος.

12a. *Διομήδεα δ' ἄμβροτον ξανθά ποτε γλαυκῶπις ἔθηκε θεόν*: καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανα-

6 Luc. dial. mar. 14. de dom. 22. Ach. Tat. 3, 7, 7. Antiphil. Anth. 16, 147. Nonn. 25, 81

1 ἐπιχείρημα D 2 τὴν om. D 4 ἡ τοῦ B: τοῦ D 8 γοργόνης D 9 δ' B: δ' ἐν D 10 ὅπως B: ὅπερ D ὁπόσαι M. Schmidt 11 τοῦ om D ἰοῦς καὶ διός D 13 ἐβασίλευεν D 14 ὑπὲρ μνήστρα D 15 ὑπερμνήστρας D 19 ἡ om. D ὑπὲρ μνήστρα D 20 ἁγνὴν] + καὶ r 26 ξανθά— 27 θεόν om. B

τίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ᾗ τιμᾶται ὡς θεός. καὶ Ἴβυκος οὕτω (fr. 38)· . . . . τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς. καὶ Πολέμων ἱστορεῖ (FHG III 122)· ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν αἵρεσθαι τιμῆς ὡς θεόν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ. b. ἄλλως. οὐχὶ δὲ καὶ τὸν Διομήδην ἡ Ἀθηνᾶ θεὸν ἐποίησε; κατὰ γὰρ τὸν Θηβαϊκὸν πόλεμον Μελάνιππος, ἣν δὲ οὗτος ἥρως[10] Θηβαῖος, ἔτρωσε τὸν Τυδέα· ὁ δὲ πρὸς τὴν πληγὴν θυμήνας καθικέτευσε τὸν Ἀμφιάραον ἀνελεῖν τὸν Μελάνιππον καὶ προσαγαγεῖν αὐτοῦ τὴν κεφαλήν. προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς καὶ τῆς ὀργῆς νικησάσης τὸν δέοντα λογισμόν, ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησίν (fr. 537)·

εἰς ἀνδροβρώτους ἡδονὰς ἀφίξεται
κάρηνα πυρσαῖς γένυσι Μελανίππου σπάσας.

τετρωμένῳ οὖν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ οὐκ ἀπήλαυσε τῆς δωρεᾶς ἔτι διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν· εἶτα ὡς αὐτὸς οὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. τιμᾶται γοῦν καὶ παρὰ Θουρίοις καὶ Μεταποντίοις ὡς θεὸς Διομήδης, καὶ οὐκ ἔστι παρὰ τοῖς ἱστορικοῖς εὑρέσθαι αὐτοῦ τὸν θάνατον.

14. *γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο*: καὶ ὁ Ἀμφιάραος Ἀργεῖος. Θηβαῖοι οὖν οὐκ ἔχουσιν ὡς θεὸν τὸν Οἰκλέους παῖδα Ἀμφιάραον, σχισθείσης ὑπὸ κεραυνοῦ τῆς γῆς καὶ

---

1 Strab. VI p. 284. [Aristot.] mirab. ausc. 79. Plin. 3, 151. 10, 127. Tzetzes ad Lyc. 592. 594. 602 9—21 sch. E 126

---

1 περὶ B: παρὰ D 2 lac. ind b 3 τὴν B: καὶ τὴν D 4 γὰρ om. D 6 δὲ om. D 10 ἥρως οὗτος D 11 ἀμφιάρηον D 13 νικήσας D 16 ἀνδροβρώτους Grotius: ἀνδροβώτους B ἀνδροβρώτη D ἀνδροβρῶτας Musgrave ἀφίξεται B: ἐλίξεται D 17 κάρκνα D μελαλίππου D 19 ἀπέλαυσε D 20 ἐδυνήθη D 22 μετὰ ποντίνοις D 26 οἰκλέος B ἰοκλέους D

δεξαμένης αὐτόν; ὁ γὰρ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ καταδεχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι, καὶ ἐποίησεν αὐτὸν ἀθάνατον· ἀφ' οὗ δὴ μέχρι νῦν τὸ τοῦ Ἀμφιαράου μαντεῖον ἐνδοξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος. ἀμφίβολον δὲ πότερον τὸν Ἀμφιάραον ἐδέξατο ἡ γῆ πολέμου ὄντα νέφος, ἢ ὅτε τὸ τοῦ πολέμου νέφος τοῖς Ἀργείοις ἐπῆλθε τὸ ἀπὸ Θηβῶν, τότε ὁ Ζεὺς κηδόμενος τοῦ Ἀμφιαράου ἐκέλευσεν αὐτὸν ὑπὸ τῆς γῆς δεχθῆναι καὶ εἶναι ἀθάνατον.

17. *καὶ γυναιξὶ καλλικόμοισι*: προεξαριθμησάμενος τὰς τῶν Ἀργείων ἀρετάς φησι μὴ μόνον ἥρωσι διαπρέπειν αὐτούς, ἀλλὰ καὶ ἡρωΐσι γυναιξὶ διαπρέπειν πάλαι, ἀρχῆθεν. τίς ἀπόδειξις ὅτι καὶ γυναιξί; Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφηνε λόγον· ὅτι καὶ γυναιξὶν ἀριστεύει τὸ Ἄργος, οὐχ ἕτερος μάρτυς ἀλλ' ὁ Ζεύς, ὃς καὶ πρὸς Ἀλκμήνην ἀφίκετο καὶ Δανάην Ἀργείας οὔσας.

21a. *πατρί τ' Ἀδράστοιο Λυγκεῖ τε*: οὐχὶ δὲ καὶ τῷ τοῦ Ἀδράστου πατρὶ Ταλαῷ καὶ τῷ Λυγκεῖ ἄριστον λογισμὸν παρέσχε καὶ μετὰ δικαιοσύνης συνήρμοσε; καρπὸς δὲ φρενῶν ὁ λογισμός. τίς δὲ συνήρμοσεν; ὁ Ζεύς. b. ὁ δὲ νοῦς· καὶ ἐπὶ Ταλαῷ οὖν καὶ Λυγκεῖ τὸν τῶν φρενῶν καρπὸν εὐθὺν ἐποίησεν, ὅ ἐστι δίκαιον αὐτῶν τὸν νοῦν ἐποίησεν ὁ Ζεύς. ἀπὸ Λυγκέως δὲ οἱ περὶ Περσέα.

24a. *ὁ δ' ὄλβῳ φέρτατος ἵκετ' ἐς κείνου γενεάν*: κοινωσόμενος τῷ Ἀμφιτρύωνι τὴν γενεὰν ὁ Ζεὺς [ἵκετ' εἰς ἐκείνου γενεάν]. πῶς δὲ παρεγένετο συγγενέσθαι; ὁ μὲν γὰρ Ζεὺς τῇ προτέρᾳ ἡμέρᾳ ἐγέννησε τὸν Ἡρακλέα, ὁ δὲ Ἀμφιτρύων τῇ ἑξῆς τὸν Ἰφικλέα, καὶ ἐμίχθη τὰ γένη ἀμφοτέρων.

b. οὐχὶ δὲ ὁ Ζεὺς παρεγένετο εἰς τὴν ἐκείνου σποράν; ὅτε D

---

2 καταχθῆναι B 6 ὅτε B· ὅτι D 11 αὐτοὺς B: αὐτὸν D 13 κατέφανε Mommsen ἀριστεύει B: ἀριστεὺς εἰς D 15 ἀφίκετο B: ἐγένετο D 16 τ' B: δ' D τῷ B: τὸ D 17 λυγκεῖ B: γλυκεῖ D 19 συνάρμοξεν D 20 οὖν D: γοῦν B 23 ἵκετ' — γενεάν om. B 24 κοινωσάμενος Kayser lect. Pind. 86 ἵκετ' — 25 γενεάν om. B, damn. Mommsen 28 — p. 170, 1 laborat oratio; ἔτι (pro ὅτε) cj. M. Schmidt

γὰρ τοῖς ὅπλοις ἀναιροῦντος αὐτοῦ τοὺς Τηλεβόας, τηνικαῦτα BD τὴν ὄψιν ἀφομοιωθεὶς ὁ Ζεὺς τῷ Ἀμφιτρύωνι | καὶ οὕτως εἰς τὸν οἶκον ἐλθὼν τῆς Ἀλκμήνης ἐπλησίασεν αὐτῇ καὶ τὸν Ἡρακλέα ἔσπειρεν. ἆθλον γὰρ ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσοντι· ἔπραττε τοῦτο Ἀμφιτρύων, καὶ ἐκείνου περὶ τὸν πόλεμον ἀσχολουμένου ὁ Ζεὺς ἀφομοιωθεὶς συνῆλθεν αὐτῇ. c. ἀδείμαντον δὲ ἔφη τὸ σπέρμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέους γένεσιν καταβαλεῖν ὁ Ζεύς, ὅ ἐστιν ἄφοβον· ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄφοβος Ἡρακλῆς.

31. οὗ κατ' Ὄλυμπον ἄλοχος: οὗτινος Ἡρακλέους ἡ γαμετὴ κατὰ τὸν Ὄλυμπον Ἥβη παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ προϊοῦσα πορεύεται τῶν θεῶν ἐκπρεπεστάτη. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν. καὶ Αἰσχύλος (fr. 383)·

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ.

ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία. ἔστι δὲ ὁ γάμος τέλος διὰ τὸ τελειότητα βίου κατασκευάζειν.

35. βραχύ μοι στόμα πάντ' ἀναγήσασθαι: ἥττηταί μοι, φησί, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους καλά. διατί δὲ εἰς ταῦτα παρεκβέβηκεν; ὅτι ὁ ἀγών, ὃν ἐνίκα ὁ Θειαῖος, τὰ Ἑκατόμβαια, οὐκ ἦν ἐπίσημος οὐδ' ἐκτροπὰς ἔχων. ἵν' οὖν ἔχῃ μῆκος περιποιῆσαι τῇ ᾠδῇ, ἐπὶ τὴν κοινότητα τῶν ἐπαίνων τῆς πατρίδος αὐτοῦ κατήντησεν.

---

4 sch. Ap. Rh. I 747. Apollod. II 4, 6 16 sch. Ar. thesm. 973. sch. Aesch. Eum. 837. EM 750, 48

---

2 ἀμφιτρύονι D 3 αὐτὴν D 5 καταπολεμήσαντι B 6 περὶ τὸν Mommsen: περτὸν D πρὸς B ἐσχολουμένου D 8 ἔμελλεν] ἔμελλε καταλαβεῖν D, om. καταβαλεῖν 9 ἦν om. D 11 οὔλυμπον D 12 αὐτῆς D 13 προσιοῦσα D 16 αὐτὴ Stanley Comm. ad Aesch. Agam. 65 (p 785 : αὐτῇ B αὕτη D ἔστι δὲ ὁ γάμος τέλος Hemsterhuys ap. Ruhnk ad Tim. 225: ἔστι δὲ ὁ γ. τέλειος B τέλειος δὲ ὁ γάμος D 18 ἥττημαι D 21 παρεμβέβηκεν D

37a. *ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς | ἀντιάσαι*: B ἔστι μὲν γὰρ ὁ τῶν ἀνθρώπων φθόνος βαρὺς πρὸς ἐναντίωσιν· οὐχ ἡδέως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνθρωποι, ἀλλ' εὐθὺς κόρον ἴσχουσι τῶν ἐπαίνων διὰ βασκανίαν. b. ἄλλως. ὁ κόρος βαρύς ἐστιν ὁ ἀπὸ τῶν ἀνθρώπων | ἀντιάσαι BD καὶ συναντῆσαι, τουτέστιν ἀντίος γενηθεὶς ὁ κόρος τῶν ἀνθρώπων βαρύς ἐστι καὶ δυσβάστακτος· διὸ τὸν ὕμνον τῶν Ἀργείων καταλείψας τὸν κόρον φεύξομαι, ὅ ἐστι τὸν φθόνον.

39. *ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν*: πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος· ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε καὶ τὴν φροντίδα τῶν παλαισμάτων δέξαι, τουτέστιν ἐπαίνει τὸν παλαιστήν. χάλκεον δέ φησι τὸν ἀγῶνα, ἤτοι ὅτι ἰσχυρός ἐστιν, ἢ ὅτι χαλκοῦν ὅπλον τὸ ἔπαθλον. ὁ τοίνυν ἀγὼν ὁ στερρότατος τὸν δῆμον παρορμᾷ εἰς τὴν τῆς θεοῦ θυσίαν, εἴς τε τὴν τῶν ἄθλων κρίσιν τὸν δῆμον ὁ τοῦ Οὐλίου παῖς Θειαῖος παρορμᾷ. τὸ παρορμᾷ δὲ ἀπὸ κοινοῦ. δὶς δὲ αὐτόν φησι νενικηκέναι τὰ Ἑκατόμβαια καὶ ἐσχηκέναι εὐφόρων λήθην πόνων. ἐπιλανθάνονται γὰρ οἱ ἄνθρωποι τῶν κατὰ τὴν ἄθλησιν πόνων, ὅταν νικήσωσι. γράφεται δὲ καὶ εὐφρόνων· εὐφόρων μέν, ἐπεὶ εὔφοροί εἰσιν οἱ τοιοῦτοι πόνοι τῷ ἄριστα ἆθλα ἐνηνοχέναι· εὐφρόνων δέ, τῶν εὐφραντικῶν.

46a. *ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατόν*: κοινῶς τὸ πλῆθος στρατὸν εἶπεν, ὡς καὶ Πύθια νενικηκότος αὐτοῦ καὶ Ἴσθμια καὶ Νέμεα. b. ἢ οὕτω· παραγέγονε δὲ καὶ ἐκράτησε πάντων τῶν ἀνταγωνιστῶν ἐν τοῖς Πυθίοις. c. ὁ δὲ νοῦς· σὺν εὐτυχίᾳ δὲ παραγενόμενος ἐκράτησε πάλιν καὶ τοὺς ἐν Ἰσθμῷ καὶ Νεμέᾳ στεφάνους.

49a. *Μοίσαισί τ' ἔδωκ' ἀρόσαι*: τουτέστι ταῖς Μούσαις ἔδωκεν ἀρόσαι καὶ σπεῖραι τοὺς στεφάνους διὰ τὸν ὕμνον· ἢ ὡς ἑτέρων ποιησάντων καὶ ὑμνησάντων αὐτὸν ἐπὶ

---

1 ἀντιάσαι — 5 ἀνθρώπων om. D 6 γεννηθεὶς D 10 ὅμως B: ὁ D 12 ἤτοι — 13 ἐστιν D: τουτέστιν ἰσχυρόν B 14 τῆς B: τοῦ D 15 οὐλίου B: ἡλίου D 17 λάθαν D 20 ἔφοροι D 21 ἐνηνοχότι cj. Abel 22 ποθ' ἕλλ. στρατόν om. B

ταῖς νίκαις ἐκείναις τοῦτό φησιν. b. ὁ δὲ νοῦς· καὶ παρέσχε πρόφασιν ταῖς Μούσαις· τρίτον μὲν γὰρ κληρωθεὶς ἐνίκησε τὰ Ἴσθμια· πόντου γὰρ πύλας εἶπε τὸν Ἰσθμὸν διὰ τὸ στενόν· τρὶς δὲ τὰ Νέμεα κατὰ τὴν Ἀδράστου διοίκησιν καὶ νομοθέτησιν τελούμενα. οἱ γὰρ ἑπτὰ ἐπὶ Θήβας ἀνενεώσαντο τὰ Νέμεα, ὧν εἷς Ἄδραστος. ἐπεὶ οὖν καὶ αὐτὸς τῶν ἐν Ἄργει ἐπιφανῶν, διὰ τοῦτο Ἀδραστείῳ νόμῳ φησί, χαριζόμενος καὶ διὰ τούτου πλέον τι τοῖς Ἀργείοις. σεμνοῖς δὲ δαπέδοις, τοῖς Νεμείοις φησὶν ὁ Δίδυμος· πλησίον γάρ ἐστι Σικυῶνος. Ὅμηρος (B 572)· ὅθ' Ἄδρηστος πρῶτ' ἐμβασίλευσεν. ἐτίθετο δὲ πάλαι ἐν τῇ Σικυῶνι τὰ Νέμεα· οὐ γὰρ ἂν σημαίνοι τὰ Πύθια τὰ ἐν Σικυῶνι ἀγόμενα· οὐ γάρ ἐστιν ἐκεῖνος περιοδικὸς ὁ στέφανος, ἀλλ' ὁ τῶν Νεμέων· βούλεται δὲ νῦν τοὺς περιοδικοὺς εἰπεῖν. τολοιπὸν γὰρ ἐπιφέρει τὸν Ὀλυμπιόνικον, εὐχόμενος τελειωθῆναι ὑπ' αὐτοῦ τὴν περίοδον.

53a. Ζεῦ πάτερ, τῶν μὲν ἔραται: διὰ τούτων φανερόν, ὅτι περὶ τῶν Ὀλυμπίων λέγει, φάμενος αὐτὸν ἐπιθυμεῖν καὶ τοῦτον τὸν στέφανον λαβεῖν, ἵν' ἐκπληρώσῃ τὴν περίοδον, σιγᾶν δὲ καὶ ἐπιτρέπειν τῷ θεῷ. διὰ δὲ τοῦ παραιτεῖται χάριν ὑπακουστέον, ὅτι παρὰ σοῦ αἰτεῖται τὴν χάριν, ἀλλὰ καὶ τολμῶν καὶ μοχθῶν τι πράσσειν τῶν πρὸς τὸ ἔργον συντεινόντων.

b. ὁ δὲ νοῦς· ὧν γε μὴν ἐπιθυμεῖ τυχεῖν, ἐν τῇ διανοίᾳ κρύπτει σιωπῶν διὰ τὸ νεμεσητόν. βούλεται δὲ λέγειν τὰ Ὀλύμπια· διὸ καὶ τῷ Διῒ εὔχεται. ἐὰν οὖν, φησί, σὺ θέλῃς, καὶ τὰ Ὀλύμπια ἕξει· παντὸς γὰρ πράγματος τέλος ἐν σοί ἐστιν, ὦ Ζεῦ.

55. οὐδ' ἀμόχθῳ καρδίᾳ: οὐ χωρὶς μόχθων αἰτεῖται τὰ Ὀλύμπια, ἵνα ἀμόχθως αὐτὰ λάβῃ, ἀλλὰ μοχθήσας καὶ πο-

---

2 τρίτον] τρὶς a 2. 3 τὰ ἴσθμ. ἐνίκ. D 5 θήβαις B ἀνενέωσαν D 7 φησί B: ἔφη D 8 τούτου B: τὸ D τοῖς om. D 9 νεμέοις D 10 ὅθ' D: ἔνθ' B ὅθ' ἄρ' fere codd. Hom. ἐβασίλευσεν D 14 15 ὀλυμπιακὸν cj. Abel 15 εὐχόμενος B: εὐδαίμονος D 17 τῶν B: τοῦ D ἐπιθυμῶν D 21 πράσσει? 24 θέλεις D 25 ἄξει D

νήσας καὶ παλαίων παραιτεῖται τὴν χάριν. οὐ συνήθως δὲ τὸ παραιτεῖται ἀντὶ τοῦ αἰτεῖται· ὅ ἐστιν ἐπικέκληται. ἐπιφέρει γάρ· παρὰ σοῦ αἰτεῖται τὴν χάριν ταύτην καὶ τὴν δωρεάν, ὦ Ζεῦ, τὰ Ὀλύμπια νικῆσαι.

57 a. γνώτ' ἀείδω θεῷ τε: εὔγνωστα δὲ λέγω αὐτῷ τῷ θεῷ καὶ τῷ Θειαίῳ, ὅστις Θειαῖος ἁμιλλᾶται καὶ σπουδάζει περὶ τῆς κορυφῆς τῶν ἐσχάτων ἄθλων. ἐσχάτων δέ, τῶν τὸ τέλειον ἐχόντων τῆς δόξης. b. ἢ οὕτω· φανερὰ δὲ λέγω τῷ τε Διῒ καὶ τῷ βουλομένῳ παντὶ ἁμιλλᾶσθαι καὶ σπουδάζειν περὶ τῆς κορυφῆς τῶν τελευταίων ἄθλων. ἄθλων δὲ κορυφὴ καὶ τέλος τὰ Ὀλύμπια. εἰκότως δέ, φησίν, ἐπιθυμεῖ τῶν Ὀλυμπίων· τὸν γὰρ ἐνδοξότατον καὶ ὑπερέχοντα θεσμὸν ἔσχεν ἀπὸ τοῦ Ἡρακλέους τὰ Ὀλύμπια. c. ἢ οὕτως· ἐπεὶ προεῖπεν αἰνιγματωδῶς, ὅτι οὐ δύναμαι εἰπεῖν τίνων ἐρᾷ, ἣν δὲ τῶν Ὀλυμπίων, ἐπεῖπε· ταῦτα γνωστὰ λέγω καὶ σοί, ὦ Ζεῦ, καὶ σοὶ τῷ ἐπιθυμοῦντι ἁμιλλήσασθαι περὶ τούτων τῶν ἄθλων, οἵ εἰσι κορυφαὶ ἔσχαται τῶν ἄθλων. διὰ δὲ τοῦ ἐσχάτου σημαίνει τὸ πρῶτον τῶν ἄθλων· καὶ γὰρ τὸ πρῶτον ἔσχατόν ποτε δύναται γενέσθαι, καὶ τὸ ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου (fr. 821)·

ἤδη γὰρ ἕδρᾳ Ζεύς, φησίν, ἐν ἐσχάτῃ θεῶν,

ἀντὶ τοῦ ἐν τῇ πρώτῃ.

61. ἀδεῖαί γε μὲν ἀμβολάδαν: ὡς δὶς αὐτοῦ νενικηκότος τὰ Παναθήναια ταῦτά φησιν· ὀμφαὶ οὖν ἡδεῖαι τῶν

---

1 cfr. sch. Ar. eq. 37. sch. Aesch. Choeph. 783. BA 163, 13. Suid. παραιτοῦμαι 17 Hes. ἔσχατος

---

3 post ἐπιφέρει γάρ aliud exspectes τὴν χάριν et καὶ om. D 5. 6 τῷ θεῷ καὶ τῷ θειαίῳ] τε τῷ θεαίῳ καὶ παντὶ Kayser lect. Pind. 87, om. q. s. θειαῖος τῷ θειαίῳ et θειαῖος del. Hartung 7 τῶν τὸ B: τὸ τῶν D 9 τε om. D τῷ om. D παντὶ om. D 10 ἄθλων (alt.) B: ἄλλων D 13 ἡρακλείου D 16 σοί] παντὶ Hartung; del. Schnitzer d. Pind. nup. emend. 60 ἁμιλλήσεσθαι B 17 εἰσι B: ἐστι D ἄθλων — 18 τῶν om. B 19 ποτε B: τέως D 21 ζεῦ D ἐσχάτ(ῃ) BD[cp] (Heimsoeth): ἐσχάτῳ r θεῶν om D 22 τῇ πρώτ(ῃ) D: τ(ῇ) πρώτ(ῃ) B πρώτῳ r 23 μὲν B: μὴν D 24 οὖν] + φησιν D

Ἀθηναίων ἐκώμασαν αὐτὸν ἀμβολάδαν, τουτέστιν ἀνατεταμένως τῇ φωνῇ καὶ λαμπρῶς· ἢ ἀμβολάδαν ἀνακρουόμεναι, καθὸ προαναβολὰς λέγουσι τὰ πρὸ τοῦ προοιμίου. δὶς οὖν ὑμνήθη καὶ ἐκωμάσθη, φησίν, ᾀδόντων καὶ ὑμνούντων αὐτοῦ τὴν νίκην τῶν Ἀθηναίων ἐν ταῖς τελεταῖς. ἔστι δὲ καὶ οὕτω προενέγκασθαι ἁδείᾳ ἐν τελετᾷ· ἐν ἡδείᾳ τελετῇ ἐκώμασαν αὐτὸν αἱ τῶν Ἀθηναίων ὀμφαὶ δίς. τινὲς δὲ τὸ ἀμβολάδην οὕτως ἀκούουσιν, ὅτι δὶς μὲν ἐνίκησε τὰ Παναθήναια, οὐκ ἐφεξῆς δέ, ἀλλ' ἀναβολάδην, τουτέστιν ἀναβολῆς τινος γενομένης μεταξύ.

64a. *γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας ἔμολε*: γαῖαν [δὲ] κεκαυμένην εἶπε τὴν ὑδρίαν ἐν ᾗ τὸ ἔλαιον· ὀπτᾶται γὰρ ὁ κέραμος. διὰ δὲ τούτου σημαίνει τοὺς τὰ Παναθήναια νενικηκότας· τίθενται γὰρ Ἀθήνησιν ἐπάθλου τάξιν ἐλαίου πλήρεις ὑδρίαι. διὸ καὶ Καλλίμαχος (fr. 122)·

καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ τέγος ἱερὸν ἧνται
κάλπιδες, οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης.

γῇ οὖν διὰ πυρὸς καυθείσῃ ὁ καρπὸς τῆς ἐλαίας ἔμολε, τὸ ἔλαιον. b. Ἥρας δὲ εὐάνορα λαὸν τὸ Ἄργος· ὁ γὰρ Θειαῖος Ἀργεῖος. οὐκ ἔστι δὲ ἐξαγωγὴ ἐλαίου ἐξ Ἀθηνῶν, εἰ μὴ τοῖς νικῶσι. φησὶν οὖν τὴν ὑδρίαν πλήρη ἐλαίου κεκομικέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θειαῖον νικήσαντα. τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίου πλήρης.

67a. *ἐν ἀγγέων ἕρκεσι παμποικίλοις*: ἐν πεποικιλμένοις ἀγγείοις· ἐζωγραφοῦντο γὰρ αἱ ὑδρίαι. b. ἄλλως. ἐν

---

9 Hes. ἀμβολάδην?

---

1 ἀμβολάδην B 2 ἀνακρουόμεν[αι] B?b: ἀνακροούμενοι D ἀνακρουόμενοι r 3 πρὸς ἀναβολὰς D 4. 5 τὴν νίκην αὐτοῦ D 5 ἐν om. D 6 προσενέγκασθαι D ἡδείᾳ B: ἰδίᾳ D 8 ὅτι B[1]D: ὅτις B[2] ὅστις r 11 καρπὸς ἐλαίας ἔμολε om. D 12 δὲ om. D; seclusi 14. 15 γὰρ ἐν ἀθήναις ἐν ἐπάθλου τάξει ὑδρίαι πλήρεις ἐλαίου B 16 ἀθηναίης D (-ης ex corr.) στέγος edd. Callim. 18 γῇ B: τῇ D κάρπας D 24 παμποικίλοις om. D 25 ἐζωγράφηντο B

ἀμφιφορεῦσι χαλκοῖς ἔλαιον ἐτιμῶντο οἱ ἀγωνιζόμενοι Ἀθήνησι τὰ Παναθήναια, ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ θεός. τὰ δὲ χαλκᾶ ταῦτα ἄγγη ἐκ γῆς καιομένης γίνεται· ἡ οὖν γῆ καιομένη δίδωσι τὸν χαλκὸν, ἐκ δὲ τοῦ χαλκοῦ γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον. ταύτην οὖν φησι τὴν διάνοιαν. τούτοις γὰρ ἐτιμῶντο.

69. ἕπεται δὲ, Θειαῖε: ἐπακολουθεῖ, φησί, κατὰ τὸ πολύγνωτον ὑμῶν γένος τὸ ἀπὸ τῆς μητρός, μήτρωες γὰρ οἱ ἀπὸ μητρὸς πρόγονοι, εὐάγων τιμὴ, τουτέστιν ἡ ἐπὶ τοῖς ἀγῶσι τοῖς εὖ ἀγωνισθεῖσιν ἢ ⟨ἡ⟩ εὖ καὶ καλῶς γινομένη τιμὴ σὺν Χάρισι καὶ Τυνδαρίδαις. τὴν δὲ αἰτίαν διὰ τῶν ἑξῆς ἀποδίδωσι. | Παμφάης γὰρ συγγενὴς τοῦ Θειαίου, φησίν, D ἐξένικε τοὺς Διοσκούρους.

73a. ἀξιωθείην κεν ἐὼν Θρασύκλου: ἐγώ, φησί, καταξιωθείην τῶν περὶ Θράσυκλον καὶ Ἀντίαν συγγενὴς ὢν ἐν τῷ Ἄργει διάγειν καὶ ζῆν, ἔνθα οὐκ ἂν ἀπαρρησίαστος διετέλεσα οὐδὲ κάτω βλέπων καὶ κρύπτων ἐμαυτοῦ τὸ ἐλεύθερον. οἱ γὰρ νικῶντες μετὰ παρρησίας ἄνω βλέποντες βαδίζουσιν, οἱ δὲ ἡττημένοι οὐχ οὕτως. b. ἄλλως. τοῦτο εἶπεν ὡς ἐκ τοῦ Θειαίου προσώπου, ὡς αὐτοῦ περὶ ἑαυτοῦ διαλεγομένου· τοῦ γὰρ Θρασύκλου καὶ τοῦ Ἀντία συγγενὴς ὢν ἐν τῷ Ἄργει οὐ κρύψω τὸ φάος τῶν ὀμμάτων, τουτέστιν οὐκ ἀπαρρησιάστως ὄψομαι, ὡς οὐ νενικηκώς, ἀλλὰ μετὰ παρρησίας·

8 sch. O. VI 130. IX 96. N. XI 43

1 χαλκοῖς D: χαρι(s. λαρι)χαλκοῖς B ad ἔλαιον ἐτιμῶντο cfr. sch. 82b 5 διάνοιαν] ἐλαίαν Hartung 8 ἡμῶν D 9 ἀπὸ D: τῆς B εὐάγων B: ἡ εὐάγων D post τιμὴ l. εὐάγων τιμά suppl. Mommsen 10 suppl. Mommsen γινομένη om. B, spatio relicto 14 ἐὼν θρασύκλου om. B 15 ἀντίαν h: ἄντιον BD 16 διάγειν — 17 ἐλεύθερον B: διὰ τὸ μὴ κρύπτειν κε κάτω βλέποντα τὴν τῶν ὀμμάτων παρρησίαν D (unde διάγων μὴ κρύπτειν γε κάτω βλέπων vel διάγειν διὰ τὸ μὴ κρύπτειν με κάτω βλέποντα Mommsen) 19 οὐχ οὕτως B: διὰ τὴν αἰσχύνην ἐναντίον D (τοὐναντίον Mommsen) 20 ὡς (alt.) om. D ἑαυτοῦ B: αὐτοῦ D 21 ἀντίου B 22 φῶς B 23 ἀπαρρησίαστος cj. Abel

νενίκηκα γάρ· ἄξιος οὖν ἂν εἴην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος μηδὲ κατηφὴς εἶναι, Ἀντία τ' ὢν καὶ Θρασύκλου σύγγονος.

76. *νικαφορίαισι γὰρ ὅσαις ἱπποτρόφον: πόσαις γὰρ ἱπποτροφίαις, φησίν, αὕτη ἡ πόλις οὐκ ἔθαλλεν ἡ τοῦ Προίτου, τοῦτο μὲν ἐν τῷ Κορινθίῳ Ἰσθμῷ, τοῦτο δὲ ἐν τῇ Νεμέᾳ τετράκις νικήσασα· ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τοῦ Θειαίου.*

82a. *ἐκ δὲ Πελλάνας: ἀντὶ τοῦ καὶ ἐν Πελλήνῃ ἐνίκησαν. τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα· δυσχείμεροι δὲ οἱ τόποι. περιφραστικῶς δὲ τὴν χλαμύδα μαλακὴν κρόκην εἶπε· καὶ ἑτέρωθι* (O. IX 97)· *ψυχρᾶν ὁπότ' εὔδιανὸν φάρμακον αὐρᾶν Πελλάνα παρέχει. ὁ δὲ ἀγὼν Διός· καλεῖται*
B *δὲ Δῖα.* b. *ἢ οὕτως· ἐκ τῆς Πελλήνης δὲ | τὰ Θεοξένια νικῶντες χλανίσιν ἐπιτηδειοτάταις κοσμηθέντες, ἀπὸ κοινοῦ τὸ*
BD | *ἀνεχώρησαν. λέγεται δέ, ὅτι καὶ ἐξωμίδας ἐτιμῶντο.*

84. *ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν: τὸ δὲ τοῦ χαλκοῦ πλῆθος οὐ δυνατὸν εἰπεῖν ἁπλῶς· μακροτέρας γάρ, οἶμαι, δεῖται σχολῆς. λέβητα γὰρ ἐτιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων καὶ ἀσπίδα χαλκῆν.*

87. *ὅν τε Κλείτωρ καὶ Τεγέα: ὅντινα χαλκὸν αἱ περὶ Κλείτορα καὶ Τεγέαν πόλεις Ἀργολικαὶ ἆθλον ἔθηκαν, ὃν καὶ τὸ Λύκαιον ἔθηκε χαλκὸν παρὰ τῷ τοῦ Διὸς βωμῷ τοῖς δυνα-*

---

11 sch. O. VII 156. IX 146—48. XIII 155

---

1 *οὖν ἂν* om. D *κρύπτει* D 4 *ὅσσαις* D 5 *αὕτη φησὶν* D *ἔθαλεν* B 6 *προίτου*] + *πόλις* D 8 *τιμηθ. φιάλαις* D 10 *πηλήνῃ* D 10. 11 *ἐνίκησαν* a: *ἐνίκησεν* BD 11 *πηλήνῃ* D 12 *τόποι* B: *πόνοι* D *μεταφραστικῶς* D *χλανίδα* Beck (sed cfr. sch. O. IX 148b) 13 *ὁπότ'*] *ἐπεὶ ὁπότ'* B, sed *ἐπεὶ* delet. 14 *πελάνα* D *παρέχει*] *φέρε* codd. Pind. 15 *δύια* D *τὰ θεοξ.*—16 *κοινοῦ τὸ* om. D 18 *οὐ δυνατὸν ἐξελέγχειν* om. B 19 *οὐ δυνατὸν εἰπεῖν* B: *ἀδύνατον ἐξειπεῖν* D 21 *ἀσπίδας χαλκᾶς* B 22 *ὄντε* B: *οὔτε* D 24 *ἔθηκεν ἆθλον* cj. Abel

μένοις νικῆσαι σὺν ποδῶν σθένει, δρόμῳ, καὶ χειρῶν σθένει, πάλῃ καὶ παγκρατίῳ καὶ πυγμῇ.

91. Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν: τοῦ δὲ Κάστορος ἐπιξενωθέντος παρὰ τῷ Παμφάῃ τῷ προγόνῳ σου, ὦ Θειαῖε, ἅμα τῷ ἀδελφῷ Πολυδεύκει, θαυμαστὸν οὐδὲν ἀγαθοὺς καὶ θαυμασίους γεγενῆσθαι τοὺς προγόνους σου ἀγωνιστάς· ἐπόπται γάρ εἰσι τῶν ἀγώνων οὗτοι. διὰ τοῦτο γοῦν ἐν τοῖς ἐπάνω (38) εἶπε Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις τὴν νίκην αὐτῶν ἐληλυθέναι τῷ γένει.

96. ἐπεὶ εὐρυχόρου ταμίαι Σπάρτας: ἐπεὶ οἱ τῆς εὐρυχόρου Σπάρτης ταμίαι καὶ δεσπόται Διόσκουροι σὺν τῷ Ἑρμῇ καὶ Ἡρακλεῖ τὴν τῶν ἀγώνων μοῖραν τῆς εὐωχίας διέπουσι καὶ διοικοῦσι.

100a. μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι: πάνυ μὲν ὑμῶν τῶν ὄντων δικαιοτάτων ἀνδρῶν φροντίζοντες διὰ τὸ τῆς ξενίας δίκαιον, καὶ ἄλλως δὲ καὶ κατὰ φύσιν οἱ θεοὶ πιστοί τινες καὶ φιλάνθρωποι περὶ τοὺς εὐσεβοῦντας ὄντες. b. ἢ οὕτως· ὅτι πίστιν σῴζοντες πρὸς τὸν πρόγονον, φησί, τὸν ὑποδεξάμενον αὐτούς, νίκην τούτῳ νῦν ἐδωρήσαντο. c. ἢ οὗτοι, φησί, περισσῶς κηδόμενοι τῶν δικαίων ἀνδρῶν. δοκοῦσι γὰρ ἐπιφαινόμενοι κατὰ τὸ πέλαγος σῴζειν τοὺς δικαίους.

103. μεταμειβόμενοι δ' ἐναλλάξ: μεταβάλλοντες δ' αὐτοὶ οἱ Διόσκουροι καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγουσιν ἐν τῷ οὐρανῷ ὡς θεοί, μίαν δὲ ἐν τοῖς ὑπογείοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες τύχην. ἰστέον δὲ ὅτι περιπέπτωκε τοῖς ἐν τῇ Νεκυομαντείᾳ λεγομένοις περὶ τῶν Διοσκούρων (λ 303—4)·

---

23 — p. 180, 7 cfr. Tzetzes ad Lyc. 511 (p. 184 Sch.), Chil. II 686

---

1 σθένει (pr.)] + καὶ D 4 παμφαίῳ D 5 ἅμα D: σὺν B 11 εὐρυχώρου B 16 δίκαιον B: δικαιότατον D 18 ὅτι B: ὅτε D 23 μεταβαλλόντες (sic) D: μεταλαβόντες B 24 ἐναλάσσοντες D 25 μὲν] + ἡμέραν D 26 ὑπογύοις τοῦ θεράποντος D

ἄλλοτε μὲν ζώοισ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.

φησὶ γὰρ τοὺς Διοσκούρους μίαν μὲν ἡμέραν ὑπὲρ γῆς εἶναι, ἑτέραν δὲ ὑπὸ γῆν, ὥστε κατὰ μὲν τὸν διεσκευακότα τὰ παρ' Ὁμήρῳ παρ' ἡμέραν αὐτοὺς ἀποθνήσκειν, κατὰ δὲ Πίνδαρον μίαν μὲν ἡμέραν παρὰ τοῖς ἀθανάτοις διαιτᾶσθαι, μίαν δὲ ἡμέραν ὁρῶντας τὰ παρ' ἀνθρώποις σὺν αὐτοῖς εἶναι.

107. ἐπεὶ τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι: ἐπειδὴ μᾶλλον τοῦτον εἵλετο τὸν αἰῶνα, φησί, Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτοῦ ἐκ διαδοχῆς θεὸς γενέσθαι καὶ πάλιν ἄνθρωπος, ἤπερ μόνος ἐν οὐρανῷ θεὸς κατοικεῖν, Κάστορος τοῦ ἀδελφοῦ αὐτοῦ φθαρέντος ἐν πολέμῳ. αὐτοῦ γὰρ τρωθέντος καὶ μέλλοντος ἀπόλλυσθαι εἵλετο Πολυδεύκης ὁ τούτου ἀδελφὸς αὐτὸς ἀθάνατος ὢν μᾶλλον παρ' ἡμέραν ἄνθρωπος εἶναι ἅμα τῷ ἀδελφῷ, καὶ πάλιν θεὸς ἅμα τῷ ἀδελφῷ ἀπολουμένου αὐτοῦ· καὶ οὕτως ἐποίησαν οἱ θεοί.

112a. τὸν γὰρ Ἴδας ἀμφὶ βουσί πως: ἡ ἱστορία ἐστὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες ἐμνηστεύσαντο τὰς δύο Λευκίππου θυγατέρας Φοίβην καὶ Ἐλάειραν, κατὰ δὲ τὴν τῶν γάμων εὐωχίαν τοὺς Διοσκούρους εἰς ἑστίασιν ἐκάλεσαν· οἱ δὲ τὰς κόρας ἀφαρπάσαντες ἀπέφευγον, οἱ δὲ ἐπεδίωκον, καὶ συνίσταται τοῖς Ἀφαρητιάδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων, καὶ ἀναιρεῖται Κάστωρ· εἶτα Πολυδεύκης ἀνεῖλεν ἀμφοτέρους, συμπράξαντος τοῦ Διὸς καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. ὁ δὲ Πίνδαρος οὐ διὰ τὰς νύμφας φησὶν αὐτοῖς γεγενῆσθαι τὴν στάσιν, ἀλλὰ διὰ βοῶν ἀπελασίαν. ψυχορραγοῦντος οὖν τοῦ Κάστορος Πολυδεύκης ὢν ἀθάνατος πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν τῇ τῆς φύσεως ἐκνικώμενος ἀνάγκῃ. οὕτως

4 μὲν τὸν B: τὸν μὲν D τὰ om. B 7 ὁρῶντας Beck: ὁρῶντες BD 13 ὁ om. B 15 τῷ ἀδελφῷ (alt.) B: σὺν αὐτῷ D 15 16 ἀπολουμένου αὐτοῦ del. Schr.; ἀπολαυσόμενος αὐτοῦ vel simile quid desiderat M. Schmidt 19 δύο om. B ἱλάειραν a 21 ἔφυγον D 25 δὲ om. D 26 γεγεννῆσθαι D 28 ἀθάνατος ὢν D 28. 29 τὴν ἀθαν. καταμερίσασθαι D

οὖν αὐτοὺς καὶ Ὅμηρος (λ 303) *ἑτερημέρους καλεῖ.* b. *ὁ δὲ νοῦς· τὸν Κάστορα γάρ, φησί, τῆς τῶν βοῶν ἀφαιρέσεως ἕνεκεν ὁ Ἴδας ὀργισθείς πως ὁ τοῦ Ἀφαρέως παῖς ἔτρωσεν.*

114a. *ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδε Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενος: ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος* (III 11, 2) *κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος· ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων, τοῦ τε Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε; μήποτε οὖν, φησί, δεῖ ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως τοῦ ἡμένος ὡς ἡρμένος, ἵνα κατ᾽ ἀμφοῖν ἀκούηται· ἴδε Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένος, ἀντὶ τοῦ ἡμένους, δηλονότι τοὺς Διοσκούρους· ὡς ἀελλόπος καὶ τρίπος· οὐχ ἕδος ἐστὶ, γεραιέ* (Λ 648), *ἀντὶ τοῦ οὐχ ἕδους. παρατίθεται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα* (fr. 9 Kinkel)·

---

15 sch. A Θ 409. *I* 505. Eust. ibid. p. 720, 53 et 768, 47; id. ad *X* 164, p. 1264, 27. EM 20, 19. — sch. Townl. *Λ* 648. sch. D ibid. Hes. *οὐχ ἕδος*

---

3 *ἕνεκεν* B: *ἐνίκησεν* D *Ἀφαρέως* Beck: *ἄρεος* B *ἀμφιάρεως* D *ἔτρωσεν* B: *ἔτρωσε τούτῳ τῷ τρόπῳ λοχήσας* D (unde *πῶς δ᾽ ὁ τ. ἀ. π. ἔτρωσε; τούτῳ τῷ τρόπῳ. λόγχῃ* Mommsen) 4 l. D: *ἀπὸ ταυγέτου* B *πόδ᾽ αὐγάζων* D 6 *ἥμενον* B: *ἡ μὲν* D 10 ⟨*πῶς*⟩ *ἀμφοτέρων* Bergk *τε* om. B 11 ⟨*μῶν*⟩ *μόνον* Mommsen ⟨*πῶς*⟩ *μόνον* v. Wilamowitz ap. Horn. p. 68, probabiliter ⟨*πῶς τούτῳ τῷ τρόπῳ λοχήσαντα*⟩ *μόνον* M. Schmidt (cfr. ad 3) *εἶδε*] *ἀνεῖλε* M. Schmidt Did 236 12 *φησί δεῖ*] *φησὶ δεῖν* D *δεῖν φησὶν* B *δεῖ φησὶν* h *δεῖ* Oxon. 13 *ἡρμένος* (*ἡρμένος* D) vix sanum; *ἀρμένος* cj. Bergk; ft. *ὡς ἡρμένος* delenda 14 *ἀκόνηται* D *ἴδε* Mommsen: *ὁ δὲ* BD *ἡμένος* D: *ἡμένως* B 15. 16 *ἀελλόπος καὶ τρίπος οὐχ ἕδος* D: *ἀελλόπως καὶ τρίπως οὐχ ἕδως* B, s. s. ter *ους* 16 *οὐχ ἕδος — ἕδους* secl. Mommsen 17 *παρατίθεται* Bergk: *παρατιθενται* BD *γράψαντα* om. D

αἶψα δὲ Λυγκεὺς
Τηΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς.
ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
Ταντολίδου Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα.
νύξε δ' ἄρ' ἄγχι στὰς μεγάλην δρῦν

καὶ τὰ ἑξῆς. b. ὁ μὲν οὖν Κάστωρ ἐλόχα τὸν Ἴδαν, φησίν, ἐν κοίλῃ δρυῒ κρυφθεὶς καὶ τὸν Λυγκέα· ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὢν, ὥστε καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα ἔτρωσε λόγχῃ.

c. ἀπὸ γὰρ τοῦ ὄρους περισκοπῶν ὁ Λυγκεὺς ἐθεάσατο αὐτοὺς ἐγκαθεζομένους ἐν στελέχει δρυὸς καὶ ἐλλοχῶντας. τοῦ γὰρ Λυγκέως ὑπὲρ πάντας ἀνθρώπους ὀξύτατον ἦν τὸ ὄμμα.

118. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ ἐξικέσθαν: τάχιστα δὲ ἐκ τοῦ ὄρους πρὸς τοὺς Διοσκούρους δραμόντες παρεγένοντο καὶ μέγιστον ἔργον κατεπράξαντο τρώσαντες τὸν Κάστορα τάχιστα. ἀλλὰ μὴν καὶ ὑπέστησαν δεινὸν ἔργον οἱ προειρημένοι τοῦ Ἀφαρέως παῖδες ὑπὸ τῶν Διοσκούρων· εὐθέως γὰρ ἦλθεν ὁ Πολυδεύκης τοῦ ἀδελφοῦ πεσόντος· οἱ δὲ ἐλθόντι αὐτῷ ἀνθυπέστησαν ἐξ ἐναντίας περὶ τὸν τάφον τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, καὶ ἐνέβαλον τῷ στέρνῳ τοῦ Πολυδεύκους στήλην ἑνὸς τῶν κειμένων ἁρπάσαντες ἀπὸ τοῦ τύμβου τοῦ πατρὸς αὐτῶν Ἀφαρέως· ἀλλ' οὔτε αὐτὸν ἔπληξαν

---

2 τηΰγετον Tzetzes: ταΰγιτον BD ταχέσσι B ταχέεσι D 4 ταντολίδεω W. Ribbeck Rh. Mus. 33, 460 5 δεινοῖς D Tzetzes: εἰν B ὀφθαλμοῖς D 6 post hunc v. nonnulla deesse vidit Ribbeck l. l. 461 7 ἄγχι στὰς h: ἄγχιστα D ἀγχίστωρ B μεγάλην — 8 κάστωρ om. B 8 φησι ⟨σὺν πολυδεύκει⟩ Bergk 10 ὥστε D: ὡς B 11 δρυὸς ⟨τὸν κάστορα, ἐμήνυσε τῷ ἴδᾳ· καὶ ἐκεῖνος σὺν τῷ λυγκεῖ παραγινόμενος⟩ τὸν κάστορα Mommsen, cl. Apollod. 3, 11, 2 et Tzetze ad Lyc. 511 (p. 185, 15 Sch.); δρυὸς ⟨ἐμήνυσε τῷ ἴδᾳ, ὁ δὲ⟩ τὸν κ. Bergk (ex Tzetze l. l.) 12 περισκοπῶν D: σκοπῶν B 15 ἄφαρ ἐξικέσθαν om. B 16 διοσκορους B 17 παρεγένοντο Mommsen: περιεγένοντο BD 21 περὶ B: παρὰ D 23 ἁρπάσαντες] + καὶ πέμψαντες τῷ πολυδεύκει B 24 οὔτε B: ὅτι D

τὸν Πολυδεύκην, οὔτε ὑποχωρῆσαι εἰς τοὐπίσω πεποιήκασιν οἱ Ἀφαρητιάδαι.

129. ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ: ὁ δὲ Πολυδεύκης, φησίν, ἐφορμήσας τῷ ταχεῖ δόρατι ἐνέβαλε ταῖς τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον.

132a. Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξεν: οἱ μὲν ἐπὶ τῷ Ἴδᾳ φασίν, οἱ δὲ ἐν τῷ ὄρει, τῇ ἴδῃ, ἵνα ἴδην πᾶν ὄρος ὑψηλὸν ἀκούσωμεν· οὐδὲ γὰρ νῦν τοῖς κατὰ τὴν Ἀρκαδίαν τελουμένοις ἢ κατὰ Τροίαν συντελεῖ. b. ὁ δὲ νοῦς οὕτως· ὁ δὲ Ζεὺς πυρφόρον καὶ τεφρώδη κεραυνὸν προσέρρηξεν ἀμφοτέροις, ὁμοῦ δὲ ἐκαίοντο ἐρημωθέντες. χαλεπὴ δὲ καὶ δεινοτάτη ἡ ἔρις τοῖς ἀνθρώποις ἡ κατὰ τῶν κρειττόνων.

c. ἡ γὰρ πρὸς τοὺς κρείττονας, φησίν, ἔρις χαλεπή ἐστιν, ὥστε ὁμιλεῖν αὐτοῖς καὶ προσφέρεσθαι. ἀποδιοπομπεῖσθαι δεῖ οὖν τὴν ἔριν τὴν πρὸς τοὺς κρείττονας· ἡ μὲν γὰρ πρὸς τοὺς ἴσους ὁμιλία εὐκτή, ἡ δὲ πρὸς τοὺς κρείττονας χαλεπή· οἱ γοῦν Ἀφαρητιάδαι ἐρίσαντες κρείττοσι τοῖς Διοσκούροις ἀπώλοντο.

137a. ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν: ταχέως δ' ἐπὶ τὸν ἀδελφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποστρέψας, καὶ δὴ αὐτὸν οὔπω τεθνηκότα, πνευστιῶντα δὲ κατέλαβεν. b. οὔπω, φησί, τὸν Κάστορα εὗρε τεθνηκότα, τὰς δὲ πνοὰς ὑποψυχρούμενον ὑπὸ τῆς φρίκης. καταψύχονται γὰρ οἱ νεκρούμενοι.

142. πάτερ Κρονίων, τίς δὴ λύσις ἔσσεται: ὦ

---

7 sch. Theocr. I 105/6 f. Hes. Suid. Phot ἴδη EM 466, 1, al.

---

1 πολυδεύκη D εἰς τοὐπίσω Mommsen: εἰστουπρόσω D υ.. τ.. π(?).. ⁻σ̀ B ὑπὲρ τοῦ πατρὸς r 3 ἐφορμασθεὶς D ἐφορμηθεὶς B 6 ἐπ' ἴδᾳ B: ἐπίδαπ' ἴδα D πλᾶξεν om B 7 τῇ ἴδῃ del. Bergk 8 οὐδὲ B: ὁ δὲ D 10 ζεὺς] + τὸν D 11 ἐκέοντο B 13 κρείσσονας D 17 διοσκόροις B 19 ἀδελφοῦ D βίαν om B 22 πνοὰς B: γονὰς D γέννας Mommsen λαγόνας M. Schmidt 22. 23 ὑποψυχρούμενον Bergk: ἀποψυχρούμενον B ὑποψυχρουμένας D 23 ὑπὸ D: ἀπὸ B 25 τίς — ἔσσεται om. B ἔσεται D

πάτερ Ζεῦ, τίς δὴ ἔκλυσις γενήσεται τούτων τῶν πενθῶν; καί μοι θάνατον ἐπίθες καὶ δεῖξον, ὦ βασιλεῦ.

146 a. *οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί:* *τατωμένῳ ἀντὶ τοῦ στερισκομένῳ.* b. *οὐδεὶς συμπονεῖ, φησίν, ἐὰν μὴ φίλος ᾖ καὶ ἀγαθὸς φίλος· στερηθεὶς δὲ τούτου τίνα ἕξω κοινωνὸν τῶν πόνων;* c. *ἢ οὕτως αὐτὸ δεῖ νοεῖν· τὸ τατωμένῳ φησὶ Δωρικῶς· ἀνδρὶ γὰρ τῷ φίλων στερισκομένῳ πᾶσα διέφθαρται τιμή.* d. *ἢ οὕτως· ἐάν τις καθυστερήσῃ τοῦ προσφιλοῦς, ἀποστερεῖται τοῦ συμπράσσοντος, ἀπραγὴς δὲ γενόμενος οὐ τιμᾶται ὑπ' οὐδενός.*

147 a. *παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν:* *ἀντὶ τοῦ οὐδὲ ὀλίγοι· ὡς καὶ παρ' Ὁμήρῳ* (*Ε* 800)·

ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.

b. *ὁ δὲ νοῦς· οὐδὲ ὀλίγων δὲ ἀνθρώπων ἐστὶν ἐν τοῖς ὑπερβάλλουσι κινδύνοις τῶν δεινῶν κοινωνεῖν.* c. *ἢ οὕτως· οὐδὲ ὀλίγοι δὲ τῶν ἀνθρώπων πιστοὶ κατὰ τοὺς πόνους πάσχουσι τοῖς ἑταίροις τοῦ καμάτου κοινωνεῖν.*

150 a. *ἐσσί μοι υἱός· τὸν δ' ἔπειτα:* *ὁ μὲν Ἡσίοδος* (fr. 91) *ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ· ὁ δὲ Πίνδαρος ἑτέροις τῶν ἱστορικῶν ἐξακολουθήσας τὸν μὲν Πολυδεύκην ἐκ Διός, τὸν δὲ Κάστορα ἐκ Τυνδάρεω εἶναί φησιν, ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. λέγεται γὰρ τοῦτο, ὅτι Πολυδεύκης καὶ Ἑλένη ἐκ Διός εἰσι καὶ Λήδας, Κάστωρ δὲ ἐκ Τυνδάρεω. ὁ μέντοι Ἡσίοδος* (fr. 92) *οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατρὸς Ὠκεανοῦ καὶ Διός.* b. *τὸ δὲ σαφὲς*

---

11 cfr. sch. O. I 55 c

---

1 *ἔκλυσις* D: *λύ[σι]ς* B *λόγος* r 2 *ἐμοὶ* cj. Abel *καὶ δεῖξον* suspecta *βασιλεῦ* B: *ζεῦ* D 3 *σὺν* ante *τιμὰ* B, sed delet. *φωτί* om. B *τατωμένῳ* a: *τὸ ταμένῳ* D om. B 9 *συμπράττοντος* D 10 *γινόμενος* B[s] 11 *παῦροι δ' ἐν* B: *παῦροι' ἂν* D 14 *δὲ* alt.) om. D 18 *ἐσί* D *τὸν δ' ἔπειτα* om. B 21 *τυνδάριως* D 22 *μὲν* B: *μὴ* D *ἐξαλμήνης* D 25 *οὔτε* (pr.)] *τε* D[ac] *τὴν* B: *τοὺς* D 26 *θυγατέρα* (sic r) *ὠκεανίδος καὶ διός* Heyne ad Apollod. 3, 10, 7 *θυγατέρα ὠκεανοῦ καὶ τηθύος* Beck

οὕτως· σὺ μέν, ὦ Πολύδευκες, τυγχάνεις μοι υἱός, τὸν δὲ Κάστορα μετὰ ταῦτα ὁ Τυνδάρεως σπέρμα θνητὸν ὄντα τῇ σῇ μητρὶ συνελθὼν ἔσπειρεν.

153. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν παραδίδωμι: ἀλλ' ὅμως τούτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι· εἰ μὲν γὰρ τὸν θάνατον ἐκφυγὼν καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν αὐτὸς βούλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ καὶ Ἀθηνᾷ καὶ Ἄρει, ἔστι σοι τούτων μερίς· εἰ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ Κάστορος διαμάχῃ, πάντων τε τῶν καλῶν βούλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τοῦ χρόνου ἕξεις ὑπὸ τὴν γῆν διατρίβων, τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ καὶ τοῖς τιμίοις τῶν θεῶν οἴκοις.

166. ὣς ἄρ' αὐδάσαντος: οὕτω ταῦτα τοῦ Διὸς εἰπόντος οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης, ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν, ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι.

168a. ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλμόν: ὁ Ζεὺς δηλονότι· οἷον ἤδη μύοντα καὶ κλειόμενον διὰ τὸν θάνατον ἀναβλέψαι ἐποίησεν. b. ὁ δὲ νοῦς· ἀνέλυσε μὲν καὶ πάλιν ὁρᾶν παρεσκεύασε τὸν τοῦ ἀδελφοῦ ὀφθαλμόν, ἔπειτα καὶ τὴν φωνὴν ἐνέβαλε τῷ σώματι τοῦ χαλκομίτρα Κάστορος.

subscr. τέλος. sch. inscr. XII D D

Scholia in Nemeonicarum carmen XI

Τῆς ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶν ἕξ. τὸ α' Πινδαρικόν· ἔστι δὲ ἰαμβέλεγος λείπων τῇ ἀρχῇ, καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς λεῖπον τῷ τέλει, ὃ καλεῖται ἀμφιλειπές, ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει.

---

4 ἔμπαν — 5 παραδίδωμι om. B 5 σοι post 6 αἵρεσιν D 9 ὑπὲρ B: ὕστερον D διαμάχους D τε] δὲ h 13 αὐδήσαντος D ταῦτα τοῦ διὸς om. D 17 δηλονότι om. D 21 ἀνέβαλε D τῷ σώματι om. B 24 — p. 184, 13 post p. 186, 24 D 26 λείπων D 27 ἀμφιλειπὴς D λείπει om. D

ἡ δὲ ἀπόδοσις (v. 18) τὸ ἀοιδαῖς, ᾠδαῖς ποιεῖ. τὸ β' σύνθετον ἀπὸ διμέτρου τροχαίου καὶ ἡμίσεος ἔπους. τὸ γ' ἔπος παρὰ συλλαβήν. τὸ δ' ὅμοιον τῷ (Archil. fr. 99) Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. τὸ ε' χοριαμβικὸν δίμετρον καταληκτικόν, ἢ πενθημιμερὲς δακτυλικὸν πλεονάζον μιᾷ συλλαβῇ· τὸ ϛ' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

ἡ ἐπῳδὸς κώλων ἐννέα. τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ β' δακτυλικὸν πενθημιμερές. τὸ γ' ὅμοιον τῷ α' τῆς στροφῆς. τὸ δ' δακτυλικὸν πενθημιμερές. τὸ ε' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ϛ' δακτυλικὸν πενθημιμερές. τὸ ζ' ἰωνικὸν δίμε ρον ἀκατάληκτον. τὸ η' ὅμοιον τῷ δ' τῆς στροφῆς. τὸ θ' σύνθετον ἐκ πενθημιμεροῦς τροχαίου καὶ ἑφθημιμεροῦς δακτυλικοῦ. 10 D

Inscr. a. Οὐδὲ ὅλως, φησὶν ὁ Δίδυμος, ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἐπινίκους συνεῶσθαι· οὐ γὰρ ἱερὸν ἀ͵ῶνα νενίκηκεν ὁ Ἀρισταγόρας, ἀλλὰ περιχώρους. γεγράφθαι ⟨δέ⟩ φησι τὴν ᾠδὴν εἰς πρυτανεύοντα καὶ τῆς πόλεως προεστῶτα τὸν Ἀρισταγόραν, σαφὲς δὲ τοῦτο ἐξ ὧν φησιν (9)· ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περάσαι. ἠπατῆσθαι δέ φησιν ὁ Δίδυμος ἐνίους, ὡς δοκεῖν ἱεροὺς στεφάνους αὐτὸν ἀνῃρῆσθαι. διὰ τῆς ᾠδῆς δὲ σημαίνεται, ὅτι στεφάνους ἔσχεν ὡς δεκαέξ, ἀλλ' οὐχὶ περιοδικούς, ὡς ἐπλανήθησαν ἐκ τοῦ λέγεσθαι (22)· ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. οὐ γὰρ σημαίνει διὰ τούτων ὡς Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ. ἀλλὰ τοὐναντίον οἱ γονεῖς δι' εὐλάβειαν συγγενικὴν οὐκ ἀπέστειλαν αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους, ἐπεὶ κἂν Ἴσθμια καὶ Νέμεα εἰλήφει. ἐποίσει γάρ· ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ

4 ἐδάσαμεν D 7 κώλων] + ἐστὶν D 9 α'] πρώτῳ B β' D 9. 10 exspectes aut προσοδιακὸν aut ἀκατάληκτον 12 δ' mg. Brub.: πρώτῳ B β' D 16 περιχώρους D: παρὰ χώρους B suppl. h 19 δυωδεκαμόνον D περᾶσαι D 20 ἱεροὺς αὐτῶν στ. D 21 δὲ om. D ὡς om. D 22 ὡς ἐκ τοῦ λέγεσθαι ἐπλ. D 23 ἐν om. D 24 πειρᾶσαι D 27 νέμεα B: πύθια D

καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων. ὀμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δόξαν, εἰ ἐξεδήμησεν εἰς Πυθὼ καὶ Ὀλυμπίαν, κάλλιον ἂν τῶν συναντaγωνιστῶν ἐπανεληλύθει εἰς τὴν πατρίδα, τουτέστιν ἐνίκησεν ἄν· νῦν δὲ ἐλπίδες ὀκνηρότεραι γονέων κατέσχον αὐτόν, διὸ οὐδ' ὅλως ἐξεδήμησε. συντακτέον οὖν. φησὶν ὁ Δίδυμος, εἰς τὰ Παρθένια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην ἀρέσκει. b. *ὅλως οὖν οὐδὲ δεῖ τετάχθαι τὴν ᾠδήν· οὐ γὰρ οἷον Νεμεονίκης ἐστίν, ἀλλ' οὐδ' ὅλως ἀθλοῦντι γέγραπται ἔτι, ἀλλ' ἀνδρὶ τελείῳ πρυτανεύοντι τῆς πατρίδος. εἰ δὲ παραμιμνῄσκεται, ὅτι περιχώρους ἀγῶνας ἐνίκα παῖς ὤν, οὐ διὰ τοῦτο ἀθλητής· καθὸ οὐκ ἀθλητῇ γέγραπται, ἀλλὰ πρυτάνει καθὸ ἐπρυτάνευεν· ἔτυχε δὲ ἐπὶ τῆς παιδικῆς ἡλικίας ἄθλων. διὸ δὴ καὶ ὡς πρυτανεύοντος τὴν Ἑστίαν προσφωνεῖ.* c. *ἔοικε δὲ ὁ Ἀρισταγόρας μὴ νῦν νενικηκέναι· φασὶ γὰρ οἱ ἱστορικοὶ παιδὶ μὲν ὄντι πολλὰς ὑπεισελθεῖν νίκας, ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι τὸν Πίνδαρον πρόσχημα μὲν ἐπίνικον γράψαι, τὸ δὲ ἀληθὲς προσφώνησιν εἰς τὴν πρυτανείαν. Τένεδος δέ ἐστι καὶ τῆς Λιβύης καὶ τῆς Τροίας.*

1a. *παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία:* *τὰ πρυτανεῖά φησι λαχεῖν τὴν Ἑστίαν, παρόσον αἱ τῶν πόλεων ἑστίαι ἐν τοῖς πρυτανείοις ἀφίδρυνται, καὶ τὸ ἱερὸν λεγόμενον πῦρ ἐπὶ τούτων ἀπόκειται. τοῦ δὲ ἱεροῦ πυρὸς ἐν*

---

24 Suid. *πρυτανεῖον.* sch. Thuc 2, 15

---

1 *ὄχθῳ* **D**: *χρόνῳ* **B** (? cp. dub.) **3** *εἰ* **D**: *ὅτι εἰ* **B** *πυθῶ(να)* **B**? **6** *γονέων κατέσχον* **D**: *κατέσχον γονέων* **B** *κατ. τῶν γον.* r *τῶν γον. κατ.* Mommsen **7** *παρθένια* Bergk: *παροίνια* **BD** *περὶ* **B**: *παρὰ* **D** **11** *περιχώρους* **D**: *παρὰ χώρους* **B** **12** *οὐ διὰ τοῦτο* **D**: *οὐδὲ τοῦτο* **B** *ἀθλητὴς οὐ διὰ τοῦτο, καθὸ ἀθλητῇ γέγραπται* M. Schmidt **16** *οἱ* om. **B** **19** *προσφώνησιν* **D**: *προσφωνητικὸν* **B** *καὶ* om. **D** **20** *λιβύης*] scribend. vid. *λυκίας*, cl. Steph. Byz. s. v. *τένεδος* **21** *ἅ τε—ἑστία* om. **B** **22** *τὰ* om. **B** *πρύτανα* **D** **23** *τοῖς* **B**: *γὰρ* **D** **24** *τοῦ*—p. 186, 1 *εἴη ἂν* **D**: *εἴη δ' ἂν πρυτανεῖον κατὰ τὸ* **B** (om. *τοῦ—φυλαττομένου*)

τοῖς πρυτανείοις φυλαττομένου εἴη ἂν τὸ ἔτυμον πυροταμεῖον, κατὰ συγγένειαν τοῦ μ εἰς τὸ ν, ὡς τὸ μίν καὶ τὸ νίν· ἢ κατὰ κοινωνίαν τοῦ β πρὸς τὸ π βρυτανεῖον παρὰ τὸ βρύειν, ὅ ἐστι θάλλειν καὶ αὔξεσθαι, ἀφ' οὗ καὶ τὸ ἔμβρυον τὸ ἐν τῇ γαστρὶ αὐξανόμενον. καί τε βρύει ἄνθεϊ λευκῷ, Ὅμηρος (*P* 56). b. ὁ δὲ νοῦς· ὦ Ἑστία, τῆς Ῥέας παῖ, ἥτις ἔλαχες τὰ πρυτανεῖα, τοῦ ὑψίστου Διὸς ἀδελφὴ τυγχάνουσα καὶ τῆς Ἥρας τῆς ὁμοθρόνου καὶ συμβασιλευούσης τῷ Διΐ, καλῶς μὲν τὸν Ἀρισταγόραν ὑπόδεξαι εἰς τὸ πρυτανεῖον, καλῶς δὲ καὶ τοὺς ἑταίρους τοὺς συμπρυτανεύοντας αὐτῷ, τοῦ σοῦ σκήπτρου πέλας. ἐκ τούτου οὖν πρόδηλον, ὡς εἰς τὴν πρυτανείαν γράφεται. ἵδρυται δὲ ἐν τοῖς πρυτανείοις ἡ Ἑστία.

5. οἵ σε γεραίροντες: οἵτινές σε τιμῶντες οἱ πρυτάνεις ἐν δικαιοσύνῃ διαφυλάσσουσι τὴν Τένεδον, πολλάκις μὲν σπονδαῖς ἐξιλεούμενοι πρώτην τῶν ἄλλων θεῶν, πολλάκις δὲ καὶ ταῖς θυσίαις. πρώτην δὲ ταύτην εἶπε, καθόσον ἀπ' αὐτῆς ἤρχοντο. καὶ Σοφοκλῆς (fr. 658)· ὦ πρῷρα λοιβῆς Ἑστία. ἀπὸ οὖν τῆς κνίσης, ὅ ἐστι τῆς πιμελῆς, τὰς θυσίας.

8. λύρα δέ σφισι βρέμεται: λύρα δὲ αὐτοῖς κατὰ τὰς πανηγύρεις ἠχεῖ καὶ ᾠδή, καὶ τοῦ ξενίου Διὸς θέμις ἀσκεῖται καὶ ἀποσῴζεται παρ' αὐτοῖς διαπαντὸς ἐν ταῖς τραπέζαις· ἀντὶ τοῦ φιλόξενοί εἰσιν. metr. D

10a. ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον

---

4 sch. B *P* 56. Eust ibid. (p. 1095, 14). EM 334, 13. EG 290, 21. Orion 56, 6. Hes. Suid. βρύει. 17 sch. Ar. vesp. 846. 19 sch. *Α* 317. Eust. ibid. (p. 109, 24). sch. *Φ* 363. Eust. ibid. (p. 1241, 26), al. Ap. Soph. 101, 28. Hes. κνῖσα. Suid., Phot. κνίσης

---

4 θάλλειν καὶ αὔξασθαι D (corr. a): αὔξειν καὶ θάλλειν B 8 καὶ] + τῆς B 9 πρυτανεῖαν D 15 πολλάκι D 16 σπονδαῖς D: σπονδαῖς καὶ θυσίαις B πολλάκι D 18 πρῶρα codd.: πρῶτα b 19 κνίσσης D πιμελῆς] + καὶ B 19. 20 θυσίας ⟨σημαίνει⟩ b 21 αὐτῆς D 22 καὶ (alt.) om. D

περάσαι: εὔχεται τὴν ἀρχὴν μετὰ δόξης αὐτὸν διατελέσαι. σὺν ἀτρώτῳ καὶ ἀλύπῳ τῇ καρδίᾳ, τουτέστιν ἀπταίστῳ καὶ ἀβλαβεῖ, τήν ἐνιαυσίαν ἀρχὴν διανύσειε. δῆλον δὲ, καθὼς καὶ προείπομεν (ad inscr.), διὰ τούτων, ὅτι οὐκ ἔστιν ἐπίνικος ἡ ᾠδή. b. ὁ δὲ νοῦς· παράσχου οὖν αὐτοῖς σὺν εὐδοξίᾳ ἐξενιαυτῆσαι τὴν πρυτανείαν σὺν ἀλύπῳ καρδίᾳ.

13a. *ἄνδρα δ' ἐγὼ μακαρίζω μέν*: τὸν δὲ ἄνδρα ἐγὼ μακαρίζω Ἀρκεσίλαν τὸν σὸν πατέρα καὶ τὸ ἐκείνου ἀνδρεῖόν τε καὶ ἐπέραστον σῶμα. b. ἄλλως. τὸν πατέρα αὐτοῦ Ἀρκεσίλαν μακαρίζω θνητὸν ὄντα τὸ σῶμα, καὶ τὸν σύγγονον αὐτοῦ Ἀτρεμίαν· ὡς ἀδελφοῦ αὐτοῦ ὄντος Ἀτρεμίου ἢ ὡς ἀδελφῆς· ἀμφίβολον γάρ. c. ἢ τὴν συγγενομένην αὐτῷ ἀφοβίαν.

16a. *εἰ δέ τις ὄλβον ἔχων*: εἴ τίς ἐστι πλούσιος, φησί, καὶ καλὸς καὶ ἐν ἀέθλοις διήνεγκε τῶν ἄλλων, γινωσκέτω ὅτι θνητός ἐστι, καὶ μηκέτι παρὰ ταῦτα εὐδαιμονίαν μείζονα ζητείτω· μὴ ὡς θεὸς τῶν μειζόνων ὀρεγέσθω. b. ἢ οὕτως· εἰ δὲ ἀνθρώπων τις εὐδαιμονίαν κεκτημένος καὶ τῷ εἴδει παρέρχεται τοὺς ἄλλους, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύουσαν ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχὺν, γινωσκέτω μέλλων ἀποθνήσκειν. ἡ δὲ τοῦ νοῦ φαντασία τοιαύτη· μὴ διὰ τὸ ὑπερβεβλημένον τῆς εὐδαιμονίας θεοῖς ἑαυτὸν καταριθμείτω, γινωσκέτω δὲ ὅτι ἀνθρωπίνην ἔχει τὴν φύσιν.

22a. *ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖς μέν*: ἐν δὲ τῇ τῶν ἀγαθῶν γνώμῃ ἐπαινεῖσθαι τοὺς ἀγαθοὺς προσήκει, φησίν. b. ἢ οὕτω· τοὺς τοιούτους καὶ τοιαῦτα ἠσκηκότας ἄρχοντας δεῖ ὑπὸ τῶν ἀστῶν τῶν ἀγαθῶν καὶ λόγοις ἐπαινεῖσθαι καὶ κοσμεῖσθαι ποιήμασιν.

---

1 περᾶσαι D τελέσαι B 3. 4 καθὼς προείπομεν, καὶ M. Schmidt 6 εὐδοξείᾳ D ἐξενιαυτῆσαι D: lac. 12—14 litt. B 7 μέν om. B 9 ἄλλως post 10 μακαρίζω trp. B 11 ὄντος] + τοῦ D 14 ἐστι D: δὲ B 16 εὐδαιμονίαν μείζονα B: μείζονα εὐδαιμονᾶν D 17 εἰ D: εἰς B 20 ἑαυτοῦ D: αὐτοῦ νίκην(?) B, sed νίκην del. 21 διὰ B: δὲ D 22 γιγνωσκέτω B 24 μέν om. B 25 ἀγαθῶν] ἀστῶν scribend. vid.

24a. *ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν*: ὡς τῶν ἀνταγωνιστῶν τοῦ Ἀρισταγόρου τοσούτων ὄντων τῷ ἀριθμῷ. b. ὁ δὲ νοῦς· ἐκ δὲ τῶν περιοίκων ἀνταγωνιστῶν δεκαὲξ ὄντων τὸν Ἀρισταγόραν αἱ νῖκαι καὶ τὴν τούτου πατρίδα ἐστεφάνωσαν τὴν ἐπίδοξον, πάλῃ καὶ παγκρατίῳ νικήσαντα.

28. *ἐλπίδες δ' ὀκνηρότεραι γονέων*: παιδὸς δὲ ὄντος τοῦ Ἀρισταγόρου, φησίν, αἱ τῶν γονέων ἐλπίδες ὀκνηρότερον διατεθεῖσαι ἐνεπόδισαν εἴς τε τὴν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν σταλῆναι τῶν ἄθλων εἵνεκα.

30a. *ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν*: ἐνταῦθα ὄνομα οὐ πρόσκειται. ἰδίως γὰρ οἱ παλαιοὶ κατ' αὐτοῦ τοῦ ὅρκου ὤμνυον, ὡς καὶ Ἡσίοδος (theog. 231)·

Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

b. ἄλλως. εὐλαβείᾳ τοῦ ὀμνύειν οἱ ἀρχαῖοι παρελίμπανον τὰ ὀνόματα τῶν θεῶν. διὸ καὶ ψιλῶς εἶπε· ναὶ μὰ γὰρ ὅρκον,
D τὴν ἐμὴν | δόκησιν καὶ ὑπόληψιν, ἀντὶ τοῦ, ἐφ' ᾧ δοξάζομαι ὅτι οὐκ εἰμὶ ἐπίορκος. c. ὁ δὲ ὅλος νοῦς οὕτως· ναὶ μὰ
BD γὰρ τὸν ὅρκον, κατὰ τὴν ἐμὴν | δόκησιν ἔν τε Πυθῶνι καὶ ἐν τῷ εὐδένδρῳ ὄρει τοῦ Κρόνου, ὅ ἐστι καὶ ἐν τῇ Ὀλυμπίᾳ, κάλλιον ἂν τῶν ἀνταγωνιζομένων ἐπανῆλθεν ὁ Ἀρισταγόρας τῇ πατρίδι, τὴν πενταετηρικὴν πανήγυριν, διάταξιν καὶ νόμον οὖσαν Ἡρακλέους, κωμάσας καὶ ἀναδησάμενος τὴν κόμην τοῖς στεφάνοις.

31a. *παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολών*: εὐδένδρῳ διὰ τὰ τῶν ἐλαιῶν φυτὰ ἅπερ Ἡρακλῆς ἐξ Ὑπερ-

---

16 cfr. Suid. *ναὶ μὰ τό* 27 O. III 14. 31

---

1 *περικτυόνων* D *ἀρισταγόραν* om. D 2 *ἀγωνιστῶν* B 5 *ἔνδοξον* D *πάλην* D 9 *διατιθεῖσαι* D *τὴν πυθῶνα* B: *τὰ πυθώνια* D 10 *ἄθλων* B: *ἄλλων* D 15 *ἐπιόρκον* D *ὀμόσσῃ* codd. Hes.: *ὀμόσῃ* B *ὄμοσαν* D 18 *δόκησιν*—20 *ἐμὴν* om. B 20 *τὸν* delend. cens. Abel 22 *ἀνταγωνιζομένων* b: *ἀγωνιζομένων* BD 23 *τὴν* om. D 24 *κώμην* D 24. 25 *τοῖς στεφάνοις* om. B

βορέων κομίσας ἐνεφύτευσε τῇ γῇ. b. τὸ δὲ παρ' ὄχθῳ Κρόνου, ἀντὶ τοῦ καὶ τῷ λόφῳ τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνιερωθέντι τῷ Κρόνῳ.

37. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι: αἱ καυχήσεις. ἀλλὰ τῶν ἀνθρώπων τὸν μὲν αἱ ματαιόφρονες καυχήσεις καὶ ἀλαζονεῖαι ἐκ τῶν παρὰ πόδας καλῶν ἀποτυχεῖν παρεσκεύασαν, τῷ τῶν μειζόνων παρὰ δύναμιν καὶ τὸ προσῆκον ὀρέγεσθαι, ἕτερον δὲ ἰσχυρὸν ὄντα κατὰ φύσιν, μετριάζοντα δέ, καταμεμφόμενον τὴν ἑαυτοῦ δύναμιν, τῶν προσόντων καλῶν ἀποσφαλῆναι πεποίηκεν ἡ ψυχὴ ἄτολμος οὖσα καὶ τῆς χειρὸς αὐτὸν εἰς τοὐπίσω ἕλκουσα, τουτέστιν ἄτολμον ποιοῦσα.

43a. συμβαλεῖν λίαν εὐμαρὲς ἦν: ἐκ δὲ τῆς Ἀρισταγόρου ἀρετῆς εὐμαρὲς ἦν διαγνῶναι συμβαλόντας, ὅτι τοῦ Λακωνικοῦ Πεισάνδρου ἀπόγονος ἦν, τοῦ ποτε σὺν τῷ Ὀρέστῃ ἀποικίαν ἀπὸ τῆς Λακεδαίμονος εἰς Λέσβον στειλαμένου τὸ τῶν Αἰολέων γένος· τὸ δὲ δεῦρο ὡς πρὸς τὴν Τένεδον τὴν τῆς Λέσβου· ἦν δὲ συμβαλεῖν καὶ τὸ μητρῷον αὐτοῦ γένος περὶ τὰ Ἰσμηνοῦ ῥεύματα κεκραμένον τῷ Θηβαίῳ Μελανίππῳ. b. ἢ οὕτω· συμβαλεῖν λίαν εὐμαρὲς ἦν καὶ σημειώσασθαι τὸν ἰδόντα τὸν Ἀρισταγόραν, ὅτι τὸ πάλαι αὐτοῦ αἷμα καὶ τὸ γένος ἦν ἀπὸ Πεισάνδρου τοῦ Σπαρτιάτου· ὡς ἀπό τινος Πεισάνδρου τῶν παλαιῶν ὄντος τοῦ Ἀρισταγόρου. οὗτος δέ, φησί, σὺν Ὀρέστῃ ἀπῴκησεν ἐκ Σπάρτης καὶ τὴν Τένεδον κατῴκησε. Τενέδιος γὰρ ὁ Ἀρισταγόρας. περὶ δὲ τῆς Ὀρέστου εἰς τὴν Αἰολίδα ἀποικίας Ἑλλάνικος ἐν α' Αἰολικῶν ἱστόρηκεν (FHG I 60 M., I 117 J). ὁ δὲ Μελάνιππος οὗτος Θηβαῖος ἦν ἐπὶ

4 Hes. αὔχαν 26 Tzetzes ad Lyc. 1374 (p. 380 S.) 27 cfr. sch. N. X 12

2 ⟨ἐν⟩ τῷ λόφῳ cj. Abel 5 τὸν B: τῶν D 6 ἐκ vix sanum; καί? πόδας D: ποδ . . B (accentus 1 n.) ποδῶν r 13 ἐκ om. D 17. 18 τὴν ⟨ὑπὲρ⟩ τῆς b; sed cfr. p. 185, 19 19 περὶ B: παρὰ D 20 ἢ καὶ οὕτω D ἦν om. B 21 ὅτι om. D 22. 23 ὡς ἀπό τινος τῶν παλ. πεισάνδρου B 26 ἐν α' αἰολ. Tzetzes: ἐν τῷ πρώτῳ (α' B) περὶ αἰολ. BD

τοῦ πολέμου συστὰς τῷ Τυδεῖ. τούτου δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ ῥήξας ἐκροφῆσαι τὸν ἐγκέφαλον· διὸ καὶ ἀπεστράφη ἡ Ἀθηνᾶ τότε κομίζουσα αὐτῷ τὴν ἀθανασίαν. τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πείσανδρον, τὸ δὲ ἀπὸ μητρὸς εἰς τοῦτον τὸν Μελάνιππον· μήτρωες γὰρ [οὗτοι] οἱ κατὰ μητέρα πρόγονοι.

48a. ἀρχαῖαι δ' ἀρεταί: αἱ ἀρχαῖαι τῶν προγόνων, φησίν, ἀρεταὶ ὕστερον ἐκλάμπουσιν. ἐνίοτε γάρ τις γέγονεν ἀπὸ πρακτικοῦ τινος ἀνδρός, εἶθ' οἱ ἐκείνου ἀπόγονοι ἄπρακτοι ὤφθησαν, ἕως διὰ πολλῶν ἐτῶν πάλιν εἷς ἐξέλαμψεν. οὗτος οὖν, φησίν, ἀπὸ Μελανίππου γεγονὼς καὶ Πεισάνδρου δραστηρίων γεγονότων, τῶν δὲ μεταξὺ ἠμαυρωμένων, αὐτὸς ἐξέλαμψε τῶν ἐκείνων ἀρετῶν, αὐτὸς ἐφ' ἑαυτοῦ ἔδειξε τὸ γένος οἷον ἦν. b. ἢ οὕτως· αἱ δὲ παλαιαὶ ἀρεταὶ ἀποφέρονται σθένος ἐναλλασσόμεναι ταῖς τῶν ἀνθρώπων γενεαῖς. οὔτε γὰρ ἐφεξῆς αἱ ἄρουραι καρπὸν δυνατῶς ἀποδιδόασιν, οὔτε μὴν τὰ φυτὰ βούλεται ἐν πάσαις ἐτῶν περιόδοις καρπὸν καὶ βλαστὸν εὐώδη καὶ ἐπικερδῆ φέρειν, ἀλλ' ἐξ ὑπαλλαγῆς καὶ διαστήματος ταῦτα δίδοται, καὶ τὸ τῶν ἀνθρώπων γένος τὸν αὐτὸν τρόπον τοῖς φυτοῖς καὶ ταῖς ἀρούραις ἀναδέχεται.

55. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ: τὸ ἀποβησόμενον τέλος ἐκ τοῦ Διός, φησίν, οὐ προγινώσκομεν οἱ ἄνθρωποι, ἀλλὰ μεγαληγοροῦμεν μεγάλα τε μενοινῶντες καὶ φροντίζοντες ὑπὲρ ἑαυτούς. τείνει δὲ πρὸς Ἀρισταγόραν, ἐπειδὴ τότε ἦρχε καὶ ἐπρυτάνευε, παραινῶν αὐτῷ μὴ ὑπερηφανεύεσθαι, ἀλλὰ μετρίως βιοῦν, πράως δὲ καὶ ἐν ἀρετῇ διάγειν.

59a. δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα: τουτέστιν

---

5 sch. O. VI 130. IX 96. N. X 69

---

4. 5 πείσανδρον ⟨ἀναφέρει⟩ b 6 del. b 7 ἀρχαῖαι (alt.) B: ἀρχαὶ D 8 φησὶν D: φύσει B 9 πρακτικοῦ D: πατρικοῦ B 10 ἕως B: ἤγουν D 12 in δὲ offend b, et fort. delend. 13 ἐκείνου D τῶν — ἀρετῶν suspecta; ⟨ἢ⟩ αὐτὸς Schr. 21 ἀνθρώποις iteravit D 22. 23 προσγινώσκομεν D 26 δὲ D: τὲ B

ἐμπέφυκεν ἡμῖν ἐλπὶς, ἄποθεν ..... ἀναιδῆ δὲ τὴν ἐλπίδα εἶπεν, ὅτι οἱ πολλοὶ ἡμῶν ἀδύνατα ἐλπίζουσιν. b. ἢ ἀναιδῆ τὴν ἐλπίδα εἴρηκε διὰ τὸ πολλάκις τοὺς ἐλπίζοντας ἀποτυγχάνειν καὶ πάλιν ἐλπίζειν. c. ἢ οὕτω· συνδέδεται δὲ τὰ ἡμέτερα σώματα ἀναιδεστάτῃ ἐλπίδι, τὸ δὲ προβουλεύεσθαι καὶ μανθάνειν μακρὰν ἡμῶν ἀπῴκισται. d. ἤτοι τῆς δὲ προγνώσεως αἱ ὁδοὶ ἄποθεν ἡμῶν κεῖνται, ἀντὶ τοῦ οὐ δυνάμεθα ἄνθρωποι ὄντες τὰ μέλλοντα προγινώσκειν.

62a. *κερδέων δὲ χρὴ μέτρον θηρευέμεν*: οὐ δεῖ, φησί, ζητεῖν ὠφελείας ὑπερμέτρους οὐδὲ κερδαίνειν τὰ ὑπὲρ ἡμᾶς. ἀπροσίκτων δὲ ἀντὶ τοῦ ἀμηχάνων, ὧν οὐκ ἔστι θιγεῖν. τῶν γὰρ ἐρώτων σκληραί εἰσιν αἱ μανίαι καὶ σύντονοι αἱ ἐπιθυμίαι. b. τῶν οὖν ἀμηχάνων ἐρώτων, φησίν, αἱ ἐπιθυμίαι ὀξυτέρας ἔχουσι τὰς μανίας. πρὸς τί δὲ τοῦτο λέγει; ἀντὶ τοῦ εἰπεῖν· ὦ Ἀρισταγόρα, ⟨πρὸς⟩ οἷς ἔσχηκας καὶ ἔλαβες δεκαὲξ στεφάνοις πλουτεῖς, ἄρχεις, πρυτανεύεις· ἀρκοῦ τούτοις, μηκέτι ὑπὲρ ταῦτα ζήτει.

τέλος. D

Πινδάρου ἐπίνικοι Νεμεονίκαις. D

---

1 ἡμῖν B: ὁμοῦ D lac. signif. Hartung; suppl. id. ex sch. d; ἄποθεν del. Schr. 6 μακροῦ D ἀπῴκισται Bergk: ἀπῴκισεν BD ἀπῴκησεν Beck 12 τῶν γὰρ ⟨τοιούτων⟩ ἐρώτων M. Schmidt. Potius 11 ἀπροσίκτων — θιγεῖν post 12/13 ἐπιθυμίαι transponenda (cfr. sch. 59a) 13 εὐμηχάνων D αἱ om. B 15 suppl. M. Schmidt 16. 17 μηκέτι] + δὲ D

D ## Ὑπόθεσις Ἰσθμίων.

BD a. Ἐτελοῦντο μὲν οἱ παλαιοὶ πάντες ἀγῶνες ἐπί τισι τετελευτηκόσιν. ἐτελεῖτο γὰρ ὁ μὲν Ὀλυμπικὸς τῷ Διὶ διὰ τὸν Πέλοπα, ὁ δὲ Πυθικὸς τῷ Ἀπόλλωνι διὰ τὸν δράκοντα, ὃν ἀπέκτεινεν ἐν Πυθοῖ, ὁ δὲ Ἰσθμικὸς τῷ Ποσειδῶνι. ἔστι δὲ ἡ ἱστορία αὕτη. Ἰνοῦς καὶ Ἀθάμαντος παῖδες Λέαρχος καὶ Μελικέρτης· τὸν μὲν δὴ Λέαρχον μανεὶς ὁ Ἀθάμας ἀπέκτεινεν, εἶτα ἡ μήτηρ αὐτοῦ καθῆκεν αὐτὸν εἰς λέβητα ὕδατος ζεστοῦ, μανεῖσα δὲ καὶ αὐτὴ τὸ τελευταῖον ἥλατο μετὰ τοῦ Μελικέρτου εἰς θάλασσαν, καὶ ἐγένετο μὲν ἡ Ἰνὼ μία τῶν Νηρεΐδων, ἧς καὶ ὁ ποιητὴς μέμνηται (ε 433)· ἔστι δὲ αὕτη Λευκοθέα· ὁ δὲ Μελικέρτης μετεβλήθη εἰς δαίμονα· ἔστι δὲ οὗτος Παλαίμων. χορεύουσαι τοίνυν ποτὲ αἱ Νηρεΐδες ἐπεφάνησαν τῷ Σισύφῳ καὶ ἐκέλευσαν εἰς τιμὴν τοῦ Μελικέρτου ἄγειν τὰ Ἴσθμια.

b. ἄλλως. τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναί φασι τὸν Θησέα ἀνελόντα αὐτόν, ὅτε περ καὶ τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς (fr. 819) λέγων περὶ αὐτοῦ·

1—p 195, 4 cfr. Apollod. 3, 4, 3. Paus. 1, 44, 8. schol. Eur. Med. 1284. schol. Apoll. Rh. 3, 1240. — Tzetzes ad Lyc. 229. 16 Marm. Par. p. 9, 36 Jac. Plut. Thes. 25

---

5 post πυθοῖ suppl. ὁ δὲ νεμεακὸς κατά τινας τῷ ἡρακλεῖ ὑπ' αὐτοῦ ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει r; lac. stat. Abel, probante M. Schmidt. qui etiam post Ποσειδῶνι suppl. διὰ τὸν μελικέρτην 8 εἶτα — 9 ζεστοῦ vitii suspecta; testatur Tzetzes p. 104, 20 Sch. 9 ἥλατο a: ἥλλετο B ἥλλατο D τοῦ om. D 10 μὲν B: μὴ D 11 νηρεΐδων B: κρειδῶν D 13 νηρίδες D 16 σίννιδι D 17 [τῷ προκρούστῃ] s. ἢ τῷ προκρ. s. τῷ πιτυοκάμπτῃ cj. Abel 18 ὅτιπερ D 19 αὐτ(οῦ) B αὐτῶν D

ὃς παρακτίαν
στείχων ἀνημέρωσα κνωδάλων ὁδόν.

ὁ δὲ Σίνις Ποσειδῶνος παῖς, ὃς δένδρα κάμπτων, εἶτα συνδεσμῶν εἰς ταῦτα τοὺς παριόντας, ἀθρόως ἀφιεὶς τὰ δένδρα, οὕτω διέφθειρεν. οἱ δὲ ἐπὶ Μελικέρτῃ, ὅτε τῷ Ἰσθμῷ ἄταφος προσεπελάσθη, καὶ μεταξὺ λιμοῦ τὴν Κορινθίων πόλιν κατασχόντος, τοῦ θεοῦ εἰπόντος οὐκ ἄλλην ἔσεσθαι τῶν κακῶν λύσιν ἢ τὴν ἐκείνου κηδείαν καὶ τιμὴν δι' ἀγῶνος ἐπιταφίου· τοῦτο δὲ πρὸς ὀλίγον ποιησάντων τῶν Κορινθίων λιμὸς πάλιν ἐπέθετο, καὶ ἔχρησεν ὁ θεὸς αἰώνιον τὴν εἰς τὸν ἥρωα τιμὴν ὑπάρχειν, καὶ στέφανον σελίνου διὰ τὸ καταχθόνιον εἶναι τὸ φυτόν· ὕστερον μέντοι καὶ τῷ θεῷ προσένειμαν τὸν ἀγῶνα ἐναλλὰξ ἐπιτελοῦντες, καὶ πίτυϊ λοιπὸν ἐστεφάνουν διὰ τὴν πρὸς τὴν θάλασσαν ὁμοειδίαν τοῦ φυτοῦ καὶ διὰ τὸ ἄκαρπον αὐτὴν εἶναι, ὥσπερ τὴν θάλασσαν· διὸ καὶ ἀτρύγετος· εἶτα σημαίνοντες, ὡς οὐδὲν κέρδος τοῖς νικῶσιν ἀπὸ τοῦ στεφάνου πλὴν δόξης, ὅπερ καὶ ἐν Ὀλυμπίᾳ ἐποίησαν, κοτίνῳ στεφανοῦντες. πάντας δὲ εἰκότως τοὺς γενομένους ὑπερηφάνους καὶ γενναίους Ποσειδῶνος παῖδάς φασιν οἱ ποιηταί, εἰς τὸ τῆς θαλάσσης ἄγριον καὶ οὐ σταθερὸν ἀφορῶντες κἀκεῖθεν τὴν εἰκόνα τοῦ τοιούτου λαμβάνοντες· ὅπερ καὶ Ὅμηρος ὑποδηλῶν λέγει (*Π* 34)·

γλαυκὴ δέ σ' ἔτικτε θάλασσα
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.

---

3 Bacchyl. 18, 19. — Diod. 4, 59 Paus. 2, 1, 4 12 sch. Apoll. Rh. l. l. 18 sch. BΓ *Π* 34. Tzetzes ad Lyc. 157 (p. 74 S.)

---

2 ἀνημέρωσε cj. Nauck 3 σίννι D[1] σίννις D[3] πειδῶνος D 4 ἀθρόων D 9 τοῦτο D: ταῦτα B λοιμὸς D 12 ὕστερον B: ἕτερον ὕστερον D 13 λοιπὸν om. D 15. 16 εἶτα σημαίνοντες] ἔτι δὲ σημανοῦντες M. Schmidt 17 δόξας D 18 πάντας — 24 ἀπηνής post 5 διέφθειρεν trp. M. Schmidt, non sine causa 19 γενναίους suspectum; ἀπηνεῖς sch. Hom. 20 οὐ σταθερὸν D: σταθερὸν B 21 ὅπερ B: ὥσπερ D 23 γλαυκοὺς D

οἱ δὲ κομίσαντες τὸ σῶμα τοῦ Μελικέρτου ἀπὸ τῆς Σχοινουντίας. ἐκεῖ γὰρ ἐξερρίφη, Ἀμφίμαχος καὶ Δονακῖνος ἐκαλοῦντο.

c. ἄλλως. τὸν τῶν Ἰσθμιονικῶν ἀγῶνα τεθῆναί φασι δι' αἰτίαν τοιαύτην. Ἰνὼ ὑπὸ Ἀθάμαντος ἀναιρεθῆναι μέλλουσα, κατὰ μανίαν προανῃρημένου τοῦ υἱοῦ αὐτῆς Λεάρχου, καὶ αὐτὴ μανεῖσα, τὸν λοιπὸν παῖδα Μελικέρτην ἁρπάσασα διὰ Γερανείας τοῦ ὄρους τοῦ Μεγαρικοῦ φυγοῦσα καὶ στᾶσα ἐπὶ τῆς καλουμένης Μολουρίδος πέτρας ἥλατο σὺν τῷ βρέφει εἰς τὴν ὑποκειμένην θάλασσαν. αὐτοὺς μὲν οὖν λόγος ἔχει ἀποτεθεῶσθαι, καὶ τὴν μὲν μετωνομάσθαι ἀντὶ Ἰνοῦς Λευκοθέαν, τὸν δὲ ἀντὶ Μελικέρτου Παλαίμονα· τὸ δὲ τοῦ παιδὸς σῶμα ἐκκομισθὲν ὑπὸ δελφῖνος εἰς τὸν Ἰσθμὸν εὗρε Σίσυφος ὁ τότε τῆς Κορίνθου βασιλεύων καὶ ἔθαψε διὰ τὴν συγγένειαν· ἦν γὰρ Ἀθάμαντος παῖς. ἕτεροι δὲ Σίσυφός τε καὶ Ἀθάμας Αἰόλου παῖδες τοῦ Διός. ἐκάλεσαν δὲ τὸν ἀγῶνα Ἴσθμια ἀπὸ τοῦ διείργοντος τὰς δύο θαλάσσας Ἰσθμοῦ. στέφος δέ ἐστι τοῦ ἀγῶνος πίτυς· τὸ δὲ ἀνέκαθεν σέλινα καὶ αὐτοῦ ἦν ὁ στέφανος.

d. ἄλλως. τὰ Ἴσθμια ἄγεται τῷ Μελικέρτῃ. Ἀθάμαντος μανέντος διὰ χόλον τῆς Ἥρας καὶ σφάξαντος ἕνα τῶν παίδων τὸν Λέαρχον, μέλλοντος δὲ ἅμα εἰς ζέοντα λέβητα βαλεῖν καὶ τὸν Μελικέρτην, προλαβοῦσα ἡ Ἰνὼ κλέπτει· διωκομένη δὲ ἅλλεται εἰς θάλασσαν μετὰ τοῦ παιδός· Νηρεΐδες δὲ

---

1 et 12 Tzetzes ad Lyc. 107   5 id. ibid. 229   12 Paus. l. l.

---

1 μελλικέρτου D   τῆς B Tzetzes II: om. D Tzetzes I   σχοινουντίας D Tz.: σχοινοουντίας B   4 τὸν τῶν ἰσθμιονικῶν D: τὸ τὸν ἰσθμικὸν B   6 κλεάρχου B cum parte codd. Tzetzae (cfr. sch. D *H* 86, Eustath. ad ε 389, p. 1543, 20)   8 γερανείας B Tz.: τερανείας D   9 ἥλατο a: ἥλλατο D ἥλλετο B   10 λόγος B: ὁ λόγος D   15. 16 ὁ δὲ σίσυφος ἦν ἀδελφὸς ἀθάμαντος τοῦ παλαίμονος πατρός Tz.   16 παῖδες om. D   17 διείργοντος et ἰσθμοῦ D: διείργεσθαι et δι' ἰσθμοῦ B   20 τὰ — μελικέρτῃ om. B   ⟨ἐπὶ⟩ τῷ μ. a   22 μέλλοντα D   ζέοντα om. B (legit Tz.)   23 καὶ D Tz.: om. B   προλαβοῦσα r: προσλαβοῦσα D .... λαβοῦσα B

αὐτὴν ἔσωσαν, αἵ καὶ θεὸν αὐτὴν ἐποίησαν· φανεῖσα δὲ μία τῷ Σισύφῳ εἶπεν ἄγειν τὸν ἀγῶνα. ἐσιωπήθη δὲ πρὸς χρόνον διὰ τοὺς λῃστάς, Θησεὺς δὲ ἐλθὼν ἐκάθηρε τοὺς τόπους καὶ ἦγε δεύτερον.

Scholia in Isthmionicarum carmen I.

Τῆς πρώτης ᾠδῆς τῶν Ἰσθμίων ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑπτά. τὸ α' ἐγκωμιολογικόν. τὸ β' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ γ' ἰαμβέλεγος τὴν τελευταίαν συλλαβὴν μετατιθεὶς ἐπὶ τὴν ἄρχουσαν. γεγένηται δὲ καὶ παρὰ τὸ Σαπφικόν, συστεῖλαν τὴν παρατέλευτον, πλεονάσαν μιᾷ συλλαβῇ. τὸ δ' ὅμοιον τῷ β'. τὸ ε' προσοδιακόν. τὸ ϛ' Πινδαρικὸν ἐκ Σαπφικοῦ πλεονάσαν χοριάμβῳ καὶ συστεῖλαν τὴν παρατέλευτον. τὸ ζ' Εὐριπίδειον.

ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α' ἰαμβέλεγος, ἢ πεντάμετρον καταληκτικὸν δακτυλικόν. τὸ β' ἰαμβικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβαῖς. τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ' δακτυλικὸν τετράμετρον βουκολικόν. τὸ ε' δακτυλικὸν πενθημιμερές. τὸ ϛ' τροχαϊκὸν ἢ ἐπίτριτος. τὸ ζ'

---

2 *τῷ* om. D *εἶπε τὸν ἀγῶνα ἄγειν* D *δὲ* om. D 3 *δὲ* om. D 6 *ἡ μὲν στρ.* D 7 *κώλων ἐστὶν ἑπτά* D 9 *μετατιθεὶς* D: *μετατιθέμενον* r (de B n. l.). Cfr. ad N. VIII str. *β'* *γεγέννηται* D 10 *παρατέλευτον* B: *περὶ τελευτ(ὴν?)* D 11 *μίαν συλλαβήν* B *ὅμοιον* r: *ὁμοίως* B *ὁμοίως ἐστὶ* D *προσοδικόν* B 12 *ἐκ σαπφικοῦ* om. D 13 *τὴν* B: *τὸν* D post *παρατέλευτον* add. *ὅμοιον τῷ ἀμφιλειπεῖ λεγομένῳ, πλὴν ὅτι ὁ παρατέλευτος τρόχειος ἀντὶ ἰάμβου* mg. Brub. 14 *ἡ δὲ ἐπῳδὸς* D *κώλων ἐστὶν ια'* D 15. 16 *καταλ. δύο συλλαβαῖς* ad col. *α'* pertinere vidit Pauw 16 *τρίμετρον—17 δακτυλικὸν* (pr.) om. D 18 *πενθημιμερές*] *τρίμετρον* cj. Pauw *τροχαικὸν ἐπίτριτον* s. *τροχαικὸν ἢ ἐπίτριτος* ⟨*σὺν χοριάμβῳ*⟩ cj. Pauw; post *ἐπίτριτος* add. *ἢ καὶ ἐπιωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ μέντοι ε' καὶ τὸ ϛ' παρὰ τοῖς ἄλλοις οὕτω διῄρηται, ὥστε τὸ μὲν ε' εἶναι δακτυλικὸν τρίμετρον καταληκτικόν, τὸ δὲ ϛ' δίμετρον ἐπιχοριαμβικόν* mg. Brub. Et si ita distinguas, erit col. ϛ' *τροχαῖος ἐπίτριτος*

ἰαμβέλεγος. τὸ η′ ἰαμβικὸν πενθημιμερές. τὸ θ′ ὅμοιον τῷ (Archil. fr. 94,2) τίς σὰς παρήειρε φρένας. τὸ ι′ προσοδιακὸν ἐνδεκάσημον ἐνδέον συλλαβῇ τοῦ Ἀρχιλοχείου ἢ τοῦ (Archil. fr. 79) Ἐρασμονίδη Χαρίλαε. τὸ ια′ Στησιχόρειον.

Inscr. a. Γέγραφε τὴν ᾠδὴν Ἡροδότῳ τῷ Θηβαίῳ, τινὲς δὲ Ὀρχομενίῳ. βέλτιον δὲ Θηβαίῳ ἐπιγεγράφθαι· καὶ γὰρ ταῖς Θήβαις προσδιαλέγεται. καὶ ἑξῆς (10) δέ φησιν· ἐπεὶ στεφάνους ἓξ ὤπασε Κάδμου στρατῷ, τουτέστι τοῖς Θηβαίοις. καὶ πάλιν περὶ αὐτοῦ λέγων φησί (66)· τιμὰν ἐπταπύλοις Θήβαισι τεύχοντα. τὸ δὲ ἐξαπατῆσαν τοὺς γράφοντας Ὀρχομενίῳ ἐστὶ τὸ Ὀρχομενοῖο πατρῴαν ἄρουραν (35). πρὸς ὅ φησιν ὁ Δίδυμος, ὅτι εἰκός ἐστι τὸν πατέρα Ἡροδότου Ἀσωπόδωρον διά τινας πολιτικὰς στάσεις εἰς τὸν Ὀρχομενὸν μεταστάντα ὕστερόν τε εἰς Θήβας κατελθόντα ἐπίτιμον γενέσθαι. τοῦτο γοῦν καὶ τὸν Πίνδαρον αἰνιττόμενον φάναι (36)· ἅ νιν ἐρειδόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ. ναυαγίαν γὰρ εἶπε τὴν ἐκ τῆς πατρίδος εἰς τὸν Ὀρχομενὸν φυγήν. b. ἄλλως. οἱ Κεῖοι Δηλιακὸν παιᾶνα ἠξίουν τὸν ποιητὴν γράψαι. ἀρξαμένου οὖν γράφειν ἐκείνοις ἐπῆλθεν ἡ νίκη Ἡροδότου Θηβαίου πολίτου, εἰς ὃν προέκρινε μᾶλλον σκέψασθαι, ἀναβαλλόμενος τὸ τοῦ θεοῦ καὶ τῶν Κείων. διὸ καὶ τὴν εἰσβολὴν πεποίηται τοῦ ἐπινίκου ὁ Πίνδαρος, συγγνῶναι παρακαλῶν τὴν Δῆλον αὐτῷ προυργιαίτερον θεμένῳ τὴν πατρίδα τὰς Θήβας, διὰ τὸ Ἡροδότῳ βούλεσθαι τὸν ἐπίνικον συντάξαι Θηβαίῳ ὄντι. μέλλοντος γὰρ Κείοις γρά-

2 προσοδιακὸν D: προσοδικὸν . . . (3 litterae evan.) B προσοδικὸν ἅμα Monac. 4 col. ια′ non est στησιχόρειον 6 ἐπισυγγεγράφθαι θηβαίῳ D 8 τοῖς B: ταῖς D 10 θήβαις D τεύχονται D ἐξαπατῆσαι D ἐπιγράφοντας cj. Abel 11 ὀρχομενοῖ D πατρῴαν B: πρῷον D 12 ὁ om. B ἐστι om. D 12. 13 ἀγωπόδωρον D 16 ἐν om. D 18 δηλιακὴν D 19 ἀρχομένου B 20 πολίτης D 21 ἀναβαλλομένου B τοῦ B[1]D: τῆς B[2]r, unde τῆς δήλου (pro τῆς θεοῦ) cj. b 23 αὐτῷ — 24 θήβας B: προυργιαίτερον γὰρ αὐτῷ τὴν πατρίδα τὰς θήβας εἶναι D 25 ante μέλλοντος distinx. b, et inter 22 et 25 novum sch. incipere certum; ubi incipiat, n. l. μέλλοντι D

φειν προσοδιακὸν παιᾶνα καὶ ὑπογύου ὄντος τοῦ χρόνου, καθ' ὃν ἔδει συντετελέσθαι τὸ ποίημα τὸ Δηλιακὸν, ἔτι περὶ τὴν γραφὴν ἀσχολούμενος μεταξὺ Ἡροδότου Θηβαίου ὄντος καὶ νικήσαντος τὰ Ἴσθμια, ἐάσας ἀσυμπέραστον τὸ εἰς Δῆλον ποίημα συντάττει τῷ Ἡροδότῳ τὸν ἐπίνικον. τὰ δὲ Ἴσθμια διὰ τριετηρίδος ἄγεται.

1a. Μᾶτερ ἐμά: παρόσον καὶ ὁ Πίνδαρος Θηβαῖος. τοῦτο γὰρ τὸ πρὸς τὸν Ἡρόδοτον δίκαιον καθίστησι τὸν λόγον πρὸς τὴν Θήβην καὶ τῶν ἐν χερσὶν ἀφέμενον παρέθηξε καὶ τῆς τοῦ ἐπινίκου γραφῆς φροντίσαι. ἐν ταὐτῷ δὲ καὶ πρὸς τὴν πατρίδα καὶ πρὸς τὴν ἡρωΐδα, ἀφ' ἧς ἡ πόλις καλεῖται, τοὺς λόγους ποιεῖται· ἡ γὰρ χρύσασπις ἐπὶ τῆς ἡρωΐδος, ἣν Ἀσωποῦ καὶ Μετώπης τῆς Λάδωνός φασιν.

b. ὁ δὲ νοῦς· ὦ Θήβη ἐμὴ μῆτερ, τὸ σὸν πρᾶγμα κα πάσης ἀσχολίας κρεῖσσον προτίθημι καὶ κρίνω. μηδαμῶς μοι ἡ τραχεῖα καὶ πετρώδης Δῆλος νεμεσήσειεν, ἐφ' ᾗ νῦν πᾶς ἔγκειμαι. τί βέλτιον ἢ προσφιλέστερον τοῖς ἀγαθοῖς τῆς ἑαυτῶν πατρίδος; φησί. τὸ γὰρ κεδνῶν τοκέων ἀντὶ τοῦ τῆς πατρίδος. c. χρύσασπι: ἀντὶ τοῦ τιμία κατὰ τὰ ὅπλα· ἐκ δὲ τούτου, ὦ γενναίους ἔχουσα ἄνδρας.

3. κραναά: τραχεῖα καὶ πετρώδης ἡ νῆσος· ἔστι δὲ μία τῶν Κυκλάδων κατὰ τὸ Αἰγαῖον πέλαγος. ἐκ τούτου δῆλον, ὅτι εἰς Δῆλον ἔγραφε Κείοις, ὥστε καὶ ὑποβαίνων φησὶν (8) ἐν Κέῳ ἀμφιρύτῳ.

---

19 cfr. sch. P. I 1b

---

1 παιᾶνα B: ἀγῶνα ἢ παιᾶνα D 2 περὶ B: παρὰ D 5 τὸν B: τὴν D τὰ δὲ ἴσθμια D: τὰ ἴσθμια και? B τὰ ἴσθμια δὲ Monac., r. Cf. Bergk PLG I[4] p. 483 8 τὸ om. D 8 καθίστησι — 9 θήβην post l. μᾶτερ ἐμά trp. b Locus corruptus; 8 τοῦτο γὰρ — 10 φροντίσαι (om. καθίστησι — θήβην) ab h. l. aliena esse put. M. Schmidt 9. 10 παρέθηξέ<με> id. 10 καὶ del. b 13 φ[ασιν] Br: φησιν εἶναι D 14 καὶ om. B 16 νεμεσήσει D 17 τί γὰρ βέλτιον D προσφιλέστερον b: προσφιλέστατον BD 18 φασί D τοῦ om B 21 κραναάν D 23 κείους D ὥς γε? φασίν D 24 κείῳ D ἀμφιρρύτῳ B

4. *ἐν ἃ κέχυμαι:* τουτέστιν ἐφ' ᾗ νῦν τῇ Δήλῳ τὴν σπουδὴν εἶχον τῆς γραφῆς.

6a. *εἶξον, ὦ 'πολλωνιάς· ἀμφοτέρων τοι χαρίτων σὺν θεοῖς:* δύο χαρίτων· μιᾶς μέν, ὅτι αὐτῇ τὸ ἀσυμπέραστον γράφει ποίημα, δευτέρας δέ, ὅτι πεισθεῖσα ὑπεχώρησε τῷ νῦν τοῦ Ἡροδότου ἐγκωμίῳ. b. τὸ δὲ ἑξῆς· ὑποχώρησον, ὦ τῷ Ἀπόλλωνι τετιμημένη Δῆλε· ὅτι κατ' αὐτὴν ἐγένετο ὁ θεός· δύο γὰρ χαρίτων ἕνεκεν συμπραττόντων τῶν θεῶν παρασκευάσω σοι ὕμνον. c. ἔνιοι δὲ οὕτως· ἀμφοτέρων τῶν χαρίτων τὸ τέλος συζεύξω, καθ' ἥν τε σοὶ χαριστέον ἐστὶ καὶ καθ' ἣν τῇ πατρίδι. οἱονεὶ ἀμφότερα ποιήσω, καὶ τὸν Ἀπόλλωνα ἐν ᾧ δεῖ καιρῷ ὑμνήσω καὶ τὸν ἐπίνικον πληρώσω.

d. τὸ δὲ χορεύων ἀντὶ τοῦ μετὰ χοροῦ ὑμνῶν, ἐπεὶ οἱ χοροὶ ἀπαγγέλλουσι τὰ ποιήματα ἐν Δήλῳ εἰς τὸν Ἀπόλλωνα. πῶς οὖν τὸ Δηλιακὸν ποίημά φησιν ᾄδειν ἐν Κέῳ; μήποτε οὖν προαναλαμβάνοντες ἐν ταῖς πατρίσιν οἱ χορευταὶ ἐμελέτων τὰς ᾠδὰς καὶ οὕτως ἀπῄεσαν; e. ἀπὸ οὖν τοῦ παρακολουθοῦντος τοῖς ὕμνοις τοῦτό φησιν ἀντὶ τοῦ ὑμνῶν, ὅτι μετὰ χορείας ἐλέγοντο οἱ ὕμνοι.

9a. *ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις ἀνδράσιν:* σὺν τοῖς κατὰ τὴν Κέω φησί. ποντίους δὲ αὐτοὺς ἔφη ὡς νησιώτας.

b. τὸ δὲ ἑξῆς· καὶ τὸν ἄτμητον τὰς κόμας Ἀπόλλωνα ὑμνῶν ἐν τῇ Κέῳ τῇ ἑκατέρωθεν περιρρεομένῃ θαλάσσῃ σὺν τοῖς νησιώταις ἀνδράσι, καὶ τὴν προβεβλημένην καὶ ὑπὸ θαλάσσης περιοριζομένην τοῦ Ἰσθμοῦ ἐξοχήν. ἵν' ᾖ ὅλον· ὅτι ὑμνήσω καὶ τὴν Κέω καὶ σέ, ὦ Δῆλε, καὶ τὸν Ἰσθμόν. καὶ ὕστερον σοὶ πάλιν τὸν ἐπίνικον ἀποδώσω.

---

1 ἃ D: ᾗ B ἐφ' ᾗ B: ἐν ἃ D 3 ἀμφοτέρων r: ἀμφοτέροις D (B l. n.) 5 γράφειν B 7 τετιμημένη D: τιμωμένη καὶ τετιμημένη r (B l. n.) 8 ἕνεκα D 9 δὲ om. D 10 συνζεύξω B καθ' ὃν D 11 καθ' ὃν D 15 φασιν D ᾄδειν B: ἄγειν D κείῳ D 16 οἱ D: οὗ B 17 ἀπῄεσαν B: ἐποίεσαν D 20 κείῳ D ἀμφιρρύτῳ B 23 τῇ—θαλάσσῃ om. B 25 ἐξοχήν om. D ὅλον vix sanum; ὁ λόγος M Schmidt 26 κέω b: κῶ BD 27 καὶ ⟨γὰρ⟩ ὕστερόν σοι παλιν, τὸν ἐπίνικον ⟨πληρώσας, τὸν ὕμνον⟩ ἀποδώσω M. Schmidt ἐπίνικον] ὕμνον mal. b

11a. *στεφάνους ἕξ:* καταχρηστικώτερον ἀπὸ τῶν πλειόνων. b. ἄλλως. ἤτοι ἀριθμητικῶς ἓξ ἢ καταχρηστικώτερον ἐπὶ πολλῶν.

11c. *ἐπεὶ στεφάνους ἓξ ὤπασε Κάδμου στρατῷ:* διαπορεῖται τίς ἐνεχείρισε τῷ Κάδμου στρατῷ, τουτέστι ταῖς Θήβαις, τοὺς στεφάνους. ἔνιοι μὲν οὖν τὸν Ἰσθμὸν ἀκούουσιν, ὡς ἑξάκις νενικηκότων τῶν Θηβαίων τὰ Ἴσθμια· ἔνιοι δὲ αὐτὸν τὸν Ἡρόδοτον· τοῦτον γὰρ ἑξάκις Ἴσθμια νενικηκέναι Θηβαῖον ὄντα. τούτων δὲ οὐδέτερον ἐν ταῖς Ἰσθμιακαῖς ἀναγραφαῖς ὡμολόγηται· δι' ἣν αἰτίαν οἱ Ἀριστάρχειοι ψιλοῦντες καὶ ἐπὶ τοῦ νικηφόρου ἐκλαμβάνοντες τὸν λόγον, περισσὴν εἶναί φασι τὴν ἕξ πρόθεσιν ποιητικῇ συνηθείᾳ· τὸ γὰρ ὅλον εἶναι· ἐπεὶ ὤπασεν, ὅ ἐστι περιεποίησεν· ἄλλως τε οὐκ ἀναγκαῖον ἀριθμὸν κεῖσθαι· πολλῷ γὰρ μᾶλλον κυδαίνεσθαι τὸν νενικηκότα. Ἀριστόδημος δὲ ὁ Ἀλεξανδρεὺς δασύνων καὶ διαιρῶν τὸ μὲν ἓξ ἐπὶ τοῦ Ἡροδότου ἀκούει, τὸ δὲ ὤπασεν ἐπὶ τοῦ Ἀπόλλωνος· προστάτης γὰρ τῶν ἀγώνων ὁ θεός. ἓξ οὖν προνοίᾳ φησὶ τοῦ θεοῦ νενικηκέναι τὸν Ἡρόδοτον, οὐκ Ἰσθμικοὺς ἀγῶνας, ἀλλὰ συμμίκτους, οὓς καὶ αὐτὸν ἐπιλέγειν Πίνδαρον (55), ἐν μὲν Θήβαις Ἰόλεια ἢ Ἡράκλεια, ἐν δὲ Ὀρχομενῷ Μινύεια, ἐν δὲ Εὐβοίᾳ Βασίλεια, ἐν δὲ Θεσσαλίᾳ Πρωτεσίλεια, καὶ ἐν Ἰσθμῷ νῦν, καὶ ἄλλους δὲ περιχωρίους, οὓς διὰ μακρῶν παρῆλθεν ὁ Πίνδαρος.

20sq. cfr. 81d

---

1 ἀπὸ] ἐπὶ cj. Abel, probabiliter 4 ὤπασαν D 7 ἑξάκις b: ἓξ BD 10. 11 ψιλοῦντες καὶ ⟨συντιθέντες ἐξώπασεν⟩ b 11 ἐκλαμβάνοντες D: -ται B 12 φασι D: λέγοντες B 13 circa ἄλλως τε aliquid deesse susp. b 14 οὐκ D: οὐ κατ' B 17 ἀγώνων B: ὕμνων D 18 ἓξ οὖν D: ἐφ' οὐ (delet.) ἐξ οὗ B τοῦ θεοῦ in B evan. et incert. 20 ἰολάεια b 21 δὲ (pr.) om. B εὐβοίᾳ] λεβαδείᾳ Meursius gr. fer. II v. Βασίλεια p. 739c (cfr. Unger Theb. par. p. 350). Si λεβαδείᾳ scribas, δὲ et ante ὀρχομενῷ et ante λεβαδείᾳ omittendum 22 πρωτεσιλάεια b 22. 23 περιχώρους a 23 διὰ μακρ[ῶν] B: δὴ μακρῷ D

13. *ἐν ᾇ: ἐν ᾗ, τῇ Θήβῃ, καὶ καιριωτάτην ἑαυτῷ τῶν πατρίων εἰσβολὴν παρέσχετο.*

15a. *θρασεῖαι: συλληπτικὸς ὁ τρόπος· εἷς γὰρ ἦν ὁ Γηρυόνου κύων. Ἡσίοδος εἶπεν* (theog. 309)· *Ὄρθον μὲν πρῶτον.* b. *εἰς τὸ αὐτό. ἔθος τῷ Πινδάρῳ πρὸς τὸ ἑαυτοῦ συμφέρον καὶ τὰς ἱστορίας βιάζεσθαι· ἑνὸς γὰρ ὄντος τοῦ Γηρυόνου κυνός, ὥς γε καὶ Ἡσίοδος μαρτυρεῖ* (theog. 293)·

Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα,

αὐτὸς τῷ πληθυντικῷ καταχρησάμενος κύνες φησί. καὶ μήποτε ἀνάξιον Ἡρακλέους ἡγήσατο πρὸς ἆθλον καὶ κατόρθωμα τοῦ ἥρωος ἀντιπαρατάξαι τὸν κύνα;

17a. *ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων: ἀλλ' ἐγὼ τῷ Ἡροδότῳ κατασκευάζων τὸ μὲν ὕμνον, ὅτι τεθρίππῳ αὐτὸς ἀγωνισάμενος δι' ἑαυτοῦ ἐνίκησε· τὸ δέ, ὅτι καὶ ἱπποτρόφησεν, αὐτὸν βούλομαι ἐφαρμόσαι ἢ Κάστορος ἢ Ἰολάου ὕμνῳ.* b. *ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸν Ἡρόδοτον ἱπποτροφήσαντα καὶ δι' ἑαυτοῦ ἀγωνισάμενον καὶ νενικηκότα ὁμοίως Κάστορι καὶ Ἰολάῳ ἀνυμνήσαιμι. διὰ τούτων δὲ συνίστησιν, ὅτι αὐτὸς ἡνιόχησεν ὁ Ἡρόδοτος κατὰ τὸν ἀγῶνα.* c. *ὁ δὲ λόγος· ἐγὼ δὲ τὸ μέλος τῷ Ἡροδότῳ τεύχων τὸ μέν τι, καθόσον ἐνίκησε, τὸ δέ τι, καθὸ αὐτὸς ἡνιόχησε.*

17d. *τὸ μὲν ἅρματι τεθρίππῳ: ὅτι αὐτὸς ἱπποτρόφησε καὶ ἤλασεν.*

1–2 non intellego 1 *ἐν ᾗ* om. D *καὶ* om. B, ft. recte *τῷ πατρίῳ* D 2 *ἦν* om. D 3. 4 *ὁ γηρυόνου* B: *ὀγκρυόνου* D 4 *ἡσίοδος*] + *μὲν* D 5 dist. M. Schmidt *τ(ὸ) αὐτ(ὸ)* B: *αὐτὸ* D *ἔθος* D: *ἄκυς* B? r 6 *ἱστορίας* D: *ἱστορ(ίας?) τοῦ* B 8 *εὐρυτρι ωνα* B 9 *αὐτὸς* D: *ὥστε* B 10 *ἀφάξιον* B? 12 *τεύχων* om. D 13 *τὸ* BD: *τὸν* r *ὕμνον* B: *ὕμνῳ* D *ὕμνον τὸ μὲν* Wiskemann p. 23 *τὸν [μὲν] ὕμνον* Hartung 15 *αὐτὸν βούλομαι ἐφαρμόσαι (ἐναρμ.?)* B: *ὅτι καὶ οὕτως αὐτὸν ἐφαρμόσαι βούλομαι* D 18 *ἀνυμνήσαιμι* D: *ἁρμόσ[αιμι]* B r *ἁρμόσαιμι ὕμνῳ* Hartung *διὰ τούτων* — 19 *ἀγῶνα* ad sch. 19 rettulit M. Schmidt, recte 20 *μέν τι* B: *μέντοι* D *καθόσον*] + *αὐτὸς* D 21 *ἡνιόχησε* D: *ἱπποτρόφ(ησε)* Br 22 *ὅτι* — 23 *ἤλασεν* D: *ὡς ἱπποτροφήσαντα καὶ ἐλάσαντα* B 22 ⟨*ὁ*⟩ *αὐτός*?

19. *ἀνία τ᾽ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ᾽ ἐθέλω*: a ἐλλείπει διὰ τὸ νωμᾶσθαι.

21. *ἢ Καστορείῳ*: ἢ Κάστορος ἱππικοῦ ὄντος, ἢ Ἰολάου. Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος· ἀλλ᾽ εὑρήματα Πινδάρου ἐν Ὑπορχήμασιν (fr. 114), ὡς εὕρημα Κάστορος, ὡς αὐτὸς λέγει.

23. *κεῖνοι γάρ*: εἰ καὶ μὴ ἡ ἱστορία συγχωρεῖ, ἀλλ᾽ οὖν γε αὐτὸς σχηματίζει τὸν λόγον. ὅταν γὰρ λέγῃ, κεῖνοι γὰρ ἡρώων διφρηλάται, τὴν αἰτίαν αὐτὸς ἐπιφέρει· ἐπεὶ οὗτοι οἱ ἥρωες διέπρεψαν ἐπὶ ἱππικῇ αὐτοὶ ἡνιοχοῦντες. ἰδίως δὲ ὁ λόγος κατὰ τοῦ Ἰολάου εὑρεθήσεται τοῦ Ἡρακλέους ἡνιόχου, κατὰ δὲ τοῦ Κάστορος οὐκέτι· ἀλλὰ τὸ χωρὶς συμβεβηκὸς τῷ Κάστορι καὶ Ἰολάῳ κατ᾽ ἀμφοτέρων κοινῶς εἴρηκε· Λακεδαιμόνιος μὲν γὰρ ὁ Κάστωρ, Θηβαῖος δὲ ὁ Ἰόλαος. καλλίων δέ ἐστιν αὕτη ἡ ἐκδοχή, ἵνα ἐπαμφοτερίζοντα τὸν λόγον νοήσωμεν· ἐκεῖνοι γάρ, Κάστωρ τε καὶ Ἰόλαος, ὑπὲρ πάντας τοὺς ἥρωας ἄριστοι γεγόνασιν.

26a. *ἔν τ᾽ ἀέθλοισι θίγον πλείστων ἀγώνων*: κατὰ τὸ ἐναντίον ἀποδέδωκεν. οὐδεὶς γὰρ ἐν ἄθλοις ἀγώνων τυγχάνει, ἀλλ᾽ ἐν ἀγῶσι τῶν ἄθλων. ἀρχαιοπρεπὴς οὖν καὶ ποιητικώτατος ὁ λόγος, ὥς γε κἀκ τῶν Ὁμηρικῶν δῆλον (Δ 535)· ὁ δὲ χασσάμενος πελεμίχθη· ἔστι γὰρ πελεμιχθεὶς ἀνεχώρησεν.

---

20 Eust. ad Δ 535 (p. 505, 37)

---

2 non intellego 4 ἀλλ᾽ — 5 λέγει sensu cassa; ἅρματα δὲ αὐτοῦ εὕρημα κατὰ τὰ πινδάρου κτλ. b ἅρμα δὲ εὕρηκεν κατὰ πίνδαρον ἐν ὑπορχ., ὡς ⟨καὶ ζεῦγος⟩ εὕρημα κάστορος κτλ. Schroeder οὐ καὶ ἄλλα εὑρήματα ὡς κάστορος ὁ αὐτὸς λέγει (s. potius καταλέγει) πίνδαρος ἐν ὑπορχ. M. Schmidt ἀλλ᾽ ἅρματα τυνδαρίδας ἐν ὑπορχήμασιν κτλ.? (sed ὡς αὐτὸς λέγει parum apta) 6—16 mihi sensu cassa videntur. Ft. 11 pro ἀλλά scribend. ἄλλως, et 15 ab ἐκεῖνοι nov. schol. incipiendum 12 καὶ ἰολάῳ secl. Wilam. Berl. Sitzungsber. 1901 p. 1312 13 μὲν om D 15 τε om. D τοὺς om. B 16 ἄριστοι ⟨διφρηλάται⟩ b 17 l. D: ἔν τ᾽ ἀέθλοισιν B 18 ἀπέδωκεν B 19 ἀλλ᾽ b: ἢ BD οὖν om. B? (vix legitur) 20 ὥς γε scripsi: ὥστε BD κἀκ τῶν ὁμηρικῶν D: κατὰ τὸ ὁμηρικὸν B 21 χασάμενος B (et aliquot codd. Hom.) χασσεύμενος D πολεμίχθη D (et nonnulli codd. Hom.) πολεμιχθεὶς D

b. *ἄλλως. ἀντὶ τοῦ καὶ ἐν τοῖς ἀγῶσι πλείστων ἔψαυσαν ἄθλων, καὶ τοῖς τρίποσι καὶ λέβησι καὶ ταῖς χρυσαῖς φιάλαις, ἃ ἦν ἔπαθλα τῶν ἀγώνων, τὸν ἑαυτῶν ἐκόσμησαν οἶκον, τῶν τῆς νίκης στεφάνων μεταλαβόντες.*

30a. *λάμπει δὲ σαφὴς ἀρετά: ⟨ἀντὶ τοῦ⟩ σαφῶς ἐπιρρηματικῶς.* b. *τὸ δὲ ἑξῆς· λάμπει δὲ σαφῶς ἡ ἀρετὴ ἔν τε γυμνικοῖς σταδίοις καὶ ἐν τοῖς τῶν ὁπλιτῶν δρόμοις, ὡς πᾶν ἀγώνισμα τούτων ἀγωνισαμένων. ἐπισυλληπτικῷ δὲ κέχρηται τῷ σχήματι· ἐν γὰρ τῷ ἐπὶ Πελίᾳ ἀγῶνι ὁ Ἰόλαος τὸν ὁπλίτην νικᾷ, ὃ κοινὸν ἐπ' ἀμφοτέρων ἔθηκεν· ὁ δὲ Κάστωρ τὰ δευτερεῖα ἔλαβε δισκεύων καὶ ἀκοντίζων· καὶ τοῦτο κοινὸν ἔταξε.* c. *τὸ δὲ οἷα θαυμαστικῶς· ὁποῖοι γὰρ ἦσαν ἀκοντίζοντες τὰ δόρατα.*

33. *[καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν]: ἃς ἀποτομάδας καλοῦσι, παρόσον οἱ ἀρχαῖοι τοῖς νικῶσιν ἀκοντίῳ τοσοῦτον ἀπετέμνοντο τῆς γῆς ἔπαθλον, ὅσον ὁ νικηφόρος ἠδύνατο βαλεῖν.*

BD 35a. *οὐ γὰρ ἦν πένταθλον, ἀλλ' ἐφ' ἑκάστῳ: οὐκ ἦν, φησί, τότε ὁ πένταθλος ἀγὼν, τὸ ἐκ πέντε ἀγωνισμάτων συνεστηκὸς ἄθλημα, κατ' ἰδίαν δὲ ἑκάστῳ τέλος ὑφειστήκει. τέλος δὲ λέγει ἤτοι τὸ νικηφορῆσαι, ἢ τὸν ἐφ' ἑκάστῳ τιθέ-* D *μενον στέφανον.* b. *ἄλλως· ἀντὶ τοῦ νικήσας ἐνστεφανοῦνται ἀλλὰ καὶ καθ' ἓν ἠγωνίζοντο. πέντε δὲ ἀγωνίσματα, ἃ αὖθις*

---

22 cfr. sch. Ap. Rh. IV 1091 23 cfr. vol. I p. 10, 1—4

---

1 *καὶ* om. D 2 *καὶ λέβησι* a: *καὶ λάβησι* D om. B 3 *ἔπαθλον* D *οἶκον ἐκόσμησαν* D 5 suppl. Kayser lect. Pind. p. 89 6 *ἡ ⟨αὐτῶν⟩ ἀρετὴ* cj. Abel 7 *τῶν* om. D 8 *συλληπτικῷ* b 10 *ὃ* B: *ἣ* D 12 *ὁποῖα* B; unde pro *ἦσαν ἴεσαν* Schneider ap. b, *ἤνυσαν* M. Schmidt 14 l. huc perperam relatum esse vid b; pro l. *ἀκοντίζοντες αἰχμαῖς* posuit a, ad sensum recte *ἃς* BD: *ἃ* r 16. 17 *λαβεῖν ἠδύνατο* D 18 l. D: *οὐ—πένταθλον* B 19 *ἦν* B: *ἧς* D 20 *ὑφεστήκει* D 21 *ἤτοι* om. B 22 *ἀντὶ—23 ἠγωνίζοντο* corrupta Fuit fortasse: *ἀντὶ τοῦ νικήσαντες ἐστεφανοῦντο: — ἀλλὰ ἰδίᾳ καθ' ἓν ἠγωνίζοντο* (cfr. sch. Ap. Rh.) 23 *τὰ δὲ πέντε* a

εἰς πένταθλον συνεμίχθη, ἅλμα, δίσκος, ἀκόντιον, δρόμος, πάλη. c. ἢ οὕτως. τὸ ἑξῆς· οὔπω γὰρ ἦν ἐπὶ Κάστορος BD καὶ Ἰολάου τὸ πένταθλον, ἀλλὰ διαλελυμένως ἐφ᾽ ἑκάστῳ ἀγωνίσματι καὶ ὁ στέφανος ἦν.

36a. [ἔργματι κεῖτο τέλος]: καὶ Ὅμηρος (ϑ 190)· βόμβησεν δὲ λίθος, κατὰ δ᾽ ἔπτηξαν ποτὶ γαίῃ. b. τὸ δὲ κεῖτο τέλος, ἀντὶ τοῦ ἦν ἰδιάζων καὶ ὁ στέφανος.

36. τῶν ἀθρόοις ἀναδησάμενοι: ὥιτινων στεφάνων πλείστοις ἀναδησάμενοι βλαστήμασι τὰς κεφαλὰς ἔνδοξοι ὤφθησαν κατὰ τὰς Θήβας καὶ Λακεδαίμονα. πάλιν δὲ πρὸς τὸ αὐτὸ συγκέκρουκε τὸ ἑκατέρῳ συμβεβηκός, εἰπὼν αὐτοὺς φανῆναι νενικηκότας πέλας τῆς Δίρκης καὶ τοῦ Εὐρώτα· Ἰόλαος μὲν γὰρ παρὰ τῇ Δίρκῃ· ἔστι γὰρ Θηβῶν αὕτη· Κάστωρ δὲ παρὰ Εὐρώτᾳ· οὗτος γὰρ Λακεδαιμόνιος ποταμός.

38. ῥεέθροισί τε: πρὸς τὸ Εὐρώτα τὸ ῥεέθροις ἀκουστέον. ἔδει δὲ ἕκαστον οἰκείως ἐπὶ τῶν ἰδίων χωρίων ἀκοῦσαι.

40. Ἰφικλέος μὲν παῖς: τὸ ἑξῆς· ὁ μὲν τοῦ Ἰφικλέος παῖς Ἰόλαος πολίτης ὢν Θηβαίοις, ὁ δὲ τοῦ Τυνδάρεω Κάστωρ ἐν τοῖς Ἕλλησι τὴν ἐπίδοξον καὶ ὑψηλοτάτην οἰκῶν Λακεδαίμονα, καὶ ἀπὸ κοινοῦ τὸ ἐπίδοξοι ὤφθησαν.

41. Σπαρτῶν γένει: οἱ γὰρ ὑπὸ Σπαρτῶν ὑπολειφθέν-

---

5 cfr sch. O. X 86a. Ammon. p. 40 Valck. 21 schol. Eur. Phoen. 670. 942. schol. Ap. Rh. 3, 1179. 1186. Apollod. 3, 4, 1. Pausan. 9, 5, 3. Myth. Vat. I 149. II 77

---

1 πένταθλον a: πέντε D de B cfr. ad 3 2 ἢ—ἑξῆς D: ἄλλως B 3 πένταθλον] + ὅπερ ἦν ἅλμα, δίσκος, ἀκόντιον, δρόμος, πάλη B 5 l. huc perperam relatum esse, schol. ad 33 λιθίνοις δίσκοις pertinere vid. Valckenaer animadv. ad Ammon. p. 61 ἔρματι D 8 l. D: τῶν ἀθρόοις B στεφάνων Hartung: στεφάνοις BD βλαστήμασι καὶ στεφάνοις b, om. q. s. βλαστήμασι 11 τὸ αὐτὸ D: αὐτὸ B ἄμφω s ἀμφοτέρους b 13 γὰρ (pr.) om. D γὰρ (alt.) D: δὲ B αὕτη θηβῶν B 15 ῥεέθρεσι D τὸν εὐρώτ(αν) B 17 παῖς μέν D 18 θηβαῖος D τυνδάρεως D 19 οἰκῶν B: ὁρῶν D 20 ἐπίδοξον D 21 ὑπὸ ⟨τῶν⟩ σπαρτῶν cj. Abel; τῶν σπ., del. ὑπό, M. Schmidt

τες οἰκισταὶ τῶν Θηβαίων γεγόνασιν, Ὑπερήνωρ, Χθόνιος, Πέλωρος, Οὐδαῖος, Ἐχίων.

43a. ὑψίπεδον Θεράπνας οἰκέων ἕδος: Θεράπνης, τῆς Λακεδαίμονος· Θεράπνη γὰρ κώμη αὐτόθι. τὸ δὲ ὑψίπεδον ἕδος δοκεῖ ἐναντίως εἰρῆσθαι τῷ Ὁμηρικῷ. φησὶ γὰρ (δ 1)·

οἳ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν.

ἀλλ' ἀπολυσόμεθα οὕτως· ὑψίπεδος ἡ Λακεδαίμων καθ' ἑαυτήν, κοίλη δὲ ὡς πρὸς τὰς πλησίον πόλεις· ἢ ὑψίπεδον αὐτήν φησι διὰ τὰς τῶν οἰκούντων ἀρετάς τε καὶ εὐδοξίας. b. ἄλλως. τουτέστι Σπαρτιάτης ὤν· ἡ γὰρ Θεράπνη τῆς Σπάρτης. Ἀχαιοὺς δὲ εἴρηκε τοὺς Σπαρτιάτας, ἐπειδὴ πρότερον οἱ Ἀχαιοὶ τὴν Σπάρτην ᾤκουν, αὖθις δὲ τῶν Ἡρακλειδῶν μετὰ Δωριέων ἀφικομένων Δωριεῖς προσωνομάσθησαν. c. ἰστέον ὅτι τῆς Λακωνικῆς ἐν Θεράπναις τὸ ἱερόν ἐστι τῶν Διοσκούρων.

44a. χαίρετ'· ἐγὼ δέ: ὁ λόγος παρὰ τοῦ Πινδάρου πρὸς τοὺς ἥρωας. b. τὸ δὲ ἑξῆς· ἱλήκοιτε, ὦ ἥρωες, ἐγὼ δὲ τῷ Ποσειδῶνι καὶ τῇ Ἰσθμῷ τῇ θείᾳ καὶ τῷ Ὀγχηστῷ τὸν ὕμνον ἐπιμελῶς παρέχων ἐν ταῖς τιμαῖς καὶ τοῖς κατορθώμασι τοῦ νικηφόρου ὑμνήσω τοῦ πατρὸς αὐτοῦ Ἀσωποδώρου τὴν εὐδαιμονίαν. Ὀγχηστὸς δὲ τῆς Βοιωτίας χωρίον πάραλον ἀνιερωμένον Ποσειδῶνι, ὡς καὶ Ὅμηρος μαρτυρεῖ (Β 506)·

Ὀγχηστόν θ' ἱερὸν, Ποσειδήϊον ἀγλαὸν ἄλσος.

c. ἀϊόνεσσι δὲ εἶπεν, ἐπειδὴ παράκειται τῇ Ὀγχηστῷ πόλει τῆς Βοιωτίας ἡ Κωπαῒς λίμνη.

---

4 sch. Isocr. 10, 63 14 Paus. III 20, 2. Steph. Byz. Θεράπναι 21 sch. Ap. Rh. III 1242. sch. J. III 33a 24 Strab. IX p. 412

---

1 θηβῶν scribend.? 2 πέλωρος] sic etiam Paus., sch. Ap. 1186, Myth. Vat.; πέλωρ sch. Ap. 1179, Eur. 670; utrumque codd. Apollod., Eur. 942 ἐχίων mg. Brub.: ἐχίος B ἔχιος D 4 θεράπν(η) D θεράπνα B 7 κοίλως D κητώεσαν D 9 ὡς B: ἡ D 11 τουτέστι om. D 16 l. B: ἐγὼ δὲ ποσειδάωνι D παρὰ B: περὶ D 18 τῷ Dr: τῇ B Monac. 492 23 ποσιδήιον plerique codd. Homeri ἄλγος D 24 ἀνιόνεσσι D τῇ Dr: τῷ Monac. (B l. n.)

47. *περιστέλλων ἀοιδάν*: θεραπεύων τὸν ὕμνον, τουτέστιν ἐπιμελείας καὶ σπουδῆς ἀξιῶν. B

51a. *Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν*: προείρηται (sch. inscr.), ὅτι αὐτὸς μὲν Θηβαῖος, ὁ δὲ πατὴρ Ὀρχομένιος. BD b. ἢ οἱ μὲν τοῦ πατρὸς γονεῖς Ὀρχομένιοι, ὁ δὲ πατὴρ Θηβαῖος διὰ τὸ ἐκεῖ γεννηθῆναι. c. ἢ Ὀρχομένιος διὰ τὸ οἷον ὑπὸ μητρὸς δεχθῆναι ἐκπεσόντα· ἡ γὰρ μήτηρ Ὀρχομενία, ὁ δὲ πατὴρ Θηβαῖος. d. Τζέτζου. B

ἄνθρωπε σίγα, μὴ μάτην λαβροστόμει·
Θηβῶν μέν ἐστιν Ὀρχομενὸς ἡ πόλις,
ἐγκωμίου τρόπῳ δὲ Θηβαῖον γράφει.

52a. *ἅ νιν ἐρειδόμενον*: φυγαδευθεὶς γὰρ ὁ Ἀσωπόδωρος Θήβηθεν ἐν Ὀρχομενῷ ἐπολιτογραφήθη. b. ἄλλως. ναυαγήσας ὁ Ἀσωπόδωρος ἐν Ὀρχομενῷ ἐξερρίφη.

52b. *ἅ νιν ἐρειδόμενον ναυαγίαις*: ἥτις ἡ Ὀρχομενὸς αὐτόν, ἐπὶ ταύτης γὰρ ὁ λόγος, βαρυνόμενον ἐπὶ τῆς ναυαγίας ἐδέξατο· ἀλληγορεῖ δὲ τὴν ἔκπτωσιν θαλάσσῃ καὶ χειμῶνι παραβάλλων. ἀμφίβολον δέ, φησίν, ἐστὶν, ὁ Δίδυμος, πότερον τὸν Ἡρόδοτον ἢ τὸν Ἀσωπόδωρον λέγει· δύναται γὰρ ἐπ' ἀμφοτέρων ἀκούεσθαι.

54a. *συντυχίᾳ*: καὶ Αἰσχύλος (Prom. 1015) τὴν δυστυχίαν χειμῶνα καὶ τρικυμίαν λέγει. b. τῇ φυγῇ· κοινὸν γὰρ ἡ συντυχία.

56. *ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει*: ὁ Χρύσιππος ἐμφαίνειν φησὶν, ὡς καὶ πρότερον μὲν συνετῶς

---

4 αὐτὸς **D**: ὁ τοιοῦτος **Br** ὁ ἡρόδοτος b θηβαῖος—5 ὁ δὲ πατὴρ om. **D** 6 ἢ scripsi: καὶ **BD** ⟨ἢ⟩ καὶ b ὀρχομένιος **B**: -ον an -οι **D** incertum 7 ἡ γὰρ—8 θηβαῖος suspecta 9 sch. 51d induxit **B** (vix m. 1) 12 γὰρ om. **D** 13 ἐν ὀρχομενῷ—14 ἀσωπόδωρος om. **D** 14 ἐξερρίφη] + καὶ τὴν πατρώαν ἄρουραν **D** 15 ναυαγίαις om. **B** 16 ταύτης **D**: ταύτ(ης) **B** ᵖ ταύτῃ r βαρυνόμενον] φερόμενον Er. Schmid ἐπὶ] ἀπὸ Valckenaer ad Ammon. p. 159 ὑπὸ Oxon. Expectes ἐπὶ τῇ ναυαγίᾳ 17 ἀλληγορεῖται **B** 18 φησιν ἔστιν ὁ δ. **BD**: φησιν ὁ δ., ἐστι h ἐστιν φησὶν ὁ δ. b 21 αἰσχύλος v. d. in Mus. Cantabr. I p. 428: ἀλκαῖος **BD** 24 l. **D**: ὁ πον. δὲ νόῳ **B** 25 ἐκφαίνειν **D**

ἐγχωρήσαντα, ὡς μὴ κινδυνεύσῃ, καὶ μετὰ τὴν κάθοδον δὲ ἠσφαλισμένον τὰ καθ' ἑαυτόν· τοῦτο οὖν φησιν· ὁ παθὼν τῷ νῷ προμαθὴς γίνεται. Ἀλκμάν (fr. 63)· πεῖρά τοι μαθή ιος ἀρχά. καὶ Ὅμηρος (Hes. op. 218; cfr. P 32. Υ 198)· παθὼν δέ τε νήπιος ἔγνω.

58a. εἰ δ' ἀρεταί: ὅτι ἀρεταὶ κατάκειται εἴρηκεν ἐπιζεύξας πληθυντικῷ ἑνικὸν ῥῆμα τὸ κατάκειται. καὶ ὅτι ὀργὰν τὸ ἦθος λέγει.

58b. εἰ δ' ἀρετὰ κατάκειται: Ἀρίσταρχος σὺν τῷ ι γράφει καὶ περισπᾷ, καὶ Ἀττικὴν δέχεται τὴν σύνταξιν, ἵν' ᾖ ὁ λόγος· εἰ τῇ ἀρετῇ κατάκειται πάντα τρόπον, ἔν τε τῷ πονεῖν αὐτὸν τῷ ἰδίῳ σώματι καὶ τῷ δαπανᾶν, τῷ μὲν δαπανᾶν καθόσον ἱπποτρόφησε, τῷ δὲ πονεῖν καθόσον ἡνιόχει· χρὴ τοῖς εὑροῦσι τὴν τοιαύτην ἀρετὴν τὸν ἀγήνορα κόμπον μὴ φθονεραῖσι γνώμαις φέρειν, τουτέστι τὸ σεμνὸν αὐτῶν καύχημα μὴ φθονερῶς φέρειν, ἀλλ' ἐπαινεῖν. c. ἔνιοι δὲ οὕτως· εἰ οὖν ἐν ἀρετῇ κεῖται καὶ δαπανῶν καὶ πονῶν, δεῖ τοῖς εὑροῦσι τὴν τοιαύτην ἀρετὴν μὴ φθονεῖν μηδὲ βασκάνους ἐπιφέρειν λόγους. d. ἔστι δὲ ἄκυρον τὸ μίν.

BD 60. χρή μιν εὑρόντεσσι: καὶ ταῦτα περὶ Ἡροδότου τοῦ λόγου ὄντος, καὶ ἐπαναλαμβάνοντος τοῦ Πινδάρου τὴν ἀρετὴν τοῦ Ἡροδότου. ἔνιοι δὲ πληθυντικῶς ἀναγινώσκουσιν, εἰ δὲ ἀρεταὶ κατάκειται, κατὰ τὴν Πινδάρου συνήθειαν, ἵν' ᾖ· εἰ D αἱ ἀρεταὶ | κατάκεινται κατὰ πάντα τρόπον ἐν δυσὶ τούτοις,

11 Hes Suid. ὀργή. Suid. εὐοργήτως. sch Thuc. I 122. 140; al. 19 cfr. Apollon. de pron. p. 108 A 24 cfr. ad 11

1 ἐγχωρήσαντα ὡς B: ἐγχωρήσαντος D μετὰ] κατὰ h δὲ om. B 2 ἠσφαλισμένου D 3. 4 μαθήσι' ἀρχά D 5 τε om. D 6 ἀρετᾷ (pr.) BD ἀρεταὶ B: ἀρετᾷ D 7 ὀργὰν B: ὄργανον D 9 ἀρετὰ B: ἀρετᾷ D τῷ om. D 11 πάντα b: κατὰ BD κατὰ πάντα a 13 τῷ D: τὸ B 14 κόμπον a, Horn: κόσμον BD 17 δαπανᾶν καὶ πονεῖν Wiskemann p 24 18 τὴν τοιαύτ. τοῖς εὑρ. B 19 sch. 58d ad lect. ἀρεταί pertinet ἔσται B τὸ om. D 20 εὑρόντεσι D 24 κατάκεινται — p. 207, 2 ἀρετὰ om. B

πόνῳ καὶ δαπάνῃ, χρὴ αὐτόν, τὸν Ἡρόδοτον, ἐπαινεῖν καὶ μὴ φθονεῖν· ἢ χωρὶς τοῦ ἰῶτα· εἰ ἀρετὰ | κατάκειται· ὃ καὶ BD μᾶλλον. βέλτιον δέ φησιν ὁ Δίδυμος τὸ | εὐρόντεσσιν ἀγάνορα D κόμπον ἐπὶ τῶν ἐπαινούντων τοὺς νενικηκότας ἀκούειν, ἵν' ᾖ· προσήκει τοῖς | εὐρόντεσσι τὸν ἀγάνορα κόμπον, τουτέστι τὸν BD ὕμνον εἰς τοὺς δαπάνῃ καὶ ἔργῳ κεκτημένους τὴν ἀρετὴν μὴ φθονεῖν· ὥστε καὶ τὸν Πίνδαρον μὴ δεῖν φθονεῖσθαι διὰ τοὺς εἰς τὸν Ἡρόδοτον ἐπαίνους. λέγοι δ' ἂν ἀγάνορα κόμπον τὸν ἐκ τῶν ἀγαθῶν ἔπαινον τὸν ἐκ τῶν ποιημάτων· τοῦτο δὲ σαφὲς ἐκ τοῦ ἐπιφερομένου (61 a.)· ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ· σοφὸν δ' ἂν εἴη λέγων καὶ τὸν τοὺς ἀγαθοὺς ἐπαινοῦντα.

61 b. τῷ γὰρ σοφῷ κούφη ἐστὶ δόσις, φησίν, ἀντὶ παντοίων μόχθων ἐπαινέσαντα τὸ κοινῇ νομιζόμενον καλὸν ἀνορθῶσαι.

61 c. κούφα δόσις ἀνδρὶ σοφῷ: ἐπεὶ τῷ σοφῷ ἀνδρὶ ῥᾳδία, φησί, καὶ ἀνεπαχθής ἐστιν ἡ τῶν λόγων δόσις. κοινὸν δὲ καλὸν τὸν ἔπαινόν φησιν· ἐπιδιατείνει γὰρ εἰς τοὺς ἐκτός. κόσμος γάρ ἐστι καὶ τῶν ἄλλων πολιτῶν τὸ περὶ ἕνα γινόμενον ἐγκώμιον.

67. μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε: τῷ τὰ μῆλα νέμοντι, τῷ ποιμένι, καὶ τῷ τὴν γῆν ἀροῦντι, καὶ τῷ τὰς ὄρνις θηρεύοντι, καὶ ὃν πόντος τρέφει· Χρύσιππος τὸν ἔμπορον, Δίδυμος δὲ τὸν ἁλιέα φησί.

69 a. γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμόν: πᾶς γὰρ τὸν λιμὸν ἀποθεραπεύων, φησίν, ἐπίκειται τοῖς ἔργοις καὶ κάμνει.

b. αἰανῇ δὲ οἱ μὲν τὴν χαλεπὴν παρὰ τὸ αἶ αἴ, οἱ δὲ τὸν διηνεκῆ λιμὸν παρὰ τὸ αἰέν. c. τὸ δὲ τέταται ἀντὶ τοῦ σπεύδει.

---

26 EM 32, 26. Suid. αἰανὴς κύκλος. — Hes. αἰανόν. EM 28, 6. sch. Aesch. Eum. 416. Pers. 640. Soph. Aj. 672. El. 505. — sch. Aesch. Eum. 575. 675

---

2 ἀρετῇ D 3 μᾶλλον D: βέλτιον, ὃ καὶ μᾶλλον B εὐρόντεσσιν — 5 τοῖς om. B εὐρόντεσιν D (corr. a) 5 εὐρόντεσι D 6 δαπάνους D 11 καὶ secl. M. Schmidt 20 l. B: μὴ λοβότ' ἀρότα D 21 τῷ ποιμένι delend. cj. Abel 23 δὲ om. D 24. 25 τὸν λιμὸν om. D 26 αἰανὴν D τὸν B: τὴν D

71. *ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται*: ὅστις δὲ ἂν τῶν ἀνθρώπων ἐν ἀγῶνι καὶ πολέμοις ἀνέληται δόξαν ἀνθηράν, ἐγκωμιασθεὶς μισθὸν ὑψηλὸν καὶ ἐπίδοξον δέχεται παρὰ τῶν πολιτῶν καὶ τῶν ξένων τῆς γλώσσης τὴν εὐφημίαν. γλώσσης γὰρ ἄωτόν φησι τὸ ἐγκώμιον.

76a. *ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱόν*: Χρύσιππος, παρείληφε, φησί, τὸν Ποσειδῶνα διὰ τὴν γειτνίασιν τοῦ Ὀγχηστοῦ, καθὼς συμβέβηκεν ἱπποδρομίου Ποσειδῶνος ἱερὸν ἐν Θήβαις εἶναι. b. ὁ δὲ νοῦς· ἡμῖν δὲ προσήκει ἀμειβομένοις τὸν ἱππικώτατον Κρόνου παῖδα Ποσειδῶνα εὐεργέτην ὄντα τῶν ἁρμάτων ἀνυμνῆσαι, ἀντιδιδόντας τῷ θεῷ τὸν ὕμνον ἀντὶ τῶν εἰς τὸν νικηφόρον εὐεργεσιῶν. ἐντεῦθεν δὲ λεληθότως καταλέγει τὰς ἐξ αὐτοῦ νίκας.

77. *γείτον' ἀμειβομένοις*: γείτονα, τῶν Θηβαίων, ὡς πρὸς τὸν Ὀγχηστόν· καὶ γὰρ αὕτη τῆς Βοιωτίας.

79a. *καὶ σέθεν, Ἀμφιτρύων, παῖδας προσειπεῖν*: ἔοικεν ἀπὸ κοινοῦ. καταχρηστικῶς δὲ καὶ κατὰ σύλληψιν Ἀμφιτρύωνος ἔφη παῖδας τόν τε Ἡρακλέα καὶ τὸν Ἰόλαον, ὃς ἦν Ἰφικλέους τοῦ Ἀμφιτρύωνος υἱός. b. Ἰολάεια δὲ ἐν Θήβαις ἀγὼν καὶ Ἡράκλεια· οἱ δὲ ἕνα καὶ τὸν αὐτόν φασιν εἶναι.

c. Μινύα δὲ μυχὸν τὸν Ὀρχομενὸν εἶπεν· οὗτος γὰρ λέγεται καὶ Ὀρχομενὸς Μινύειος· ταύτην γὰρ ἐνῴκησεν ὁ Μινύας. τοῦτον δὲ τὸν Μινύαν οἱ μὲν Ὀρχομενοῦ γενεαλογοῦσιν, ὡς Φερεκύδης (FHG I 92 M., I 102 J.), ἔνιοι δὲ ἔμπαλιν τὸν Ὀρχομενὸν Μινύου, ἔνιοι δὲ ἀμφοτέρους Ἐτεοκλέους γενεαλογοῦσι, Διονύσιος δὲ τὸν Μινύαν Ἄρεος ἀναγράφει, Ἀριστόδημος δὲ

8 sch. Aesch. Sept. 123. 19 cfr. sch. O. VII 153. IX 148

1 l. D: ὃς δ' ἀμφ' ἀέθλοις B ἄρη D ὅστις B: ὅς D 2 ἐν om. D 8 καθὸ D 9. 10 ἀμειβομένοις B: καὶ ἀμοιβόμενος D 14 ἀμειβόμενος D τῶν θηβαίων D: τὸν θηβαῖον B 16 l. D: καὶ σέθεν B 17 ἔοικεν — δὲ καὶ om B 19 ἀμφιτρύωνος τοῦ ἰφικλ. D 20 οἱ δὲ — εἶναι om. B 21 μινύει D εἶπεν B: εἴρηκε D οὗτος γὰρ B: οὕτω γοῦν D 22 ἐνῴκισεν D

᾿Αλεοῦ τὸν Μινύαν, καὶ τοὺς ᾿Αργοναύτας δὲ Μινύας ἐντεῦθεν γράφει προσηγορεῦσθαι.

81a. *καὶ τὸ Δάματρος*: ὅτι ἐν ᾿Ελευσῖνι Δήμητρός ἐστιν ἀγὼν καὶ στέφανος ἦν κριθαί.

81b. *καὶ τὸ Δάματρος κλυτὸν ἄλσος*: ἀπὸ κοινοῦ κατὰ πάντων τῶν ἀγώνων τὸ προσειπεῖν ἀκουστέον, ἵνα ἔχῃ οὕτω· προσήκει προσειπεῖν καὶ τῆς Δήμητρος τὸ ἱερὸν ἄλσος τὴν ᾿Ελευσῖνα καὶ τὴν Εὔβοιαν, καθ᾽ ἣν ὁ νικηφόρος ἐνίκησεν.

c. ἄλλως. ἐν τοῖς δρόμοις τούτου καὶ ἀγωνίσμασι προσῆκον ἡμῖν ἐστιν ἀνυμνῆσαι ᾿Ελευσῖνα καὶ Εὔβοιαν. τὸ δὲ γναμπτοῖς δρόμοις πρὸς πάντα ληπτέον τὰ λεγόμενα· καὶ γὰρ τὸν Ποσειδῶνα, φησί, καὶ τοὺς ἄλλους Εὔβοιάν τε καὶ ᾿Ελευσῖνα διὰ τοὺς δρόμους καὶ τοὺς ἐν αὐταῖς ἀγῶνας, καθ᾽ οὓς ἐνίκησεν ὁ ἐγκωμιαζόμενος, | ὑμνεῖν προσήκει. d. Χρύσιππος· ἐν Εὐβοίᾳ ἄγεται τῷ ῞Αιδῃ τὰ Βασίλεια. D

83. *Πρωτεσίλα, τὸ τεὸν δ᾽ ἀνδρῶν ᾿Αχαιῶν*: τὸ ἑξῆς· καὶ τὸ σὸν δὲ τέμενος, ὦ Πρωτεσίλαε, τὸ ἐν Φυλάκῃ συγκαταριθμοῦμαι ταῖς τοῦ ῾Ηροδότου νίκαις. ἔστι δὲ Πρωτεσιλάου τέμενος ἐν Φυλάκῃ δὲ τῇ Θεσσαλικῇ εἴρηται. τέμενος δὲ λέγεται οὐ μόνον τὸ ἱερὸν καὶ ὁ ναός, ἀλλὰ καὶ ἡ ἀφωρισμένη χώρα. ῞Ομηρος (Z 194)· καὶ μὲν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον αὐτῷ. τελεῖται δὲ τῷ Πρωτεσιλάῳ κατὰ τὴν Φυλάκην ἐπιτάφιος ἀγών, καθ᾽ ὃν ὁ νικηφόρος ἐνίκησεν.

85a. *πάντα δ᾽ ἐξειπεῖν ὅσ᾽ ἀγώνιος ῾Ερμᾶς*: πάντα γὰρ διεξελθεῖν, φησίν, ὅσα ὁ τῶν ἀγώνων προστάτης ῾Ερμῆς

14 cfr. sch. 11c 19 Eustath. Z 194 al. EM 751, 41. Suid. Phot. τεμένη

3 ἐν λευσῖνι D 4 ἀγὼν B: ὁ ἀγὼν D ἦν suspectum
5 κοινῆς D 6 κατὰ D: γὰρ B ἀγώνων] + πρὸς τοῦ B, sed delet. ἔχοι B 7 προσήκει] + καὶ D 9 τούτ(ου) B[cp], unde τούτοις r 10 ὑμῖν D 12 φασὶ D 16 προτεσίλα D
17 τὸ σὸν B: σὸν D φυλίκῃ D 19 δὲ — εἴρηται om. B; ἐν φυλάκῃ iter. a, qui praeterea εἴρηκε mallet; lac. post τέμενος stat. Schr. 22 αὐτῷ] ἄλλων codd. Hom.; om. a τελεῖται om. B 24 l. D: πάντα δ᾽ ἐξειπεῖν B

τῷ Ἡροδότῳ ἐχαρίσατο στέμματα ἵπποις ἀγωνιζομένῳ, βραχὺς ὢν ὁ λόγος ἐξασθενεῖ εἰπεῖν. b. ἄλλως. ἤτοι ὅτι πρὸς τὸν διδόμενον μισθὸν καὶ τὰς ᾠδὰς ἐξέτεινεν, ἵν' ᾖ οὕτω· πάντα αὐτοῦ τὰ ἀγωνίσματα εἰπεῖν βραχὺν μισθὸν ἔχων ὁ ὕμνος οὐ συγχωρεῖ μοι· ἢ ὅτι ἡ συμμετρία τῶν εἰρημένων λόγων ἀφαιρεῖται τὴν ἔκτασιν καὶ τὸ μῆκος. Ἀριστόδημος δὲ καὶ τοῦτο λαμβάνων πρὸς τὸ μόνων τῶν ἐπισήμων αὐτὸν μνημονεύειν, τοὺς δὲ λοιποὺς παρωδευκέναι, βραχύ φησι μέτρον εἰρηκέναι τοῦ ὕμνου διὰ τὸ τὰς ἐκδόσεις τῶν ἐπινίκων πρὸς ἀριθμὸν ἐπῶν καὶ τριάδων ἔχειν τοὺς μισθούς· παρὸ καὶ ἑαυτοῦ ἐπιλαμβάνεται.

88a. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον: διὰ τούτων ἔνιοί φασιν ὑπαινίττεσθαι τὸ περὶ τὴν Νεμέαν αὐτῷ συμβεβηκὸς ἐλάττωμα, ὡς νικηθέντος αὐτοῦ τὸν ἀγῶνα· περὶ γὰρ τῶν ἄλλων εὐχόμενος αὐτῷ νίκην ἀγώνων περὶ τούτου ἡσύχασε· παρὸ σεσιγηκέναι τὴν ἧτταν. ἡσυχασθεῖσι γὰρ ἐνίοτε τοῖς φαύλοις ὑπεῖναι μείζονα χάριν ἤπερ λεχθεῖσιν. ἔνιοι δὲ λέγεσθαι ταῦτα ὡς εἰς τὴν χάριν τοῦ ἐγκωμιαζομένου· δύνασθαι μὲν αὐτὸν ἐκτείνειν τὸ ἐγκώμιον καταλέγοντα τὰς νίκας, ἐπεὶ δὲ ἀνάξιοι ἦσαν, σιωπῆσαι. παρὸ καὶ γνωμικῶς ἐπιλέγειν· τὸ σιωπηθὲν καλῶς μείζονα παρέχει τῷ ἐγκωμιαζομένῳ χάριν.

b. ἄλλως. ναὶ γὰρ ἦ πολλάκις καὶ τὸ σεσιωπημένον μείζονα

---

6 cfr. sch. N. VII 70

---

1 τῷ om. D ἵπποις — 2 λόγος b: βρ. ὢν ὁ λ. ἵπποις ἀγωνιζομένοις B item, sed ἀγωνιζομένων D 2 ἄλλως om. B 5 ἢ ὅτι ἡ B: ἢ οὕτως ὅτι D 6 τὸ μ. καὶ τὴν ἔκτ. D δὲ om. D 7 αὐτὸν B: αὐτὸν γ̄ D, quod pro τριῶν αὐτὸν esse susp. a. Et τῶν ἐπισήμων quid sit, nescio; an idem quod τοῦ νομίσματος? 10 ἐπῶν scripsi coll. sch. N. VII 70: εἰπὼν D εἰπεῖν B τῶν b, om. καὶ 12 πολλάκις D 13 παρὰ D 14 νικηθέντα D 15 περὶ τούτου a: περὶ τούτων D τοῦτον B ft. recte 16 ἡσυχασθεῖσι h: ἡσυχαθεῖσι B ἡσυχασθεὶς D 17 ὑπεῖναι μείζονα b: ὑπομεῖναι BD εἶπερ D 19 αὐτὸν h: αὐτὸ BD καταλέγον τὰ τῆς νίκης B 19. 20 ἐπεὶ δὲ B: ἐπειδὴ D 20 σιωπῆσαι b: νοῆσαι BD 21 παρέχει r: παρέχειν BD 22 πολλάκις om. B καὶ om. D

τὴν εὔκλειαν φέρει. φησὶ δὲ τοῦτο ὡς καὶ ἀ υνάτως ἔχων λόγῳ τὰ τοῦ νικηφόρου ἑρμηνεῦσαι κατορθώματα.

90a. *εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερθέντα*: εὔχεται, ὥσπερ ἐν τοῖς προειρημένοις ἀγῶσιν ἐπέτυχεν, οὕτω καὶ Πύθια καὶ Ὀλύμπια· καὶ τυχεῖν αὐτὸν τῶν τῶν Μουσῶν ὕμνων. b. ὁ δὲ νοῦς· εἴη δὲ αὐτὸν τῶν εὐφώνων Μουσῶν τοῖς ἐγκωμίοις μέλεσιν ἐπίδοξον γεγονότα καὶ ἐκ τῆς Πυθίας καὶ ἐκ τῆς Ὀλυμπίας τοῖς ἐξαιρέτοις καὶ διαπρέπουσι τοῦ Ἀλφειοῦ στεφάνοις πληρῶσαι τὴν χεῖρα, τιμὴν καὶ δόξαν ταῖς ἑπταπύλοις Θήβαις ἀπεργαζόμενον. ῥητῶς οὖν ἐπὶ τούτοις ἐπεσφράγισται, ὅτι Θηβαῖος ἦν ὁ Ἡρόδοτος. c. ἄλλως. ἔρνεσι φράξαι χεῖρά φησιν ἀντὶ τοῦ στεφανωθῆναι, ἀπὸ τοῦ παρακολουθοῦντος· οἷον τῶν στεφάνων κατασχεῖν. d. ἔρνος δὲ Ἀλφειοῦ τὴν ἐλαίαν λέγει, ἀφ' ἧς ὁ στεφανος τοῖς Ολυμπιονίκαις.

96a. *εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον*: εἰ δέ τις τῶν ἀνθρώπων ἔνδον ἀποταμιευσάμενος ἄδοξον πλοῦτον τοῖς δι' εὐδοξίαν ἀναλίσκουσιν ἐπεμβαίνων καταγελᾷ, οὐ διαλογίζεται τὴν ἑαυτοῦ ψυχὴν ἄδοξον τῷ ᾅδῃ περιστέλλων καὶ πέμπων. b. ἤτοι οὐ διανοεῖται τῷ ᾅδῃ τηρῶν τὴν ἑαυτοῦ ψυχὴν ἄνευ δόξης· οἷον οὐ νοεῖ, ὅτι ἄνευ δόξης τελευτήσει.

c. Χρύσιππος δὲ γράφει ἀλαοῖσιν, ἐξ οὗ σημαίνεται τυφλοῖς πράγμασιν, ἐπειδὴ καὶ ὁ πλοῦτος τυφλός.

Subscr. τέλος. D

---

1 καὶ om. D 3 l. D εἴη μιν B πτερύγεσιν D 5. 6 τὸν τῶν μ. ὕμνον D 6 τῶν om. B 7 μέλεσιν B: καὶ μέλ. D πυθοῦς cj. Abel, ft. recte 8 διαπρέπουσι D: πρέπουσι B 9 post χεῖρα inser. sch. 90d B 11 θηβαιῶν D 12 χεῖρα φησὶν D: φησὶ χεῖρα B 13 τοὺς στεφάνους κατέχειν B ἔρνος—14 ὀλυμπ post 9 χεῖρα inser. B 14 ἀλφεοῦ D τὴν om. D τοῖς B: ἐν D 17 ἀποταμιευόμενος D 19 τῷ om. B παραστέλλων D 20 τῷ B: δὲ τῷ D 21 ὅτι om. D 23 πράγμασιν om. B καὶ om. B 24 τέλος post sch. metr. J. II D

Scholia in Isthmionicarum carmen II.

Τοῦ δευτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων η΄. τὸ α΄ προσοδιακὸν ὑπερκατάληκτον. τὸ β΄ ἐφθημιμερὲς τροχαϊκὸν Εὐριπίδειον. τὸ γ΄ τὸ αὐτὸ Εὐριπίδειον. τὸ δ΄ Πινδαρικὸν ἐκ Σαπφικοῦ. τὸ ε΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ΄ τρίμετρον δακτυλικὸν ἀκατάληκτον. τὸ ζ΄ ἐγκωμιολογικόν. τὸ η΄ Στησιχόρειον.

ἡ ἐπῳδὸς κώλων ἑπτά. τὸ α΄ πενθημιμερὲς δακτυλικόν. τὸ β΄ Πινδαρικόν. τὸ γ΄ Πραξίλλειον. τὸ δ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε΄ τρίμετρον τροχαϊκὸν εἰς ἴαμβον. τὸ ϛ΄ Πινδαρικὸν ἐκ Σαπφικοῦ. τὸ ζ΄ τροχαϊκὸν δίμετρον.

Inscr. a. *Οὗτος ὁ ἐπίνικος γέγραπται μὲν εἰς Ξενοκράτην Ἀκραγαντῖνον, πέμπεται δὲ Θρασυβούλῳ διά τινος Νικασίππου, ὥστε εἶναι ἀποστολικὸν αὐτόν. τὸν δὲ Ξενοκράτην τοῦτον οἱ μὲν προϋπομνηματισάμενοι Θήρωνος ἀδελφὸν εἶναί φασιν, ὁ δὲ Ἀρτέμων* (FHG IV 342) *σφόδρα τὰ περὶ τοὺς Σικελιώτας πεπολυπραγμονηκὼς αὐτὸν μόνον συγγενῆ φησιν εἶναι Θήρωνος. οὗτος δὲ ὁ Ξενοκράτης οὐ μόνον Ἴσθμια νενίκηκεν ἵπποις, ἀλλὰ καὶ Πύθια κδ΄ Πυθιάδα, ὡς Ἀριστοτέλης* (fr. 574) *ἀναγράφει· καὶ Σιμωνίδης δὲ* (fr. 6) *ἐπαινῶν αὐτὸν ἀμφοτέρας αὐτοῦ τὰς νίκας κατατάσσει. Θρασύβουλοι δὲ Σικελιῶται διττοί· ὁ μὲν Δεινομένους, νεώτατος ἀδελφὸς τῶν περὶ Ἱέρωνα καὶ Γέλωνα, ὁ δὲ τῆς γυναικὸς τοῦ Ἱέρωνος ἀδελφός, οὗ νῦν μνημονεύει Πίνδαρος· ὁ δὲ Ἀρίσταρχος ἀδελφὸν ὑπείληφε τοῦ Ξενοκράτους εἶναι τὸν Θρασύβουλον, ἔνιοι δὲ υἱὸν Ξενο-*

---

3 *προσοδ.* ⟨*δίμετρον*⟩ cj. Pauw *ὑπερκατάληκτον* mg. Brub.: *καταληκτικόν* **BD** col. *β΄* post schol. epod. sic repet. **B**: *τὸ β΄ τῆς στροφῆς καὶ ἀντιστροφ(ου) ἐφθ. τροχ. εὐρ.* (**B**[b]) *ἐφθημ.* **B**[b]**D**: *πενθημ.* **B**[a] *τροχ. εὐρ.* in **B**[a] l. n. 4 col. *γ΄* om. **D** 5 *τροχ(αικον)* **B**: *τροχαῖος* **D** 8 *ἡ* **B**: *ἡ δὲ ἡ* **D** 10 *ἴαμβον* r: *ἰαμβικόν* **BD** 11 de **B** cfr. ad 3, de **D** ad 211, 24 13 *ἀκραγαντῖνον* **D** 16 *παρὰ* **D** 18 *θήρωτος* **D** 19 *κδ΄* **B**: *εἰς τὴν κδ΄* **D** 23. 24 *μνημον. νῦν* **D** 25 *εἶναι* om. **B**

κράτους. ὁ δὲ Ἀσκληπιάδης καταεικοβολεῖ λέγων ἐπὶ τετελευτηκότι τῷ Ξενοκράτει τοὺς λόγους εἶναι, ἐκ τοῦ πολλὰ ἐν τῇ ᾠδῇ ἐπὶ παρῳχημένου χρόνου λέγεσθαι, λεχθησόμενα ἂν ἐπὶ τοῦ παρόντος, εἴπερ περιῆν ἔτι. Καλλίστρατος δέ φησι τὸν Πίνδαρον μὴ τυχόντα τοῦ κατ' ἀξίαν μισθοῦ διά τινα μικρολογίαν τοῦ Ξενοκράτους, προσδιαλέγεσθαι Θρασυβούλῳ τῷ υἱῷ αὐτοῦ, καὶ οὐκ εἰς Ξενοκράτην, φησί, γέγραφε τὴν ᾠδήν, ἀλλ' εἰς Θρασύβουλον· καὶ γὰρ ἡ εἰσβολὴ περὶ ἀργυρίου μέμψεώς ἐστιν, ὡς θέλοντος αὐτοῦ τὸν κατ' ἀξίαν μισθὸν κομίσασθαι. b. *βέλτιον δὲ, ἀδελφὸν εἶναι τοῦ Ξενοκράτους ἢ υἱὸν τὸν Θρασύβουλον, οὐχ ὥς τινες πατέρα.*

1a. *Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε: οἱ μὲν πάλαι ἄνδρες, ὦ Θρασύβουλε, οἳ τῶν μουσικῶν ἐπέβησαν ἁρμάτων καὶ τῆς λύρας μετέσχον, οὗτοι ῥᾳδίως τοῖς μουσικοῖς τόξοις ἔβαλλον τοὺς παιδικοὺς ὕμνους, εἴ τις ὢν καλὸς εἶχε τοῦ σώματος ὥραν τὴν μνήμην ἐμποιοῦσαν τῆς Ἀφροδίτης. ὅτι δὲ περὶ παιδικοὺς ἔρωτας ἦν τοῖς λυρικοῖς ἡ τῶν ποιημάτων σπουδὴ, δημώδης ὁ λόγος.* b. *ἐξειργάσατο δὲ τὸ προοίμιον ὁ Πίνδαρος πάλιν ἑαυτῷ τῆς τοῦ ἐπινίκου γραφῆς μισθὸν πορίζόμενος. φησὶ δὲ, ὅτι τῶν λυρικῶν οἱ παλαιοὶ ἀμισθὶ πρὸς τὰ καλὰ τὴν σπουδὴν εἶχον, ἐπὶ δὲ τοῦ παρόντος ἀργυρίου πιπράσκεται τὰ ποιήματα. ταῦτα δὲ τείνει καὶ εἰς τοὺς περὶ Ἀλκαῖον καὶ Ἴβυκον καὶ Ἀνακρέοντα, καὶ εἴ τινες τῶν πρὸ αὐτοῦ δοκοῦσι περὶ τὰ παιδικὰ ἠσχολῆσθαι· οὗτοι γὰρ παλαιότεροι Πινδάρου· Ἀνακρέοντα γοῦν ἐρωτηθέντα, φασί, διατί οὐκ εἰς θεοὺς ἀλλ' εἰς παῖδας γράφεις τοὺς ὕμνους; εἰπεῖν, ὅτι οὗτοι ἡμῶν θεοί εἰσιν.*

---

1 *καταεικαβολεῖ* B *κατεικοβολεῖ* a *ἐπιτελευτηκότι* D 2 *ξενοκράτη* B (cp. D) *πολλοῦ* B 4 *περὶ ἦν* D: *παρῆν* B 8. 9 *μένψεως* B 12 *οἱ μὲν* (alt.)—13 *θρασύβουλε* om. B 14 *ἔβαλον* B 17 *παιδικοῦ ἔρωτος* B 18 *ἐξειργάσατο — 22 ποιήματα* post 27 *εἰσιν* trp. b 19 *πάλαι* B 20 *παλαιοὶ* D: *πολλοὶ* B *ἀμισθὶ πρὸς* B: *ἀμισθίαν* D 23 *τινες* ⟨*ἄλλοι*⟩ Leutsch De Pind. c. Isthm. sec. prooem. comm. p. 3 23. 24 *περὶ τὰ παιδ. δοκοῦσιν* D 26 *ἀλλ' εἰς παῖδας* post *ὕμνους* B *γράφεις τοὺς ὕμνους* D: *γράφει ὕμνους* B

2. *χρυσαμπύκων*: ἄμπυξ μὲν κυρίως κόσμος τις περὶ τὰς γυναικείας κεφαλάς· Ὅμηρος (Χ 469)· ἄμπυκα κεκρύφαλόν τε· νῦν δὲ ἀπὸ μέρους τὰς τιμίας λέγει.

7. *ὅστις ἐὼν καλός*: ὅστις σὺν τῷ καλὸς εἶναι καὶ ἀκμαῖος ἦν.

8. *ὀπώραν*: ὀπώραν μὲν ἂν εἴη λέγων [Ἀφροδίτης] τὴν τοῦ σώματος ὥραν καὶ τὸ τοῦ κάλλους ἄνθος· τὸ δὲ μνάστειραν πρὸς τὸ Ἀφροδίτας, τουτέστι τὴν τοῦ σώματος ὀπώραν τὴν τῆς Ἀφροδίτης μνήμην ἐμποιοῦσαν.

9a. *ἁ Μοῦσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν*: νῦν, φησί, μισθοῦ συντάττουσι τοὺς ἐπινίκους, πρώτου Σιμωνίδου προκαταρξαμένου. b. οὐδ' ἐργάτις, ὅ ἐστιν αἰτοῦσα μισθὸν ἐφ' οἷς ἔπραττεν. ἔνθεν καὶ Καλλίμαχός φησιν (fr. 77)·

οὐ γὰρ ἐργάτιν τρέφω
τὴν Μοῦσαν ὡς ὁ χῖος Ὑλλίχου νέπους.

λέγοι δ' ἂν πρὸς Σιμωνίδην ταῦτα, ὡς φιλάργυρον διασύρων τὸν ἄνδρα. b. τὸ δὲ ἑξῆς· ἡ γὰρ Μοῦσα τὸ παλαιὸν οὔπω φιλοκερδὴς ἦν, οὐδὲ μισθοῦ συντάττουσα τὰ ποιήματα, οὐδὲ πρὸς τῆς Τερψιχόρης ἐπιπράσκοντο αἱ γλυκεῖαι καὶ εὔφθογγοι ἀποκαλυψάμεναι τὴν παρρησίαν ᾠδαί.

13. ἤτοι πρόσωπον κεκοσμημέναι καὶ λαμπρυνθεῖσαι, ὅτι τὰ ὤνια ὡς τῶν πωλούντων τὰ πρόσωπα ἐκοσμοῦντο, ἵνα

---

1 sch. O VII 118b. Cfr. EG p. 118, 12 Stef. sch. E 358 10sqq. Tzetzes Chil VIII 814 16 cfr. schol. Ar pac. 697

---

2 ὅμηρος post κεκρύφαλόν τε D 2. 3 καὶ κρύφαλόν τε B 4 ὅστις B: ὃς D 6 l. om, post μὲν add. οὖν B λέγων r: λέγειν BD secl. M. Schmidt 7 ἄνθος B: ἀνθηρόν D μνάστειαν D 8 ὀπώραν] ὥραν cj. Abel; τὴν — ὀπώραν secl. M. Schmidt 10 l. D: ἁ — φιλοκερδής B οὐ om. D 11 ἐπινικίους B 15 χῖος| κεῖος Scaliger coniect. in Varr. p. 40 ὑλλιχοῦν ἔπους BD (corr. Scaliger) 16 λέγ(οι) δ' ἂν πρὸς σιμωνίδα ταῦτα D: λέγει δὲ ταῦτα πρὸς Σιμωνίδην B 19 τερψιχώρης D 20 ἀποκαλυψάμεναι τὴν παρρησίαν quid sibi velint nescio 21 ὅτι — 22 ὡς] ὡς τὰ ὤνια ὅτι r ὡς τὰ ὤνια ὑπὸ b 22 κοσμοῦνται cj. b, rec. a ἵνα — p. 215, 1 παρέλκειν, add. τὸ πρόσωπα, post p. 215, 2 λεγόμεναι trp. b

δοκῇ παρέλκειν· καὶ ἀργυρίου αὐτὰς πιπράσκουσαι καὶ μισθοῦ λεγόμεναι. περιφραστικῶς οὖν εἴρηκεν ἀπὸ τοῦ τοὺς γράφοντας ἀργύριον λαμβάνειν. τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μή ποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα; φησ γάρ (fr. 33)· οὐδ' ἀργυρέη κώκοτ' ἔλαμπε Πυθώ.

15a. νῦν δ' ἐφίητι τὠργείου φυλάξαι ῥῆμα: νῦν δ' ἐφίητι, τίς; ἡ Μοῦσα δηλονότι. τείνει δὲ καὶ ταῦτα εἰς τὸν Σιμωνίδην. b. ἀντὶ τοῦ ἐνδίδωσιν ἡμῖν λέγειν ὁ καιρός. c. τὸ δὲ ἑξῆς· ἐπὶ δὲ τοῦ παρόντος ἡ φιλοκέρδεια ἐφίησι καὶ ἐνδίδωσι λέγειν τὸ τοῦ Ἀριστοδήμου ῥῆμα ἐγγὺς ἀληθείας βαῖνον· χρήματα. χρήματ' ἀνήρ. ὁ μέντοι Πίνδαρος τὸ ὄνομα οὐ δεδήλωκεν. οὗτος οὖν ὁ Ἀριστόδημος Σπαρτιάτης ὢν, πένης γεγονὼς καὶ συναπολέσας τὴν τῶν φίλων ἑταιρείαν ἔφη· χρήματα χρήματ' ἀνήρ. οὐδὲν δὲ θαυμαστὸν, εἰ Σπαρτιάτην ὄντα τὸν Ἀριστόδημον Ἀργεῖον ἔφη· ἔστι γὰρ καὶ παρ' Ὁμήρῳ τὸ τοιοῦτον εὑρέσθαι. καὶ γὰρ Ἀργείην Ἑλένην φησί (Β 161)· καίτοι γε Λακεδαιμονία ἦν.

17. χρήματα, χρήματ' ἀνήρ: τοῦτο ἀναγράφεται μὲν εἰς τὰς παροιμίας ὑπ' ἐνίων, ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς προδήλου ὄντος ὅς ἐστιν ὁ τοῦτο εἰπών, μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος· Ἀλκαῖος δὲ (fr. 49) καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος, ἀλλὰ Σπάρτην· ὡς γὰρ

---

11 sqq. Suid. χρήματα χρήματ' ἀνήρ. Zenob. 6, 43. Apostol. 18, 23 (cfr. Paroem. Gr. II p. 129) 23—p. 216, 8 cfr. Diog. L 1, 1, 31

---

1 καὶ] ἢ αἱ b ἢ καὶ αἱ M. Schmidt. Locus corruptus s. lacunosus 2 τοὺς γράφοντας D: γράφοντος B 4 εἰρημένον D 5 ἀργυρέη r: ἀργυρέα s. -έη B ἀργυρέους D κ-κότε B: πώποτε D πυθώ] πειθώ b 6 l. B: νῦν — τὠργείου D νῦν (alt.) B: νοῦς D 8 λέγειν B: τὸ λέγειν D ὁ om D 11 χρήματα — ἀνήρ pro l. novi scholii vulgo feruntur 13 ἑταιρίαν D ἔφη B: ἔφθη D 15 γὰρ om. B 16 καὶ γὰρ B: ὡς τὸ D, om. q. s. φησί 17 γε om. D 19 παροικίας B 22 δήλου B 24 τέθεικεν D

δή ποτέ φασιν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν· χρήματ' ἀνήρ· πενιχρὸς δὲ οὐδεὶς πέλετ' ἐσλὸς οὐδὲ τίμιος. καὶ τάχα ἂν τὸν Σπαρτιάτην εἴρηκε Πίνδαρος Ἀργεῖον, παρόσον ἡ πᾶσα Πελοπόννησος Ἄργος ἐκαλεῖτο ὁμωνύμως τῇ πόλει· Ὅμηρος οὖν τὴν Ἑλένην Ἀργείαν φησὶν ἀντὶ τοῦ εἰπεῖν Λακεδαιμονίαν· Ἀργείαν δὲ εἶπεν ἀντὶ τοῦ Πελοποννησιακήν. Σπαρτιάτην δὲ Ἀριστόδημον ἐν τοῖς ἑπτὰ σοφοῖς ἀναγράφει Ἄνδρων ὁ Ἐφέσιος (FHG II 347).

18a. *ὃς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων*: *ὅστις ὁ Ἀριστόδημος ἀπεφθέγξατο τὸ τοιοῦτον, ἅμα τε τοῦ πλούτου καὶ τῶν φίλων στερηθείς.* b. *ἔνιοι δὲ οὕτως ἀκούουσιν· ὅστις Ἀριστόδημος τῶν χρημάτων ἐνδεὴς γενόμενος καὶ τῶν φίλων ἐστερήθη.*

19a. *ἐσσὶ γὰρ ὤν σοφός· οὐκ ἄγνωτ' ἀείδω*: *ταῦτα οἱ περὶ Καλλίστρατον συνεργεῖν φασιν ἑαυτοῖς· φανερὸν γὰρ ὡς μισθὸν αἰτῶν τὸν Θρασύβουλον τό τε ἀπόφθεγμα προήνεγκε τὸ περὶ τῶν χρημάτων καὶ προσεπιλέγει· οὐκ ἀγνῶτ' ἀείδω, σοφὸς γὰρ εἶ καὶ συνήσεις πρὸς τί ταῦτα εἴρηται. ἔνιοι δὲ τὸ ἄγνωτα προπαροξύνοντες οὐ κατὰ συναλοιφὴν ἀκούουσιν ἀντὶ τοῦ οὐκ ἀγνῶτι ἀείδω, ἀλλ' ἐπὶ αὐτοῦ καὶ τῆς Ἰσθμικῆς φασὶν αὐτὸν νίκης λέγειν· οὐ περὶ ἀγνώτων, φησίν, ᾄδω. ὁ δὲ Δίδυμος μειοῦσθαί φησι τὸ ἀξίωμα τοῦ ποιητοῦ, εἰ μηδέπω τοῦ ἐπινίκου συντεταγμένου γνώριμός ἐστιν ἡ τοῦ Ξενοκράτους νίκη· ἔμπαλιν γὰρ ὁ Πίνδαρος ἀφανεῖς καὶ ἀδόξους φησὶν εἶναι τὰς νίκας, εἰς ἃς αὐτὸς*

---

5 sch. *B* 161. Eust. p. 195, 22. 1490, 56. Ap. soph. p. 44, 22. Hes. *Ἀργείη*

---

1 *ἐν σπάρτᾳ* iteravit D *ἀπέλαμνον* D 4 *καλεῖται* B 6 *τοῦ* B: *τοῦ τὴν* D 8 *ἀναγράφει* a: *ἀναγράφεται* BD 10 *ὁ* om. B *ἐφθέγξατο* B 12. 13 *γινόμενος* D 14 l. D: *ἐσσὶ — σοφός* B *ἐσὶ γὰρ γὰρ ὤν* D 19 *ἀγνῶτα παροξύνοντες* D 20 *ἐπὶ αὐτοῦ* B: *ἐπὶ αὐτὸν* D *ἐπὶ αὐτοῦ* ⟨*τοῦ νικηφόρου*⟩ b. Locus vix sanus 21 *τ(ῆς) ἰσθμικ(ῆς)* B[ac], ut vid. *φασι νίκης λέγειν αὐτὸν* B 22 *φησίν* (pr.) om. D 25 *φησὶν εἶναι* B: *εἶναι φασὶ* D

μηδὲν γέγραφε. γελοίως. b. ὁ δὲ νοῦς· τυγχάνεις οὖν σοφός, ὦ Ξενόκρατες, καὶ συνορᾷς τὸ τοῦ λόγου αἴνιγμα· οὐ γὰρ ἄγνωστα λέγω. εἶτα ἀπὸ κοινοῦ τὸ ἀείδω· ᾄδω καὶ τὴν Ἰσθμιακὴν νίκην, ἣν τοῖς ἵπποις ἀγωνιζομένῳ τῷ Ξενοκράτει ὁ Ποσειδῶν δωρησάμενος, ἀπὸ Κορινθιακῶν αὐτῷ σελίνων στέφανον αὐτοῦ ταῖς κόμαις ἐπιτεθῆναι παρέσχετο, τιμῶν τὸν ἱππικώτατον ἄνδρα δόξαν καὶ φῶς ὄντα τῷ τῶν Ἀκραγαντίνων δήμῳ. ἀπὸ δὲ τοῦ πρὸς αὐτὸν λόγου εἰς τὸν περὶ αὐτοῦ κατηνέχθη. c. Δωρίων οὖν στεφάνων φησὶν ἀντὶ τοῦ τῶν Ἰσθμίων, Δωριεῖς ἐπείπερ ἐπῴκησαν τὴν Πελοπόννησον.

d. ἢ Δωρίων σελίνων τῶν Κορινθιακῶν, ὅτι Δωριεῖς ἐπῴκησαν τὴν Κόρινθον, ἡ δὲ Κόρινθος πύλαι τῆς Πελοποννήσου· Ἀλήτην γὰρ αὐτήν φασιν οἰκίσαι, ὅθεν καὶ Ἀλητίδαι οἱ Κορίνθιοι. e. τοῖς [οὖν] τὰ Ἴσθμια ἀγωνιζομένοις σέλινον ξηρὸν ὁ στέφανος, ὑγρὸν δὲ τοῖς τὰ Νέμεα.

26a. ἐν Κρίσᾳ δ' εὐρυσθενής: τοῦτό φησιν ὡς τὰ Πύθια νενικηκότος αὐτοῦ· ἡ γὰρ Κρίσα τῆς Φωκίδος ἐστὶ χωρίον. b. ὁ δὲ νοῦς· ἐν δὲ τῇ Κρίσᾳ εὐμενῶς ὁ Ἀπόλλων ἐθεάσατο τὸν Ξενοκράτην, καὶ ἀγωνιζομένῳ τὴν νίκην ἐδωρήσατο. B

28a. καὶ τόθι κλειναῖς Ἐρεχθειδᾶν χαρίτεσσι: καὶ ὅπου ταῖς ἐνδόξοις, φησί, τῶν Ἀθηναίων χάρισιν ἡρμοσμένος, ἐν ταῖς εὐδαίμοσιν Ἀθήναις, οὐκ ἐμέμψατο τὴν ἡνιοχικὴν χεῖρα.

b. ἄλλως. τοπικῶς, ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ταῖς Ἀθήναις,

---

13 EM 61, 51. EG p. 87, 2 Stef. Lex. Αἱμ. 618, 20 14 Cfr. vit. Pindari Vat. (I p. 6, 9). hypoth. Nem. p 5, 1 17 Steph. Byz. Κρίσα

---

1 ἔγραφε D 2 τὸ om. D οὐ γὰρ B: οὐδὲ D 3 ἄγνωστον B ᾄδω D: ἄγω B 4 ἰσθμίαν D 6 παρέχετο D 7 τῷ om. D 7. 8 ἀκαγαντίνων δείμῳ D 9 στεφάνων BD: σελίνων cj. Abel 10 τῶν om. B ἐπείπερ — 11 δωριεῖς B: γὰρ D 13 οἰκῆσαι D 14 οὖν B: δὲ D; seclusi 15 τοῖς om. D 21 l. D: καὶ — ἐρεχθειδᾶν B τότε D χαρίτεσι D 22 τῶν ἀθ. φησὶ D ἡρμοσμένας D 24 — p. 218, 3 obscura et cum reliquo scholio male cohaerentia

ὁ ταῖς χάρισιν ἡρμοσμένος Ἀπόλλων, ἀπὸ κοινοῦ γὰρ τοῦτο, οὐκ ἐμέμφθη τὴν ῥυσίδιφρον χεῖρα ὑπὸ τοῦ πληξίππου φωτὸς, τουτέστι τοῦ Θήρωνος. ὁ γὰρ Νικόμαχος Ἀθηναῖος ὢν ἀμφοτέροις ἡνιόχει, Θήρωνι καὶ Ξενοκράτει. ἐπὶ μὲν οὖν τοῦ Ξενοκράτους οὐχ οἷόν τε ἀκούειν· οὐ γὰρ ἀνῄρητο Ὀλυμπικὴν νίκην, ἀλλ' ὁ Θήρων. κοινοποιεῖ δὲ τὰς νίκας ἀμφοῖν ὁ Πίνδαρος συνήθως αὐτῷ. τὸν δὲ Νικόμαχόν φησιν ἀρηρέναι ταῖς λιπαραῖς Ἀθήναις, παρόσον Ἀθηναῖος ἦν· ὃν διὰ τὸ φιλοφρονήσασθαι τοὺς Ἠλείων σπονδηφόρους Ἀθήναζε ἥκοντας ἀντησπάζοντο Ἠλεῖοι παρ' αὐτοῖς, ὅτε Θήρωνι ἡνιόχει.

B 31. ῥυσίδιφρον χεῖρα: ἀπὸ μέρους, ἀντὶ τοῦ ῥᾳδίως καὶ ἀμεταγώγως τὰς ἡνίας εὐθύνοντα.

34a. ὅν τε καὶ κάρυκες ὡρᾶν: ὅντινα τὸν νικηφόρον οἱ κήρυκες, φησίν, οἱ τὸν καιρὸν καὶ τὴν ὥραν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος κηρύσσοντες καὶ σπονδηφόροι ὄντες τοῦ ἐν Ἤλιδι Διός, ἐγνώρισαν προπαθόντες τι ἡδὺ παρ' αὐτοῦ διὰ τὸ φιλόξενον τῆς ὑποδοχῆς, καὶ τῇ ἡδείᾳ αὐτῶν φωνῇ ἠσπάζοντο τὸν Ξενοκράτην τῆς τιμίας Νίκης τοῖς γόνασι προσελθόντα· ἐκ δὲ τούτου, νικῶντα. ἠσπάζοντο δὲ κατὰ τὴν Ὀλυμπιακὴν αὐτῶν γῆν, ἥντινα καλοῦσιν Ὀλυμπίου Διὸς ἄλσος, ἔνθα ταῖς ἀθανάτοις τῆς νίκης τιμαῖς καὶ οἱ τοῦ Αἰνησιδάμου παῖδες Θήρων καὶ Δεινομένης ἐμίγησαν. b. ἄλλως. οἱ κήρυκες, οἳ τὰς ὥρας καὶ τὸν καιρὸν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἐκήρυσσον, καθ' ἃς ἐτελεῖτο.

36. Ζηνὸς Ἀλεῖοι: τοῦ Ἠλείου Διός, τοῦ ἐν Ἤλιδι τιμωμένου. Ἦλις δὲ χώρα τῆς Ὀλυμπίας.

3 τοῦ om. B 4 ἡνίοχος D 8 ἀνηρέναι D 9 σπονδοφόρους B 10 ἀντησπάζοντο ἠλεῖοι B: αὐτὴ σπάζοντο ἠλεῖοι νίκην D 10. 11 θήρωνι B: ὁ θήρων D 14 l. D: ὅν τε καὶ κάρ. B ὅν τε B: οὔτε D νικηφόρον] νικόμαχον cj. M. Schmidt, probab. 16 σπονδοφόροι B ἤλισι D 17 ἡδὺ παρ' αὐτοῦ B: παρ' αὐτοῦ ἡ γὰρ D 17. 18 διὰ τὴν φιλόξενον ὑποδοχὴν D 18 ἡδείᾳ B: ἰδίᾳ D 19 προελθόντα B 22 οἱ om. D 23 δεινομένης] cfr. sch. 42 26 ἀλεῖοι] ἀλείου Stephanus ἠλείου] ἡλίου D 27 χωρίου D

37. *φιλόξενον ἔργον*: ὑπεδέξατο γὰρ αὐτοὺς καὶ φιλοξένως ἐξένισεν.

42. *ἵν' ἀθανάτοις Αἰνησιδάμου*: Αἰνησιδάμου παῖδες Θήρων καὶ Δεινομένης, ὧν κυρίως μνημονεύει ὡς Σικελιωτῶν τυράννων· Σικελιώτης δὲ ὁ νικηφόρος.

44a. *καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι*: καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν εἰσιν οἱ οἶκοι, ἀντὶ τοῦ ἄπειροι, ὦ Θρασύβουλε, οὔτε ὕμνων ἐπεράστων οὔτε ὑψηλῶν ᾠδῶν· πάλιν δὲ ἐκ τούτου ὕμνων φησίν. b. ἄλλως. ἤτοι περιφραστικῶς αὐτὴν τὴν Ὀλυμπίαν δόμους εἶπεν, ἢ οὐκ ἀγνῶτες ὑμῶν εἰσιν οἱ δόμοι τῆς φιλοξενίας, ὅπερ ἄμεινον. c. τὸ δὲ ἐντί ἀντὶ τοῦ εἰσί Δωρικῶς.

47a. *οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίνεται*: οὐ τραχεῖα, φησίν, ἡ ὁδὸς γίνεται τοῖς τοὺς ἐνδόξους ἐπαινοῦσιν ἄνδρας, τοὐναντίον δὲ ῥᾴδιος καὶ εὐεπίφορος· αὐτοὶ γὰρ ἀφορμὰς εἰς τοὺς ἐπαίνους διδόασι. b. τιμὰς γὰρ Ἑλικωνιάδων τὰς τῶν Μουσῶν φησι, τουτέστι τοὺς ὕμνους καὶ τὰς ᾠδάς.

51. *μακρὰ δισκήσαις ἀκοντίσαιμι*: μακρῶς καὶ μεγάλως τὸν ἐμὸν λόγον ῥίψας, φησί, καὶ τὸν νικηφόρον ἐγκωμιάζων, ὑπερβαλοῦμαι τοὺς ἄλλους, ὁπόσον καὶ ὁ Ξενοκράτης τρόπον γλυκὺν καὶ σπουδαιότερον πάντων ἀνθρώπων ἔσχεν.

54a. *αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν*: ἀμφίβολον. ἤτοι γὰρ αὐτὸς ἦν, φησίν, ἐντροπῆς ἄξιος ὁμιλῶν τοῖς ἀστοῖς, ἢ αὐτὸς ἐνετρέπετο ἐν τῷ τοῖς ἀστοῖς ὁμιλεῖν. Διόδωρος δὲ ὁ Ἀριστοφάνειος μὴ νοήσας, ὅτι ἐπὶ τοῦ παρεληλυθότος χρόνου κεῖται τὸ ἦν, θρῆνόν φησι γεγράφθαι, οὔτε ἐκεῖνο νοήσας,

---

11 Gregor. Cor. p. 280

1 αὐτὸν B 5 ante νικηφόρος τύραννος B, sed delet. 6 l. om. D 7 ὑμῶν D 8 ἐπεράτων D 9 ὕμνων D: ὕμνον B 11 ἐντί B: ἐντός D 13 l. D: οὐ—κέλευθος B 16 αὐτοὶ B: αὐτὸν D 17 μουσῶν B: μονῶν D 22 παρέσχεν D 23 l. D: αἰδοῖος—ἀστοῖς B 25 διόδωρος b (cf. Wolff Prolegg. p. CCXVI): διόδοτος BD 26 μὴ νοήσας sensu cassum τὸν παρεληλυθότα χρόνον D

ὅτι παρὰ τοῖς ποιηταῖς ἐναλλάττονται ⟨οἱ⟩ χρόνοι, οὔτε τὸ ἐπὶ τέλους λεγόμενον τὸ Νικάσιππ' ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς· πρὸς τὸν ζῶντα, οὐ πρὸς τὸν τετελευτηκότα. b. ἢ ἔστιν οὕτως· αἰδέσιμος ἦν τοῖς πολίταις συναναστρεφόμενος.

55a. *ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ*: ἢ τὸ ἱπποτροφεῖν ἐν Ἕλλησιν αὐτὸς νομοθετῶν, ἢ νόμιμον ἐν Ἕλλησιν εἰδὼς τὸ ἱπποτροφεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἦν.
b. ἢ οὕτως· ἱπποτροφίας νομίζων· καὶ τρέφων τῷ τῶν Ἑλλήνων νόμῳ καὶ ἔθει. c. ἤτοι κρίνων καὶ νομιστεύων τοῖς Ἕλλησιν, ἢ ἐπισήμους ποιῶν, παρὰ τὸ νόμισμα.

57a. *καὶ θεῶν δαίτας προσέπτυκτο πάσας*: καὶ πάσας θεῶν πανηγύρεις ἐπιτηδείως προσεδέχετο. ἐκ δὲ τούτου δηλοῖ, ὅτι εὐσεβῶς καὶ πρὸς θεοὺς διέκειτο. b. ἢ οὕτω· κατὰ διάνοιαν προσήγετο καὶ ἠσπάζετο· οὐδὲ νόμιμον καὶ ἔθος ἦγε τὰς ἑορτάς, ἀλλ' οἰκείως ἔχων πρὸς τοὺς θεούς.

58a. *οὐδέποτε ξενίαν οὖρος ἐμπνεύσας*: ἀλληγορικώτερον ἐχρήσατο τῷ λόγῳ ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομουσῶν καὶ μὴ συστελλουσῶν τὰ ἱστία νεῶν· τὸν γὰρ φθόνον ἀνέμῳ εἴκασε, τὴν δὲ τῶν ξένων τράπεζαν νηΐ οὐρίως καὶ ἀβλαβῶς πλεούσῃ. οὐδέποτέ φησι τὸ ἱστίον τῆς τραπέζης, [ὁ Ξενοκράτης] ᾗ τοὺς ξένους ὑπεδέχετο, συνέστειλεν οὔριος ἄνεμος πνεύσας, ἀλλ' ἀεὶ πλήρεσι τοῖς ἱστίοις πρὸς τὰς τῶν ξένων ἑστιάσεις ἐχρήσατο. b. Χρύσιππος οὕτω· Ξενοκράτης δὲ οὐδέποτε οὕτως ἐχειμάσθη, ὥστε μὴ διομαλίσαι τὴν τράπεζαν.
c. ὁ δὲ νοῦς οὕτως· οὐδέποτε δὲ παρὰ τὴν φιλόξενον αὐτοῦ τράπεζαν, ἐν ᾗ τοὺς ἐπιφοιτῶντας ἐδεξιοῦτο ξένους, φθόνος

1 ἐναλάττονται D suppl. r 2 ἀπόνειμεν D 3 ἐμὸν] ἡμῶν D πρὸς (pr.)] οὐ πρὸς D τελευτηκότα D 4 ἔστιν om. D 6 l. D: ἱππ. τε νομ. B 7 ἢ τὸ D: ἤτοι B ἐν om. D, nescio an recte 9 καὶ ⟨ἵππους⟩ τρέφων b. Locus corruptus 10 ἔθος D 11 παρὰ scripsi: περὶ BD 12 l. D: καὶ — διαίτας B προσέπυκτο D 13 ἐπιτηδείους B 14 δηλοῖ D: δῆλον B 15 scribend. vid. οὐδὲ μόνον κατ' ἔθος 17 l. D: οὐδ. — οὖρος B 19 στελλουσῶν D 21. 22 secl. b 22 ᾗ D: ἢ B 24 οὕτω B: οὗτος D δὲ om. D

τις ἐπιπνεύσας τὰς τῆς φιλοξενίας ἔπαυσεν ἑστιάσεις, ἀλλὰ πλήρεσι τοῖς ἱστίοις τοὺς πάντας ἐφιλοφρονεῖτο.

61a. *ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις*: Φᾶσις ποταμὸς τῆς Σκυθίας· ψυχρότατα δὲ τὰ περὶ αὐτὸν πνεύματα ἔχει. τὸ δὲ Νείλου πρὸς αὐγὰς τινὲς μὲν τὰς τοῦ Νείλου ῥύσεις, τινὲς δὲ ὅτι ἀπὸ ἀνατολῶν ἡ ῥύσις αὐτοῦ γίνεται· διὸ καὶ θερμοτάτης καὶ ὑγιεινῆς κράσεως μετέχει τὸ χωρίον. διὰ τούτων δὲ τὴν περὶ τοὺς καιροὺς δεξιότητα τοῦ Ξενοκράτους παρίστησιν ἀλληγορῶν· οὕτω γὰρ εὖ πρὸς τοὺς καιροὺς ἡρμοστο, καθάπερ οἱ ἐν μὲν τῷ θέρει πρὸς τὰ χειμερινὰ ὠθούμενοι, τῷ δὲ χειμῶνι πρὸς τὰ θερινά. b. ὁ δὲ νοῦς πάλιν ἐπὶ τῆς φιλοξενίας τοῦ Ξενοκράτους οὕτως ἔχει· ὁ Ξενοκράτης φιλοφρονούμενος τοὺς ξένους ἔπλει τῷ τῆς τραπέζης ἱστίῳ θέρους πρὸς τὰ ψυχρότερα, χειμῶνος δὲ πρὸς τὰ θερμότερα πλέων· ὥστε πανταχόθεν αὐτοῦ τὸ εὔκρατον καὶ προσηνὲς τῆς φιλοξενίας δηλοῦσθαι. ἢ καὶ ἐπὶ τῶν ξένων τὴν διάνοιαν ἀκουστέον, ἵν' ᾖ· ἕκαστος, φησί, τῶν ξενιζομένων ἐκ μὲν θερμότητος καὶ καμάτων πρὸς ψυχρότητα καὶ ἀνάκτησιν ὥσπερ πρὸς αὐτὸν ἔσπευδεν, ἐκ δὲ χειμῶνος πρὸς θερμότητα.

63a. *μὴ νῦν ὅτι φθονεραὶ θνατῶν φρένας*: μὴ δ' ὅτι, φησί, περὶ τὰς φρένας τῶν ἀνθρώπων φθονεραὶ κρέμανται ἐλπίδες καὶ διαθέσεις, τουτέστι μὴ διότι φθονεροί εἰσιν οἱ ἄνθρωποι, παρὰ τοῦτο στειλάμενος τὴν τοῦ πατρὸς ἀρετὴν σιγάτω· λεγέτω δὲ τῶν φθονούντων ἀφροντιστῶν. b. τὰς δὲ ἐλπίδας ἀντὶ ἑνὸς τούτων τέταχε, φροντίδος, διανοίας, διαθέσεως. c. μὴ οὖν, φησί, τὴν τοῦ πατρὸς ἀρετὴν σιγῇ

---

2 ἐφιλοφρονοῦντο D 5 αὐγὰς B[i]D: ἀκτὰς B[s] 6 ῥήσεις D 10 μὲν τῷ om. D 12 οὕτως om. D 14 ψυχρότατα D δὲ om. D θερμότερα b: θερμότατα BD 15 πλέων om. B ἔγκρατον B 18 θερμοτ(ή)των καὶ καυμάτων D ἕκ. τ. ξεν. πρὸς αὐτὸν ἔσπευδεν ὥσπερ ἐκ μὲν θερμ. etc. mallet b 23 ἐλπίδες καὶ om. D 24 παρὰ D: περὶ B στειλάμενος sic nude suspectum 25 σιγάτω D: στειλάτω σιγάτω B 26 τούτων om. D

παραδότω, ἀλλ' εἰς τὸ κοινὸν φερέτω· τυχὼν γὰρ τῆς νίκης τὴν τοῦ πατρὸς ἀρετὴν εὖ προήγαγε τῇ ἑαυτοῦ δόξῃ.

D 66. *ἐπεί τοι οὐκ ἐλιννύσσοντας αὐτοὺς εἰργασάμην: ἐπεὶ οὐ τοιούτους, φησίν, εἰργασάμην τοὺς ὕμνους, ὥστε ἐφ' ἑνὸς τόπου μένειν αὐτοὺς καὶ ἑστάναι καθάπερ ἀνδριάντας. τὴν αὐτὴν διάνοιαν καὶ ἀλλαχόθι φησίν* (N. V 1)· *οὐκ ἀνδριαντοποιός εἰμι, ὥστ' ἐλινύσοντ' ἐργάσασθαι ἀγάλματα ἐπ' αὐτῆς βαθμίδος ἑσταότα.*

68. *ταῦτα, Νικάσιππ', ἀπόνειμον: διὰ τοῦτο δῆλον, ὅτι τὸν εἰς Ξενοκράτην ὕμνον εἰς Ἀκράγαντα διὰ Νικασίππου πέμπει πρὸς Θρασύβουλον τὸν Ξενοκράτους ἀδελφόν· τὸ γὰρ ἀπόνειμον ἀντὶ τοῦ ἀνάγνωθι. Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ* (fr. 144)·

> *σὺ δ' ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων*
> [*ἀπόνειμον*] *νέμει τίς οὐ πάρεστι, τίς ξυνώμοσε.*

καὶ Παρθένιος ἐν τῇ Ἀρήτῃ (fr. 1 Mein.) *τὸ ἄννεμε ἀντὶ τοῦ ἀνάγνωθι· καὶ ἀννείμῃ Δωριστὶ* ⟨*ὁ*⟩ *Βουκόλος* (Theocr. 18, 48).

Scholia in Isthmionicarum carmen III.

B *Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ β' τὸ αὐτό. τὸ γ' τροχαϊκὸν ἐπίτριτον. τὸ δ' ἀνακλώμενον ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ ε' ἐγκωμιολογικόν. τὸ ϛ' τὸ αὐτό.*

---

12 cfr. Hes *ἀννέμειν.* Suid. *ἀνανέμειν*

---

2 *προσήγαγε* D   7 *ἐλιννύσοντ'* D   8 *ἑσταῶτα* D
9 l. om. B   *διὰ τοῦτο δῆλον* D: *ἰστέον* B   11 *πέμπειν* D
12 *σοφοκλεῖ* D   14 *πτυχὰς* Toup ad Theocr p. 25   15 del. Madv. Philol. I p. 671   *νεμεῖς* Madvig *νέμ' εἰ* Bergk de fragm. Soph p. 8   *τίς* (alt.)] ὃς Bergk   16 *ἄννεμε* Valckenaer ad Theocr. 18, 48: *ἄννειμε* BD   17 *ἀνέγνω* Toup add. ad Theocr. 18, 48   *ἀννείμῃ* Toup ibid.: *ἀνείμῃ* B *ἀνειμένη* D   suppl. h
22 scribend. vid. *τροχαῖος ἐπίτριτος*   23 *καταληκτικόν* mg. Brub.: *ἀκατάληκτον* B

τὸ ζ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η′ ἐφθημιμερὲς δακτυλικόν. τὸ θ′ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ι′ τὸ αὐτό.

ἡ ἐπῳδὸς κώλων ἐστὶν ἕνδεκα. τὸ α′ προσοδικὸν δωδε- B κάσημον. τὸ β′ μονόμετρον ἰωνικὸν ἢ ἀναπαιστικόν. τὸ γ τρίμετρον δακτυλικὸν ἀκατάληκτον. τὸ δ′ Εὐριπίδειον. τὸ ε′ ὅμοιον τῷ τίς σὰς παρήιρε φρένας. τὸ ϛ′ ὅμοιον τῷ Ἐρασμονίδῃ Χαρίλαε. τὸ ζ′ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ η′ Εὐριπίδειον. τὸ θ′ προσοδικὸν δωδεκάσημον. τὸ ι′ Εὐριπίδειον. τὸ ια′ ἴαμβος.

Inscr. Γέγραπται Μελίσσῳ Θηβαίῳ. οὗτος ἐνίκησεν Ἴσθμια καὶ Νέμεα, πρόσκειται δὲ τῇ ᾠδῇ ἵπποις διὰ τὸ μὴ δηλοῦν τὸν Πίνδαρον τὸ τοῦ ἀγωνίσματος εἶδος, πότερον κέλητι ἢ τεθρίππῳ· μόνον δὲ ἱπποδρομίᾳ λέγει ἐστεφανῶσθαι.

1. εἴ τις ἀνδρῶν εὐτυχήσαις: ὁ λόγος· εἴ τις εὐτύχησεν ἐν ἄθλοις ἢ ἐν πλούτῳ, ὡς τὸν ἐν εὐπραγήμασι δύνασθαι φέρειν κόρον μὴ ἐξυβρίζων, ἄξιός ἐστιν εὐλογεῖσθαι ὑπὸ τῶν πολιτῶν. διατί δὲ, αὐτὸς ἐποίσει.

6. Ζεῦ, μεγάλαι δ᾽ ἀρεταὶ θνατοῖς ἕπονται ἐκ σέθεν: ἐκ σέθεν εὐτυχοῦσιν οἱ ἄνθρωποι· καὶ γὰρ οὐ δι᾽ αὐτούς, ἀλλὰ διὰ θεῶν πρόνοιαν· ἐξ ὧν αὐτοῖς καὶ μεγάλαι ἀρεταὶ ἕπονται.

7a. ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων: ὄπις μὲν ἡ τοῦ μέλλοντος ἐπιστροφὴ καὶ τοῦ μετὰ ταῦτα ἐσομένου. Ὅμηρος (ξ 82)· οὐκ ὄπιδα φρονέοντες. b. ὁ δὲ λόγος· ζῇ δὲ ἐπὶ πλείονα χρόνον ὁ ὄλβος καὶ συναυξανόμενος παραμένει τοῖς

22 sch. ξ 82. Ap. Soph. 121, 33. Eustath. ad ε 146. ξ 268. π 388

4 ἰωνικὸν] scribend. vid. ἰαμβικὸν 5 τρίμετρον mg. Brub.: δίμετρον B καταληκτικόν mg. Brub., ft recte 12 πότερον κέλητι B: κέλλητι πρότερον D 13 ἱππυδρομὰ D 15 ἀέθλοις B ἐν (tert) om. D 18 l. D: ζεῦ — ἕπονται B (sed θνατοῖς l. n., unde σέθεν suppl. r) 19 ἐκ — 20 αὐτούς B: εὐτυχοῦσι δὲ οὐ δι᾽ αὐτοὺς οἱ ἄνθρωποι D 24 φρονέοντες B: φέροντες D 25 τοῖς B: ἐν τοῖς D

ὀπιζομένοις καὶ ἐντρεπομένοις· κομίζονται γὰρ ἀντὶ τῶν πόνων ἐπαίνους οἱ μὴ ὑπεροπτικοί· τοῖς δὲ σκολιόφροσι καὶ παρανόμοις ἀνθρώποις οὐχ ὁμοίως ἀκολουθεῖ ὁ ὄλβος. c. οἷον οὐδέποτε ὁμιλήσει τοῖς κακοῖς ἡ θάλλουσα εὐδαιμονία.

11. *εὐκλέων δ' ἔργων ἄποινα*: τῶν δὲ εὐδόξων κατορθωμάτων, φησίν, ἀμοιβὴν τοῖς ἀγαθοῖς προσήκει τὸν ἐγκωμιαστικὸν λόγον παρασχεῖν, χρὴ δὲ τὸν τοιοῦτον ὑψῶσαι καὶ μετεωρίσαι ταῖς χάρισιν.

15. *ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα*: ἔστι δὲ καὶ διπλῶν ἄθλων καὶ νικῶν τῷ Μελίσσῳ μερίς, ὥστε πρὸς εὐφροσύνην γλυκυτάτην τρέψαι αὐτοῦ τὴν ψυχήν· τοῦτο μὲν ἐν τοῖς βασίμοις τόποις τοῦ Ἰσθμοῦ δεξαμένῳ τοὺς στεφάνους, ἀντὶ τοῦ νικήσαντι ἐν τῷ Ἰσθμῷ· τὰ δέ ἐστιν ἐν τῇ κοίλῃ καὶ βαθυστέρνῳ νάπῃ τοῦ λέοντος, τουτέστι τῇ Νεμέᾳ, ἵππων δρόμῳ νικήσαντι. ἀνεκήρυξε γὰρ Θήβην, φησί. τοῦτο οὖν λέγει ὡς καὶ Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ ἱπποδρομίᾳ.

24. *ἴστε μὰν Κλεωνύμου*: γινώσκετε μὴν τὴν περὶ τὰ ἅρματα τοῦ Κλεωνύμου ἀρχαιοτάτην ἀρετήν τε καὶ δόξαν. τούτου δὲ τοῦ Κλεωνύμου ὡς προγόνου τοῦ Μελίσσου κατὰ πατέρα μέμνηται· ὁ μὲν γὰρ πατὴρ αὐτοῦ Τελεσιάδας ἐστίν. ἐν δὲ τῇ ἑξῆς ᾠδῇ καθόλου τοὺς συγγενεῖς αὐτοῦ Κλεωνυμίδας κέκληκε.

26a. *καὶ ματρόθεν Λαβδακίδαισι σύννομοι*: ὡς κατὰ μητέρα ἀπὸ Λαβδάκου καὶ Οἰδίποδος τοῦ Κλεωνύμου ὄντος. διό φησι· καὶ μητρόθεν σύννομοι πλούτου. τὸ γὰρ πρὸς μητρὸς τοῦ Μελίσσου καὶ Κλεωνύμου γένος συνάπτεται

---

12 sch. P. III 7

---

3 ἀνθρώποις **B**: τῶν ἀνθρώπων **D** ἀκολούθως **D** **4** θάλλουσα] θάλασσα **D**[1] θάλασα **D**[s] **5** δ' om. **D** ἐνδόξων **D** **9** l. **D**: ἔστι — διδύμων **B** **10** ἔστι δὲ καὶ **D**: ἤτοι **B** ἀέθλων **D** ὥστε **B**: ὅτε **D** **13** ἐστιν ἐν **D**: ἐστιν **B**. Ft. ἐστιν delend.; sed et quae seq. vix recte habent **15** δρόμον **B** **16** οὖν **B**: δὲ **D** ἱπποδρόμα **D** **18** μὰν] μὲν **D** κλεωνόμου **D** ubique **22** τοὺς κλεωνυμ. συγγ. αὐτοῦ **D** **24** σύννομος **BD**

τοῖς Λαβδακίδαις διαπρέψασι κατὰ τὴν ἡνιοχικήν. b. τὸ δὲ σαφές· τὸ δὲ μητρῷον γένος εἰς τοὺς Λαβδακίδας ἀνάγονται, καὶ κοινωνοὶ τῆς ἐκείνων ὄντες εὐδοξίας πλοῦτον ἱκανὸν περιεκτῶντο ἅρμασιν ἀγωνιζόμενοι. τὸ γὰρ πλούτου διέστιχον ἀντὶ τοῦ διὰ πλούτου ἤρχοντο, τουτέστι πλοῦτον ἐκτῶντο.

29. *αἰὼν δὲ κυλινδομέναις ἁμέραις*: ὑποφαίνει διὰ τούτων ὡς ποικίλαις χρωμένων τύχαις τῶν τοῦ Μελίσσου προγόνων. ὁ γὰρ βίος, φησίν, ἐν ταῖς ἡμέραις εἱλούμενος καὶ ἐν τοῖς ἐνιαυτοῖς ἀλλοίας καὶ ἀλλοίας ἀπογεννᾷ περιστάσεις. ἴσως μὲν οὖν εἰς τὰ ἐπὶ τοῖς Λαβδακίδαις τεθρυλλημένα ἀποβλέπει, ἄμεινον δὲ εἰς τὰ ἐν τῇ ἑξῆς ᾠδῇ λεγόμενα· τέσσαρας γάρ φησι κατὰ πόλεμον συγγενεῖς τοῦ Μελίσσου τελευτῆσαι.

31a. *ἄτρωτοί γε μὰν παῖδες θεῶν*: ἀντὶ τοῦ οἱ θεοί, ὡς καὶ παῖδες Ἑλλήνων οἱ Ἕλληνες. b. ὁ δὲ νοῦς· μόνοι θεοὶ οὐκ ἔχουσι μεταβολὴν εἰς κακόν· ἄτρωτοι γὰρ οὗτοι· τὰ δὲ τῶν ἀνθρώπων εὐμετάπτωτά φησιν εἶναι.

Scholia in Isthmionicarum carmen IV.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος καὶ ἡ ἐπῳδὸς ταὐτὸ μέτρον ἔχει τῷ τρίτῳ. B

1a. *Ἔστι μοι θεῶν ἕκατι μυρία*: θεῶν, τῶν Μουσῶν καὶ τοῦ Ἀπόλλωνος. b. ἡ τῶν θεῶν προνοίᾳ ἐστί μοι μυρία ὁδὸς εἰς τοὺς ὕμνους· πολλάς φησιν ἔχειν εὐμηχανίας καὶ ἀφορμὰς εἰς τοὺς τοῦ Μελίσσου ἐπαίνους διὰ τὸ νικῆσαι τὰ Ἴσθμια. c. ὁ δὲ νοῦς οὕτως· τῶν Μουσῶν ἐπιτρεπουσῶν | ἐστί μοι πανταχοῦ οὐ προσάντης ἀλλ' εὐμαρὴς ἡ τῶν ὕμνων B ὁδός, ὦ νικηφόρε· τὰ γὰρ Ἴσθμια νικήσας εὐμηχανίας πεποίηκας τῷ ὕμνῳ | ἀνυμνεῖν τὰς προγονικὰς ὑμῶν ἀρετάς. B D

2 τὸ μητρ. δὲ γένος D 4 πλευνεκτῶντο D 5 διὰ B: διὰ τοῦ D 7 τύχαις D: τέχναις B 14 οἱ Ἕλληνες a: οἱ Ἑλληνος D om. B 16 εἶναι D: ἐστιν B 18 praeter hoc sch. metr., quod solus habet B, scholia carminis III et IV in codd. non distinguuntur 21 μοι om. B 24 οὕτως B: οὗτος D 25 ἐστί μοι—27 τῷ ὕμνῳ om. D

6a. *αἶσι Κλεωνυμίδαι:* Κλεωνυμίδας κέκληκε τοὺς προγόνους τοῦ Μελίσσου ἀπὸ προγόνου τινὸς Κλεωνύμου. τροπικῶς δὲ τὰ περὶ τῆς τύχης συμπτώματα οὕτω φησί· προεῖπον δὲ ὡς τῆς βασιλείας ἐξέπεσόν ποτε. b. ὁ δὲ νοῦς· αἷς ταῖς ἀγωνιστικαῖς ἀρεταῖς οἱ σοὶ πρόγονοι διηνεκῶς λάμποντες εὐδαιμονίᾳ τύχης τὸ θνητὸν διαπορεύονται τοῦ βίου τέλος.

8a. *ἄλλοτε δ' ἀλλοῖος οὖρος:* ὅμοιόν ἐστι τῷ αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξε (III 18)· καὶ γὰρ ἐκ τούτων ὑποφαίνει τὴν περὶ τὸν οἶκον τοῦ Μελίσσου δυσπραγίαν. b. ὁ δὲ νοῦς οὕτως· ἄλλοτε ἀλλοῖος καὶ οὐχ ὁ αὐτὸς παρὰ τῆς τύχης ἄνεμος ἐπιπνεύσας πάντας ἀνθρώπους συμφέρεσθαι πράγμασι παρέχει.

11a. *τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται:* τουτέστιν ἄνωθεν ἔτι ἐπίτιμοί εἰσιν οἱ Κλεωνυμίδαι διὰ τὸ Λαβδακίδαι εἶναι καὶ προξενίαν παρέχειν τοῖς περιοίκοις. b. ὁ δὲ νοῦς οὕτως· οἱ μὲν οὖν σοὶ πρόγονοι ἄνωθεν καὶ ἐξ ἀρχῆς διαβεβόηνται κατὰ τὰς Θήβας ἐπίτιμοι καὶ ἔνδοξοι γεγονέναι πάντων τῶν ἐνοικούντων ξενισταὶ τῆς τε θοριβώδους ὕβρεως παντελῶς ὄντες ἀλλότριοι. c. Χρύσιππος οὖν· πιθανῶς τὴν ὕβριν κελαδεινὴν εἴρηκε διὰ τὸ λάλους εἶναι τοὺς ὑβριστάς. d. τὸ δὲ ὀρφανοὶ οἷον ἐστερημένοι ὕβρεως, οὐκ ὄντες ὑβρισταί, ἀλλὰ πᾶν τοὐναντίον ἥμεροι καὶ ἐπιεικεῖς.

15a. *ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια:* ὅσα δὲ φέρεται ἐπὶ τοὺς ζῶντας ἀνθρώπους καὶ τεθνηκότας μαρτύρια ἀρετῆς, κατὰ πᾶν τέλος τούτων ἐπέψαυσαν, φησί, Κλεωνυμίδαι. b. ἄλλως. ὁπόσα δὲ ἐν ἀνθρώποις φέρεται τῶν τετελευτηκότων καὶ τῶν ζώντων τῆς μεγίστης εὐδοξίας μαρτύρια, ταῦτα οὗτοι ἐν παντὶ πράγματι ἀναδεξάμενοι φαίνον-

---

2 ἀπὸ B: καὶ ἀπὸ D 3. 4 προεῖπον] scholion quod h. v. significatur excidisse vid. Hartung 6 εὐδαίμονα D 7 τῷ] τὸ D[ac] 8 ἁμέραις B: ἐν ἁμέραις D 9 ἀποφαίνει B 9. 10 δυσπραξίαν D 18 ⟨καὶ⟩ πάντων b; sed et ἐνοικούντων vitiosum ἐνοικούντων] + καὶ B 20 κελαδινὴν B 23 l. D: ὅσσα — ἀνθρώπους B ὅσα B: ὅσσα D 25 τούτου B 26 δὲ ἐν B: ἂν D 27 τελευτηκότων D

ται. c. ἢ οὕτως· εἴ τις καὶ πρὶν τεθνηκὼς ἢ νῦν ὢν ἔσχεν ἐξαίρετόν τι, τοῦτο ἔσχον.

18a. *ἀνορέαις δ' ἐσχάταισι*: ταῖς δ' ἀρεταῖς αὐτῶν ἀπὸ τῶν Θηβῶν μέχρις Ἡρακλείων στηλῶν τὸ κλέος διῖκται· οἷον ἄχρι περάτων κατὰ πάντα τρόπον κεκήρυκται αὐτῶν ἡ ἀνδρεία. b. ὁ δὲ νοῦς· ταῖς οἰκείαις δὲ ἀρεταῖς καὶ τῶν Ἡρακλείων ἅπτονται στηλῶν, καὶ προσήκει ταύτης τῆς ἀρετῆς μὴ ζητεῖν μείζονα. c. ὁ δὲ Χρύσιππος οὕτως· αἱ δ' ἀνδρεῖαι ὑμῶν καὶ ἐν οἴκῳ διαφαίνονται καὶ μέχρι τῶν Ἡρακλείων στηλῶν διϊκνοῦνται. d. στήλαις δὲ εἶπεν ἀντὶ τοῦ στηλῶν, ὡς καὶ στεφάνοισι θίγον (J. I 18?) ἀντὶ τοῦ στεφάνων.

21a. *καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν*: ὑπὲρ Ἡρακλείους φησὶ στήλας μὴ δύνασθαι τὴν ἀρετὴν πέμψαι. b. ὅμοιον τῷ Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν D (N. IV 69). ἐλλείπει δὲ τὸ χρή. c. Χρύσιππος τὸ σπεύδειν φησὶν ἀντὶ τοῦ σπευδέτωσαν.

23. *ἱπποτρόφοι τ' ἐγένοντο*: καὶ πρὸς ἱπποτροφίαν εἶχον, καὶ ἤρεσκον τῷ Ἄρει, τουτέστι καὶ πολέμων ἦσαν ἔμπειροι, ὅ ἐστι πολεμικοί.

25a. *ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ*: Χρύσιππος ἀποδέδωκεν, ὅτι τέσσαρες συγγενεῖς προπεπτώκασιν ἐν μιᾷ ἡμέρᾳ κατὰ πόλεμον αὐτῶν, καὶ τοῦτο λέγει λελυπηκέναι τὸν οἶκον. b. ὁ δὲ νοῦς· ἀλλ' ἐν μιᾷ ἡμέρᾳ ὁ τοῦ πολέμου τραχύτατος χειμὼν τὴν μακαριωτάτην ἑστίαν τεσσάρων ἀνδρῶν ἔρημον ἐποίησεν.

29a. *νῦν δ' αὖ μετὰ χειμέριον*: νῦν δέ, φησί, καθάπερ ἐκ χειμῶνος ἔαρ καθέστηκεν αὐτῷ νενικηκότι, ὥσπερ ἐαρίζουσα

---

1 ἢ—2 τι B: ἢ νοῦς ὢν ἔσχέ τις ἐξαίρετον D 4 κλέος Bergk: τέλος BD διῆκται B 5 αὐτῶι B 6 ἡρακλείων a: ἡρακλέων D -κλέος B 10 στελλῶν D 13 ἡρακλέους r ἡρακλείας a αὐτοὺς excidisse susp. Bulle Pindars dritter u. vierter isthm. Siegesges. p. 20 14 πρὸς] ὡς D 18 ἤρεσκον—πολέμων D: ἤρκεσαν τῷ ἄρει, ἢ ἤρεσκον, ὃ καὶ κρεῖττον. καὶ πολέμων τουτέστιν B 20 post χρύσιππος dist. a, perperam 21 τέσσαρα B ἐν μιᾷ ἡμέρᾳ om. D 22 λέγ(ει) D: λέγειν B 23 ἐν ἡμ. μιᾷ D ὁ om. B

γῆ ἐκ χειμῶνος ἐκδίδωσι τὰ ῥόδα. οἷον ἐξ ὑπαρχῆς ἀνθεῖ αὐτοῖς ὁ οἶκος. b. Χρύσιππος δέ· μετ' ἐκείνην τὴν ἀτυχίαν καὶ τὸν χειμῶνα ἤνθησαν. c. ἀλληγορεῖ ἐπὶ τοῦ βίου· εἰς ἔαρ μετέβαλε, φησίν, ἡ οἰκία Μελίσσου. τὸ γὰρ ποικίλων μηνῶν, ἤτοι καθὸ ποικίλα καὶ πολλὰ ἐν τῷ χρόνῳ γίνεται, ἢ ποικίλων τῶν καρπῶν, καθ' οὓς ὅλη ἡ γῆ ποικίλη γίνεται τῇ τῶν φυτῶν ἐξανθήσει, ὅπερ ἄμεινον.

32. ὁ κινητὴρ δὲ γᾶς: ὁ Ποσειδῶν. καὶ γέγονε παρὰ τὸ ἐννοσίγαιος.

33 a. Ὀγχηστὸν οἰκῶν: ἱερὸν γὰρ τῷ θεῷ τὸ χωρίον, ὡς καὶ Ὅμηρός φησι (B 506). b. γέφυραν δὲ ποντιάδα τὸν Ἰσθμὸν ἔφη διὰ τὸ ἑκατέρωθεν θάλασσαν εἶναι καὶ τὴν διατείνουσαν ζώνην γεφύρᾳ ἐοικέναι. c. τὸ δὲ σαφὲς οὕτως· ὁ δὲ τῆς γῆς κινητὴρ Ποσειδῶν ὁ τὸν Ὀγχηστὸν οἰκῶν καὶ τὴν θαλασσίαν γέφυραν τὴν πρὸ τῶν τειχῶν τῆς Κορίνθου, τοῦτον ἐπὶ τῇ νίκῃ χαριζόμενος τὸν ὕμνον τῷ τοῦ Μελίσσου γένει, ἐκ τῶν κοιτῶν ἀσθενήσασαν καὶ νοσηλευομένην πάλιν αὐτῶν τὴν παλαιὰν ἀναρρώννυσι δόξαν. ἦν γὰρ ἀφυπνώσασα καὶ ἀφανὴς γενομένη. d. ἄλλως. ὁ θεὸς αὐτῶν τὴν καθυπνωκυῖαν φήμην ἀνεγείρει καὶ ἀνανεοῦται· παρόσον ἐν ταῖς δυστυχίαις καὶ ὁ πλοῦτος ἠλαττώθη καὶ ἡ ἱππικὴ ἐσιγήθη, νῦν δὲ ταῖς νίκαις ἐπέτυχεν.

39 a. ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει: ἡ προειρημένη, φησί, φήμη ἀνεγειρομένη λάμπει, καὶ οὕτως ὡς ὁ ἑωσφόρος συγκρινόμενος τοῖς ἄλλοις ἄστροις, διὰ τὴν τοῦ Μελίσσου νίκην. τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης κέχρηται (fr. 398)·

---

10 cfr. sch. J. I 44 b

---

1 ἀνθεῖ om. B 5 ἤτοι B: ἀντὶ τοῦ D καὶ πολλὰ om. B ἢ D: ἤτοι B ποικίλην D 6 καρπῶν vix sanum; expectes ἐαρινῶν ὅλους D 9 ἐνοσίγαιος B 11 γέφυρα D 13 γέφυραν B 14 καὶ om. D 18 ἀναρρώννσι D 21 ἡ om. B 22 ἐπέτυχεν suspectum 24 ὡς B: γε D ὁ om. B

ἰδοῦσα δ' Ἰνοῦς συμφορὰν πολὺν χρόνον
νῦν ὄμμ' ἐγείρει.

b. ὁ δὲ νοῦς· ἀλλὰ πάλιν ἀναστᾶσα καὶ διαφανὴς γενομένη οὕτω τὸν χρῶτα λάμπει, ὥσπερ ὁ ἑωσφόρος ἐν τοῖς ἄλλοις ἄστροις ἐκδηλότερός ἐστιν.

42a. ἅ τε κὴν γουνοῖς Ἀθηνᾶν: ἥτις φήμη καὶ δόξα ἐν Ἀθήναις καὶ Σικυῶνι κατὰ τὸν Ἀδράστου ἀγῶνα τὰ τούτου ἅρματα κηρύξασα τὴν νίκην ἐνεχείρισεν. b. ἄλλως. ἡ φήμη, φησίν, ἡ προειρημένη νικᾶν κηρύξασα τὸ ἅρμα ὑμῶν ἐν Ἀθήναις καὶ Σικυῶνι ἐδωρήσατο ὑμῖν τοιάδε, ὁποῖα ἐγὼ νῦν γράφω εἰς σὲ διὰ τῶν ὕμνων· τοιαῦτα ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε γεγονότων ποιητῶν· ὡς καὶ εἰς ἐκείνους γεγραφότων τινῶν ἐπινίκους. c. τὸ δὲ ἑξῆς· τοιαῦτα τῶν ὑμετέρων προγόνων τὰ ἐγκώμια τὰ ἐπὶ τοῖς στεφάνοις καὶ ἀγῶσιν. ἔνιοι δέ, τοιαύτας ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε ποιητῶν ᾠδάς. τοῦτο δέ φησι Χρύσιππος ὡς ἄλλων ἐγκεκωμιακότων ποιητῶν κατὰ τὸν καιρὸν τὸν πάλαι τὰς νίκας.

47a. οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον: οὐδὲ τῶν κοι-
νῶν, φησί, | πανηγύρεων τὸ ἐπικαμπὲς αὐτῶν ἅρμα ἀπεχώρι- B
ζον. b. ὃ δέ φησι, τοιοῦτόν ἐστιν· ὅτι οὕτω φιλαγωνιστικοὶ
καὶ φιλόδοξοι ἦσαν, ὥστε καὶ ἐν τοῖς ἀγῶσι τῶν κοινῶν | πανη- BD
γύρεων ἀγωνίζεσθαι· καὶ πᾶσι τοῖς Ἕλλησι δὲ περὶ ἱπποτρο-
φίας ἐρίζοντες ἔχαιρον. τῶν γὰρ μὴ καθιέντων αὑτοὺς εἰς
ἅμιλλαν καὶ πειρωμένων ἀγῶνος οὐδεμία μνήμη ἐστίν, ὅ ἐστι,
σιωπᾶται ὁ βίος τῶν μὴ πονούντων ἐν τοῖς ἀγῶσιν ἀνδρῶν.

c. Χρύσιππος δέ, σεσημείωται, φησίν, ὁ τόπος διὰ τὴν φράσιν· τὸ γὰρ ἐναντίον βούλεται εἰπεῖν· τῶν ἀπειράτων καὶ ἀπρά-

1 εὕδουσα Musgrave συμφορὰ Musgrave 3 γινομένη D 4 ἐν om. D 6 κεὶν B 7 ἀθήνη D 9 ἡμῶν D 10 καὶ] + ἐν B νῦν ἐγὼ D 14 ἡμετέρων D 15 δὲ om. D 16 ποιητῶν B: γεγονότων ποιητῶν· ὡς καὶ εἰς ἐκείνους γεγραφότων τινῶν ἐπινίκους D χρύσ. φησιν B 17 ἐγκωμιακότων B D^1 (κε s. v. add. D) τὸν (alt.) B: τῶν D 18 πανηγυρίων D ξυνῶν B 18. 19 τὸ κοινὸν B 19 πανηγύρεων — 21 κοινῶν om. D 22 περὶ om. B 23 ὁρίζοντ(ες) B 24 ἐστίν B: γίνεται D

κτων ἄγνωστοί εἰσιν αἱ λαλιαί, ὅ ἐστιν, ἄν τις μὴ πειραθῇ πράξεων ἀγαθῶν, οὗτος ἀκλεὴς γίνεται. γελοίως.

52a. ἔστι δ' ἀφάνεια τύχας: τὸ ἑξῆς· ἔστι δὲ τὸ τῆς ἐκβάσεως τέλος τῶν μαχομένων ἀτελὲς, πρὶν ἐπὶ τέλος καὶ τὴν νίκην παραγενέσθαι, ὅ ἐστι νικῆσαι. πολλάκις γὰρ τούτων τε κἀκείνων ἡ τύχη δίδωσι, τῆς νίκης τε καὶ ἥττης. ὁ δὲ νοῦς αὐτῷ πρὸς τοῦτο παρείληπται· οἵ σοὶ πρόγονοι διηνεκῶς διετέλουν ἱπποτροφοῦντες, καίτοι τῆς κατὰ τὸν ἀγῶνα τύχης ἄδηλον ἐχούσης τὴν ἔκβασιν. ὅπερ καὶ ἐν ἄλλοις (O. V 15)· πρὸς ἔργον κινδύνῳ κεχαλασμένον. b. ἄλλως. καὶ αὐτοῖς τοῖς ἀγωνιζομένοις ὃ δήποτε ἀγώνισμα, ἀφανές ἐστι καὶ ἀπροόρατον τὸ ἐκ τῆς τύχης ἀποβησόμενον, πρὶν ἢ τέλος γενέσθαι, πότερον νικήσουσιν ἢ οὔ. c. τὸ δὲ σαφές· ἔστι δὲ καὶ τῶν B κατὰ πόλεμον μαχομένων | τῆς τύχης ἀφανὴς ἡ ἔκβασις, πρὶν τὸ τέλος παραγενέσθαι· ἄλλα γὰρ ἄλλοις ἡ τύχη δίδωσι, καὶ BD πολλάκις τὸν κρείττονα τῇ τέχνῃ ὑπὸ τῶν χειρόνων | τοῦ δέοντος ἀποσφαλῆναι πεποίηκε. d. τὸ δὲ καταμάρψαι ἀντὶ τοῦ καταμαρφθῆναι, συσχεθῆναι. προσεπισφραγίζεται οὖν διὰ τούτων, ὅτι πολλάκις ἡ τύχη τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἐποίησε καταγωνισθῆναι τέχνῃ. e. τὸ δὲ τέχνῃ νῦν ἀντὶ τοῦ D δόλῳ καὶ μηχανῇ τινι. | Ὅμηρος δέ (ϑ 296)· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο· ἀντὶ τοῦ τεχνηέντως· ἔνθεν καὶ τὸ ἀτεχνῶς ἀδόλως.

58a. ἴστε μὰν Αἴαντος ἀλκὰν φοίνιον: τὸ ταμὼν πρὸς τὴν ἀλκὴν ληπτέον. b. τὸ δὲ ὀψίᾳ ἐν νυκτὶ τριχῶς νοεῖ-

---

21 Eustath. ad ϑ 276. Hes τέχνη. Suid. ἀτεχνῶς. EM p. 162, 54. EG p 226, 3 Stef. — sch. N. I 36

---

3 τὸ δὲ ἑξῆς D 5 τούτων et τούτω B 6 τὴν νίκην καὶ ἥτταν B 7. 8 ἱπποτρ διηνεκοῦς ἐτέλουν D 8 τῆς om. D 10 κεκαλυμμένον text. Pindari 12 τῆς om. D τέλος D: τὸ τέλος B 13 ἔστι om. B in lac. 14 μαχουμένων D τῆς τύχης—16 χειρόνων om. D 15 παραγενέσθαι b: περιγενέσθαι B 16 τέχνῃ ὑπὸ h: τύχῃ ἀπὸ B 18 συσχεθῆναι om. B 19 ἡ D: καὶ B, unde ἡ τύχη καὶ cj. Abel 22 ἔχοντο D ἔνθεν] ὅθεν cj. Abel 24 μὰν B: καὶ D φοίνιον B: φόνιον D 25 ἀλκὴν B: ἀρχὴν D ἐν om. D

ται· ἢ γὰρ τὴν ὀψίαν τῆς ἡμέρας· ὅτε γὰρ ὀψὲ τῆς ἡμέρας ἐστὶ, τότε ἀρχὴ τῆς νυκτός· οἷον ἀφ' ἑσπέρας· ἢ κατὰ τὸ ὀψὲ τῆς νυκτὸς, οἷον τὸ μεσονύκτιον, μετὰ τὴν ὀψίαν ὥραν τῆς νυκτὸς, ὥστε ὅλον ὅμοιον εἶναι τῷ ἐν νυκτὸς ἀμολγῷ, ὅτε ἀμέλγουσι πρὸς ἑσπέρας· ἢ τὸ πρὸς ἕω, ὅτε ἐστὶ τῆς νυκτὸς ὀψὲ πρὸ τοῦ ὄρθρου. τοῖς δὲ τὸν ὄρθρον ἀκούουσι καὶ τὰ ἀπὸ τῆς ἱστορίας συνᾴδει· ὁ γὰρ τὴν Αἰθιοπίδα γράφων (fr. 2 Kinkel) περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνελεῖν. c. ἀπορήσειε δ' ἄν τις, πρὸς τί βλέπων τὸν Αἴαντα προσῆκται· εἰ μή ἐστιν ὅτι βραχὺς ὢν ὁ Μέλισσος τῶν ἀλκιμωτέρων καὶ τὸ σῶμα μειζόνων τέχνῃ περιῆν, ὅπερ καὶ ὁ Αἴας ὑπὸ Ὀδυσσέως ἔπαθεν ἐν τῇ κρίσει τῶν ἄθλων καὶ ὅπλων, ἀφαιρεθεὶς τούτων καὶ νικηθεὶς ὑπὸ τοῦ δολίου. d. ὁ δὲ Χρύσιππος αἰνιγματωδῶς φησι κεῖσθαι τὴν περὶ τοῦ Αἴαντος ἱστορίαν· ἄδηλον γάρ, πότερον εἰς τὴν πάλην τείνει τὴν γενομένην πρὸς Ὀδυσσέα, ὅτε ἐνίκησε δόλῳ, ἢ εἰς τὰ περὶ τὴν κρίσιν τῶν ὅπλων. ἄμεινον δέ φησιν, ὅτι καὶ ὡς ὁ Αἴας μείζων ὢν κατὰ τὸν ἀγῶνα βαστάζων τὸν Ὀδυσσέα δόλῳ παρ' αὐτοῦ ἐλήφθη, οὕτω καὶ ὁ Μέλισσος μείζονα ὄντα τὸν ἀνταγωνιστὴν τῇ τέχνῃ ἐνίκησε. e. Χρύσιππος οὕτω φησίν· ἴστε Αἴαντα, ὃς μέγας ὢν ὄνειδος τοῖς Ἕλλησι περιεποίησε τὴν κακοκρισίαν αὐτῶν φανερὰν ποιήσας, ἐπεὶ προσεχαρίσαντο τῇ Ἀθηνᾷ. f. ὁ δὲ νοῦς· γινώσκετε μὴν τὴν τοῦ Αἴαντος δύναμιν τὴν φονίαν καὶ πολεμικὴν, ἣν ἐν ὀψίᾳ περὶ τῷ ἑαυτοῦ

---

4 sch. *X* 317. — Eustath. ad *X* 28

---

1 γὰρ (pr.)] an κατὰ? 2 οἷον om. B 3 μετὰ] κατὰ s, ἤτοι Schr. τὴν om. D 4 ὅτε — 5 ἑσπέρας del. Schr.; ὅτι ego, ἑσπέραν Schr 5 πρὸ ἑσπέρας r 5. 6 τῆς νυκτὸς ὀψὲ B: τὸ ὀψὲ τῆς νυκτὸς D 7 αἰθιοπίαν D 8 περὶ B: παρὰ D 9 ἀπορρήσει D 11 καὶ (pr.) om. B 12 ἄθλων καὶ om. D, probante a 13 τούτων om. D (B l. n., sed τούτων habuisse vid.) 14 περὶ τοῦ a: περὶ B τοῦ D 16 πρ[ὸς ὀδυσσέ]α et B τὰ B: τὴν D 18 19 παρ' ἑαυτοῦ ἐλείφθη B 19. 20 ἀγωνιστὴν D 21 αἴαντα B: αἴαντος D 22 προσεχαρίσατο D 23 μὴν D: μὲν B

ξίφει διατεμὼν καὶ διαφθείρας οὐκ ὀλίγην μέμψιν ἔχει ἐν τοῖς Ἑλλήνων παισὶ τοῖς ἐν Τροίᾳ διαβεβηκόσιν.

63a. ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων: Χρύσιππος ἀμφίβολόν φησι τοῦτο εἶναι, πότερον ἐπ' Αἴαντος ἢ ἐπ' Ὀδυσσέως λέγει· πάντοτε γὰρ ὁ Πίνδαρος τὸν Αἴαντα θαυμάζει, νῦν δὲ ὁ λόγος συνᾴδει Ὀδυσσεῖ. καὶ γὰρ τὸ λέγειν, ὃς αὐτοῦ πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν, ἐπ' Ὀδυσσέως συμφωνεῖ, ἐπεὶ καὶ μᾶλλον τῆς Ἰλιάδος ἡ Ὀδύσσεια ῥαψῳδεῖται· καὶ ἡ Ἰλιὰς μὲν πολλῶν κοινὸν ἐγκώμιον, ἡ Ὀδύσσεια δὲ μόνου Ὀδυσσέως· καὶ οὐκ ἄν, θέλων συστῆσαι τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἐλαττούμενον διὰ τύχην καὶ τέχνην, τὸν Αἴαντα ἐγκωμιαζόμενον εἰσήγαγεν ὑφ' Ὁμήρου· τοῦτο γὰρ ἔλεγχον εἶχε τοῦ ἐγκωμιαζομένου ὑπ' αὐτοῦ. κατὰ δὲ τούτους ὁ μὲν ἀλλά κείμενος ἔσται διασταλτικός, ὁ δὲ λόγος· καίπερ ἐλάττονα τὸν Ὀδυσσέα γενόμενον Ὅμηρος τετίμηκε. γελοίως. δύναται γὰρ μένειν τὸ αὐτὸ ἄλογον. καὶ γὰρ ταῦτα λέγων ἐπὶ τῆς ἰδίας μένει κρίσεως, καὶ ἐγκαλῶν μὲν ἔσται τῷ ποιητῇ, Ὀδυσσέα δὲ ψέγων. b. ἄλλως. παρέλιπε τίνα τετίμηκεν Ὅμηρος, νοητέον δὲ ὅτι τὸν Ὀδυσσέα· ὁ γὰρ ἀλλά χωρισμὸν ἔχει παραπλακεὶς τῷ λόγῳ· ἀλλ' ὅμως χείρονα ὄντα τὸν Ὀδυσσέα τετίμηκεν Ὅμηρος. c. ὁ δὲ νοῦς οὕτως· ἀλλ' Ὅμηρος τῇ ἑαυτοῦ ποιήσει τιμιώτατον ἀπειργάσατο τὸν Αἴαντα, ὅστις αὐτοῦ πᾶσαν ἀρετὴν τοῖς ἐγκωμίοις ἀνορθώσας κατὰ ῥαψῳδίαν ἐξέφρασε θείων ἐπῶν συνθέσει, καὶ δίδωκε τοῖς μετὰ ταῦτα ἐν παιδιαῖς καὶ θυμηδίαις ᾄδειν τὴν Αἴαντος ἀρετήν.

d. τὸ δὲ κατὰ ῥάβδον οἱ μὲν ἀντὶ τοῦ κατὰ ῥαψῳδίαν, οἷον· οὐκ ἐάσας χαμαὶ πεσεῖν ἀνέστησεν ὡς ἄγαλμα, καὶ κατὰ ῥάβ-

---

1 ἐν del. Hartung 3 l. D: ἀλλ'—τετίμακεν B 4 εἶναι τοῦτο D 6 νῦν B: νοῦς D ὀδυσσεῖ—8 ὀδυσσέως iteravit D ὀδυσεῖ etc. fere ubique B 7 ὀρθώσας B ἀρετὰν] ἀρετὴν B om. D 9 κοινῶν D ἐγκώμιων (sic) B ἐγκώμ(ιον) D 10 συστῆσαι om. D 13. 14 κατὰ δὲ τούτους mirum 18 ἄλλως om. D 18. 19 τετίμακεν D 20 περιπλακεὶς D 21 οὗτος D 23 αὐ[τοῦ] B: ἀντὶ τοῦ D 24 ῥαψῳδίαν] + δὲ D

δον ἔφρασε, τουτέστιν ἐραψῴδησεν· οἱ δὲ οὐκ ἀκούουσι νῦν κατὰ ῥάβδον, ἐπεὶ μετὰ βακτηρίας οἱ ῥαψῳδοὶ τὰ ποιήματα ἀπήγγελλον, ἀλλὰ κατὰ ῥάβδον ἀντὶ τοῦ κατὰ στίχον. e. τὸ δὲ ἀθύρειν ἀντὶ τοῦ μέλπειν καὶ ὑμνεῖν. f. ἢ οὕτω· τοῖς μετὰ ταῦτα ᾄδειν, ὅτι τῇ θυμηδίᾳ καὶ ἡ ᾠδὴ ἕπεται. g. ἢ λοιποῖς ἀθύρειν, τοῖς ἐπεσομένοις ἀνδράσι μέλπειν. h. ἢ μετὰ τοὺς εἰς θεοὺς ὕμνους· καὶ γὰρ ἐν ἑτέροις φησίν (N II 1)· Ὅθεν περ καὶ Ὁμηρίδαι τὰ πόλλ' ἀοιδᾷ.

68a. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει: τοῦτο γὰρ τὸ ἐγκώμιον ἀθάνατον καὶ πολυθρύλλητόν ἐστιν, ὅπερ ἄν τις καλῶς εἴπῃ, ἐπί τε τὴν πολύκαρπον γῆν καὶ διὰ θαλάσσης διαπορεύεται τῶν καλῶν κατορθωμάτων ἡ ἄσβεστος ἀκτίς, τουτέστιν ὁ ὕμνος. b. ἢ οὕτω· τὸ ἐγκώμιον, φησίν, ὃ ἂν ῥηθῇ καλῶς, φωνὴν ἔχον ἕρπει πάντῃ καὶ πορεύεται, οὐκ ἐφ' ἑνὸς τόπου ἕστηκε. c. Χρύσιππος ἔφη αὐτὸ τὸ ποίημα τοῦ Ὁμήρου ἀθάνατον λέγειν ἢ τὰς τῶν ἐμπεριεχομένων πράξεις τῷ ποιήματι.

73a. προφρόνων Μοισᾶν τύχοιμεν: ἐπεὶ προείρηκε, τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, ἐπήνεγκεν εὐκτικῶς· γένοιτο καὶ ἡμῖν προφρόνων τῶν Μουσῶν τυχεῖν, ὥστε ἀπ' ἐκείνων ἐναυγάσασθαι τοῦ πυρός, ἵνα παραπλησίως Ὁμήρῳ τὸν Μέλισσον ὑμνήσω. b. ἢ οὕτως. εἴθε προθύμων τῶν Μουσῶν τύχοιμεν, ἐκεῖνον τὸν πυρσόν, τουτέστι τὸν τοιοῦτον πυρσὸν τῶν ἐγκωμίων, ἀναφᾶναι καὶ τῷ τοῦ Μελίσσου παγκρατίῳ· αὐτὸς γὰρ συνῳδὸς καὶ τῇ τῶν στεφάνων εὐδοξίᾳ· ἐπάξιον αὐτοῦ τῶν κατορθωμάτων ὄντα στέφανον.

1—8 cfr. sch. N. II 1 d p. 31, 14

---

1 ἐρραψῴδησεν Brub. 3 ἀπήγγειλον B 7 ἑτέρῳ r (B l. n.) 8 ἀοιδοί Pind. 14 καλῶς om. B 16 τοῦ om. B ἀθάνατον ⟨αὐτὸν⟩? 17 τῷ B: ἐν τῷ D 18 l. B: προφρ. μοισᾶν D 20 ἀπ' D: ἐπ' B ὑπ' r 21 ἐκεῖνον B εὐνάσασθαι D; ἐναύσασθαι scribend. vid. τῷ ὁμ. D 22 τὸν μέλισσον b: τὸ μέλος BD 24. 25 παγκρατίας D 25 τῶν omisisse vid. B 26 ante ἐπάξιον ft. distinguendum αὐτοῦ b: αὐτῶν BD

77 a. *ἔρνεϊ Τελεσιάδα· τόλμᾳ γὰρ εἰκώς*: οἱ μὲν οὕτω· Μελίσσῳ τῷ Τελεσιάδου βλαστήματι, ὡς ὄντος Τελεσιάδου πατρός. οἱ δὲ ἐν τῷ ἔρνεϊ στίζουσι καὶ ἐπιφέρουσιν οὕτω· Τελεσιάδᾳ τόλμᾳ γὰρ εἰκώς, ὡς τοῦ Τελεσιάδου ἐναγωνίου προγόνου γενομένου. b. ὁ δὲ νοῦς· τῷ γὰρ Τελεσιάδῃ [καὶ] τὴν προθυμίαν ὅμοιος ὢν ἐν μὲν τοῖς πόνοις καὶ τοῖς ἀνταγωνισταῖς τοιοῦτος ἦν τὴν τόλμαν, οἷοι οἱ λέοντες ἐν θηρσίν, ἐν δὲ ταῖς μηχαναῖς τεχνικὸς ὡς ἀλώπηξ, ἥτις καὶ τῶν ἀετῶν τὴν ὁρμὴν καὶ τὸν ῥοῖζον δολερῶς ἀνακλινομένη πολλάκις ἀνέκρουσεν. c. ἄλλως. οἰκεῖος ὢν τόλμῃ τὸν τῶν λεόντων θυμὸν ἐν τοῖς πόνοις θηρᾷ. καὶ τῇ μὲν τόλμῃ φησὶν αὐτὸν λέοντι θηρεύοντι ἐοικέναι, κατὰ δὲ τὴν μῆτιν ἀλώπεκι, ἥτις ἀνακλινομένη ὑπτία πρὸς τὸ ἑτοίμως ἀμύνεσθαι, ἐπέχει τὴν τοῦ ἀετοῦ ὁρμήν, ὅταν ἐπιρομβῇ αὐτὴν βουλόμενος ἁρπάσαι. ἔοικε δὲ διδάσκειν αὐτοῦ τὸ πάλαισμα, ὡς χαμαὶ κειμένου καὶ τὸν μείζονα τέχνῃ νενικηκότος. καὶ γὰρ ἡ ἀλώπηξ ὑπτία τοῖς ποσὶν ἀμύνεται, τὰ μὲν συλλαμβανομένη, τὰ δὲ ἀμύσσουσα.

81. *χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν*: προσήκει δέ, φησί, πᾶσαν ἀνακινοῦντα μηχανὴν ἄδοξον καταστῆσαι τὸν ἐχθρόν. τοῦτο δὲ λέγει ὡς τοῦ νικηφόρου μηχανῇ νικήσαντος. τὸ δὲ ἀμαυρῶσαι ἀντὶ τοῦ ἐλαττῶσαι. Ἡσίοδός φησι (op. 325)· ῥεῖα δέ μιν μαυροῦσι θεοί. διὰ δὲ τούτων παρίστησιν, ὅτι κυλιστικὸς ἦν ὁ Μέλισσος, καὶ ἑαυτὸν ἐξυπτιάσας περιεγένετο.

---

21 cfr. Moschop. ad Hesiod. op. 319

---

5 καὶ om. B; seclusi praeeunte a   5. 6 τῇ προθυμίᾳ B   6 ἐν μὲν τοῖς B: τοῖς μὲν D   8 τεχνικὸς B: τεχνικῶς D   αἰετῶν B   9 ἀνακινουμένη D   10 οἰκεῖος B: οἰκειῶν D ὅμοιος s. ἐοικὼς cj Abel. Locus corruptus; ⟨τελεσιάδου γὰρ⟩ οἰκεῖος ὢν τολμᾷ τὸν τ. λ. θ. ἐν τ. π. θηρᾶν Bergk[4]; pro 11 θηρᾷ cj. ἤτοι τῇ θήρᾳ Schneider ap. b   11 ab καὶ nov. sch. inc. a   13 ἀνακεκλιμένη B   14 τοῦ ἀετοῦ B: τῶν ἀετῶν D   ἐπιρρομβῇ a   ἁρπάζειν D   17 ἀμύνεται B: οὐ δύναται D   συλλαβομένη B εὐλαβουμένη Herwerden stud. Pind. p. 30   ἀμίσσουσα D   19 δὲ B: γὰρ D   21 ἀντὶ τοῦ ἐλαττῶσαι D: ἐλαττῶσαί ἐστιν B   22 τοῦτο D

83a. *οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν*: τουτέστιν οὐχ ὑπερμεγέθης ἦν, ἀλλὰ τοὐναντίον μεμπτὸς μὲν καὶ εὐτελὴς κατὰ τὴν τοῦ σώματος ὄψιν, συμπεσεῖν δὲ κατὰ τοὺς ἀγῶνας βαρύτατος. ὑπερμεγέθη δέ τινες τὸν Ὠρίωνα ἱστοροῦσιν. b. ἄλλως. *οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν*: ὁ γὰρ Ὠρίων διαβόητος ἐπὶ ἀνδρείᾳ, ὡς καὶ Ὅμηρός φησι (λ 309)·

τοὺς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα
καὶ πολὺ καλλίους μετά γε κλυτὸν Ὠρίωνα.

καὶ πάλιν ὁ Πίνδαρος βραχὺν εἰδὼς κατὰ τὸ σῶμα τὸν νικηφόρον τῇ ἑαυτοῦ τέχνῃ τὸ ὑπεράγαν εὐσωματεῖν καὶ ἀνδρεῖον εἶναι βλάβην ὑπαινίττεται, ὅτι δὴ ὁ Ὠρίων τοιοῦτος ὢν τῶν ὑπὲρ ἑαυτὸν ἐπεθύμησε καὶ τὴν Ἄρτεμιν ἐπεχείρει βιάζεσθαι.

87a. *καίτοι πότ' Ἀνταίου δόμους*: πάλιν ἑτέραν ἀπολογίαν προσάπτει τὴν κατὰ Ἀνταῖον καὶ Ἡρακλέα. ὁ γὰρ Ἀνταῖος τὴν ἔρημον τῆς Λιβύης οἰκῶν καὶ τὴν ἐρημίαν ἐφόδιον τῆς ἀπανθρωπίας ἐσχηκὼς πάλῃ καταγωνιζόμενος τοὺς παριόντας ἀνῄρει, ὃν ἐπιστὰς Ἡρακλῆς ἀπέκτεινε. τοῦτο γοῦν φησι· καὶ Ἡρακλῆς μικρὸς ὢν πρὸς σύγκρισιν τοῦ Ἀνταίου ἦλθεν ἐπ' αὐτόν, ἀλλ' ὅμως οὐκ ἐνικήθη. βραχὺν δὲ εἶπεν αὐτὸν οὐ μάτην, ἀλλ' ἐπεί τινες σύμμετρον αὐτὸν εἶναί φασι τῷ σώματι. Ἡρόδωρος γοῦν ἐν Οἰδίποδί (FHG II 29 M., I 219 J.) φησι τῶν ἄλλων αὐτὸν περιττεύειν, ὥστε τὸ ὅλον σῶμα πηχῶν εἶναι τεσσάρων καὶ ποδός. b. ὁ δὲ νοῦς· καί ποτε εἰς τοὺς τοῦ Ἀνταίου οἴκους ἐκ Θηβῶν τὴν μὲν μορφὴν καὶ τὸ σῶμα

---

22 Tzetzes ad Lyc. 663. Chil. II 210. 366

---

2 μὲν om. B 3 κατὰ B: καὶ D 4 δὲ τινὲς D: γὰρ B 6 ἀνδρείαν D 8 καλλίστους Hom. 10 τῇ ἑαυτοῦ τέχνῃ suspecta 11 ὢν B: ἦν D 12 τῶν B: τὸ D ἐπιθύμησε D 14 καίτοι D: καί B 20 ἀλλ' ὅμως—βραχὺν δὲ et 21 αὐτὸν (pr.) om. B, unde in exemplari eius βρ. δὲ αὐτὸν εἶπεν fuisse conicias ἐνικήθη a: ἐκινήθη 21 αὐτὸν alt. om. B 22 ἡρόδω[ρος] B Tz. (Chil.): ἡρόδοτος D Tz. (ad Lyc.) ἐν οἰδίποδι] ἐν ὀγδόῳ cj. b ἐν ὀλυμπιάδι C. O. Müller Dor. II p. 465 ἐνὶ ποδὶ Car. Müller probabiliter 23 τῶν ἄλλων αὐτὸν φησὶ D

βραχὺς, τὴν δὲ ψυχὴν ἀκαταμάχητος παλαίσων ἦλθεν εἰς τὴν σιτοφόρον Λιβύην ὁ Ἡρακλῆς. c. Χρύσιππος, ἀκυρότερον, φησί, τὴν Λιβύην εἴρηκε πυροφόρον· οὐ γὰρ πᾶσα τοιαύτη. μήποτε δὲ, ὅτι τῇ Αἰγύπτῳ παράκειται, ἥτις ἐστὶ πολύπυρος.

92a. κρανίοις ὄφρα ξείνων: ἰδίως τὸν Ἀνταῖόν φησι τῶν ξένων τῶν ἡττωμένων τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν· τοῦτο γὰρ ἱστοροῦσι Διομήδην τὸν Θρᾷκα ποιεῖν, Βακχυλίδης (fr. 61 Bgk.) δὲ Εὔηνον ἐπὶ τῶν Μαρπίσσης μνηστήρων, οἱ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς (fr. 432).

b. ἄλλως. ὅπως ταῖς τῶν ἀναιρουμένων ξένων κεφαλαῖς τὸ αὐτόθι τοῦ Ποσειδῶνος τέμενος ἐμφράττοντα Ἀνταῖον ἐπίσχῃ· ἐδυστύχει γὰρ ἀπανθρωπίαν ἅμα καὶ εἰς θεοὺς ἀσέβειαν· καὶ ἐπισχὼν Ἡρακλῆς μισθὸν τοῦ κατορθώματος τὴν εἰς Ὄλυμπον ἀνάβασιν ἐδέξατο. εἶτα παρεκβάσει τῶν Ἡρακλείων κατορθωμάτων τὸν λόγον ποιεῖται ὁ Πίνδαρος, καί φησιν, ὅτι πάσης τῆς γῆς καὶ τῆς πολυβαθοῦς θαλάσσης ἀνερευνήσας καὶ κατειληφὼς τὸ τέλος· θέναρ μὲν γὰρ κυρίως τὸ κοῖλον τῆς χειρὸς παρὰ τὸ θένειν ἡμᾶς αὐτῷ καὶ τύπτειν, νῦν δὲ ἀπὸ τῆς κοιλότητος ἐπὶ τοῦ πυθμένος ἔταξε· καὶ ταῖς ναυσὶ τὴν ὁδὸν καὶ τὴν πορείαν ἡμέρως εὐτρεπίσας, ἀπὸ κοινοῦ τὸ εἰς Ὄλυμπον ἔβα. c. ἐκεῖνος οὖν, φησίν, ἐξευρὼν τὸ πλάτος τῆς θαλάσσης, ἡμερώσας γῆν καὶ θάλασσαν καὶ καθάρας ἀπὸ λῃστῶν καὶ θηρίων εἰς Ὄλυμπον ἀνέβη.

104a. τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν: Ἠλεκτρίδες πύλαι ἐν Θήβαις, ἐφ' ὧν ἱερουργοῦσι Θηβαῖοι τιμῶντες Ἡρακλέα καὶ τοὺς ἐκ Μεγάρας τῆς Κρέοντος ὀκτὼ παῖδας αὐτῷ γεγονότας, κατὰ δὲ χόλον Ἥρας ἀναιρεθέντας ὑπ' αὐτοῦ μεμηνό-

5—9 cfr. Tzetzes ad Lyc. 160 17 cfr. sch. P. IV 367. sch. *E* 339 21 cfr. sch. P. ibid.

2 ὁ om. B?r *ἀκυρότερον* b: *ἀκυρώτερον* B *ἀκύτερον* D 6 *ἐρέθειν* D τοῦ om. D 7 *τὸν θρ. διομ.* B *διομήδη* D 8 *εὔηνον* B: *ἄοκνον* D 8. 9 *μαρπίσσης* h: *μαρσίππης* BD 17 *κυρίως* om. D 20 *ἡμέραν* D *ὄλυμπον* b: *ὀλυμπίαν* BD 21 *ἔβαν* D 22 *ἡμέρωσε* D 27 *ἀναιρεθέντες ὑπ' αὐτῷ μεμηνότι* D

τος. b. ἄλλως. Χρύσιππος, πρὸς ταῖς καλουμέναις, φησίν, Ἠλέκτραις πύλαις ᾤκησεν Ἀμφιτρύων· μετὰ ταῦτα Ἡρακλῆς ἀνεῖλε τοὺς ἐκ Μεγάρας παῖδας κατὰ ταύτας τὰς πύλας, ⟨ἐφ'⟩ αἷς κατ' ἔτος Θηβαῖοι ἐναγίζουσί τε τοῖς παισὶ καὶ ἀγῶνας ἐπιταφίους ἄγουσι. c. τῷ μὲν οὖν Ἡρακλεῖ, φησίν, αὔξομεν ἔμπυρα, τουτέστιν ἔντομα· τουτέστι τοῖς υἱοῖς αὐτοῦ συνεχῶς ἔμπυρα κατ' ἐνιαυτὸν αὔξομεν· οὐ γὰρ διαπαντὸς λέγει. d. Χρύσιππος δέ, ἐκ περιφράσεως τοὺς βωμοὺς αὐτοὺς στεφανώματα βωμῶν εἰρηκέναι· ἢ κατὰ παραγωγὴν εἴρηκε τὰ νέα νεόδματα. e. ὁ δὲ νοῦς οὕτω· τῷ μὲν οὖν Ἡρακλεῖ τῶν Ἠλεκτρίδων πυλῶν ὑπεράνω τὴν θυσίαν παρέχοντες οἱ πολῖται καὶ τὰ νεαρὰ στέμματα τῶν βωμῶν, αὔξομεν τὰς θυσίας τῶν πολεμικῶν ὀκτὼ θανόντων αὐτῷ παίδων, οὓς ἡ Μεγάρα ἡ Κρέοντος θυγάτηρ ἔτεκεν. f. χαλκοαρᾶν δὲ εἶπεν ὡς βιαιοθανάτων γενομένων τῶν τοῦ Ἡρακλέους παίδων. καὶ ὅτι ὀκτώ φησιν αὐτοὺς εἶναι. g. ἄλλως. περὶ τῶν Ἡρακλέους ἐκ Μεγάρας παίδων Λυσίμαχός φησί (FHG III 337) τινας ἱστορεῖν μὴ ὑπὸ Ἡρακλέους ἀλλ' ὑπό τινων δολοφονηθῆναι ξένων· οἱ δὲ Λύκον τὸν βασιλέα φασὶν αὐτοὺς φονεῦσαι· Σωκράτης (FHG IV 499) δὲ ὑπὸ Αὐγέου φησὶν αὐτοὺς δολοφονηθῆναι. καὶ περὶ τοῦ ἀριθμοῦ δὲ διαλλάττουσι· Διονύσιος μὲν ἐν πρώτῳ Κύκλων (FHG II 9 M, I 178 J.) Θηρίμαχον καὶ Δηϊκόωντα, Εὐριπίδης (fr. 1016) δὲ προστίθησιν αὐτοῖς καὶ Ἀριστόδημον· Δεινίας δὲ ὁ Ἀργεῖος (FHG III 25) Θηρίμαχον, Κρεοντιάδην, Δηϊκόωντα,

---

14 sch. J. V 48 21 sqq. cfr. sch. λ 269. Apollod. 2, 4, 11, 6; 7, 8, 8

---

3 ἀνεῖλε — πύλας om. B (ἡρακλῆς in B l. n., sed habuisse vid.) suppl. h 4 ἐναγίζουσι B: ἐν ἀγωνίζουσι D 6 ἔμπυρα, τουτέστιν ἔντομα scripsi: ἔμπυρα τουτέστιν ἔννομα D ἔντομα ὅπέρ φησιν ἔμπυρα B 9 εἴρηκεν? ante ἢ aliqua excidisse, s. ἢ in καὶ mutandum esse cj. Abel νεόδμᾶτα B: νεόμματα D 13 αὐτῷ ante ἔτεκεν transponend. cj. Abel παῖδα D μεγέρα B 14 χαλκοράν B 15 γενομένων τῶν B: γεγονότων D 17 τινας ἱστορεῖν B: ἱστορεῖ τινὰς D 19 φοβῆσαι D 21 δὲ om. D κύκλων r: κύκλῳ BD 23 δεινίας Valckenaer ad Theocr. p. 304: αἰνείας BD 24 θηρίαχον B?

B Δηΐονα· Φερεκύδης δὲ | ἐν δευτέρῳ (FHG I 78 M., I 64 J.) Ἀντίμαχον, Κλύμενον, Γλῆνον, Θηρίμαχον, Κρεοντιάδην, λέγων BD αὐτοὺς εἰς τὸ πῦρ ὑπὸ τοῦ πατρὸς ἐμβεβλῆσθαι· Βάτος δὲ | ἐν δευτέρῳ Ἀττικῶν ἱστοριῶν (FHG IV 350) Πολύδωρον, Ἀνίκητον, Μηκιστόφονον, Πατροκλέα, Τοξόκλειτον, Μενεβρόντην, Χερσίβιον. Ἡρόδωρος δὲ (FHG II 30 M, I 222 J.) καὶ δίς φησι μανῆναι τὸν Ἡρακλέα· ἐκαθάρθη δὲ ὑπὸ Σικάλου, ὥς φησι Μενεκράτης (FHG II 344) λέγων αὐτοῦ τοὺς υἱοὺς εἶναι ὀκτὼ καὶ καλεῖσθαι οὐχ Ἡρακλείδας, οὐδέπω γὰρ Ἡρακλῆς ὠνομάζετο, ἀλλ' Ἀλκαΐδας.

110a. *τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν*: τοῦτό φησιν ὡς περὶ τὴν ἑσπέραν τελουμένων τῶν νομίμων τοῖς Ἀλκαΐδα ς. δι' ὅλης οὖν φησι νυκτὸς τὴν πυρκαϊὰν μένειν μέχρις ἀνατολῆς ἡλίου. b. ἄλλως. ἔθος πρὸς δυσμὰς ἱερουργεῖν τοῖς ἥρωσι, κατὰ δὲ τὰς ἀνατολὰς τοῖς θεοῖς· καὶ συμβολικῶς ἑκάστῳ τὸ τῆς θυσίας πρός τε τὴν αὔξησιν καὶ φθορὰν ἑκατέροις ὀφειλομένην. c. ὁ δὲ νοῦς οὕτω· τούτοις τοῖς Ἡρακλέους παισὶ τῶν ἡλιακῶν αὐγῶν κατὰ τὰς δυσμὰς ἡ τῶν θυσιῶν ἀναφαινομένη φλὸξ συνεχῶς λάμπει διὰ πάσης τῆς νυκτός, τῷ κνισήεντι καπνῷ λακτίζουσα τὸν ἀέρα. σκληροτέρᾳ δὲ κέχρηται μεταφορᾷ· ἐχρῆν γὰρ εἰπεῖν ψαύουσα ἢ θιγγάνουσα τοῦ αἰθέρος ἢ κνῖσα τοῦ καπνοῦ. ἄμεινον Ὅμηρός φησι (Α 317)·

κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.

114a. *καὶ δεύτερον ἆμαρ ἐτείων ἀέθλων*: μετὰ δὲ τὰς θυσίας, φησί, τῇ δευτέρᾳ ἡμέρᾳ τῶν ἐνιαυσίων ἀγωνισμάτων τὸ τέλος αὐτοῖς συντελεῖται. τοῦτο δὲ ἀνδρείας ἔργον· τελεῖται γὰρ αὐτόθι ἀγὼν τὰ Ἡράκλεια. b. ἄλλως. ἀμφίβο-

---

8 sch. O. VI 115d. Tz. ad Lyc 663 14 sch. Ap. Rh. I 587

---

1 ἐν δευτέρῳ — 3 βάτος δὲ om. D 3 βάτων cj. b 7 σικάλου B: σιβάλου D συκάλου Lobeck Path. p. 96 οἰβάλου cj. Abel 10 Ἀλκαῖος Tzetzes 13 νυκτός φησὶ D 18 θυσιῶν Faehse Syll. p. 406: θεῶν BD ἱερῶν h 19 συνεχῶς om. B? τῆς om. D 22 ἄμεινον om. B 23 περὶ om. D Tricl. 24 ἐτέων ἄθλων D 26 συντελλ(εῖται?) D[cp] ἀνδρίας B 27 ὁ ἀγὼν D ἄλλως om. D

λον πότερον μετὰ θυσίαν ταῖς ἑξῆς ἡμέραις δύο ὁ ἀγὼν τῶν Ἡρακλείων συντελεῖται, τῇ μὲν προτέρᾳ πένταθλος καὶ ἱππικός, τῇ δὲ ἐχομένῃ γυμνικός· ἢ δεύτερον ἆμαρ τὸ μετὰ τὴν θυσίαν, ὡς τῇ ἐπιφωσκούσῃ τοῦ ἀγῶνος ἀγομένου, τῇ ὑστεραίᾳ.

117. ἔνθα λευκωθεὶς κάρα μύρτοις: ἐν ᾧ ἀγῶνι στεφανωθεὶς τοῖς μύρτοις ὁ νικηφόρος διπλῆν νίκην ἔσχε, τρίτην παίδων κατὰ τὸν φθάσαντα χρόνον εὐτυχήσας καὶ πειθόμενος τῇ τοῦ παιδοτρίβου γνώμῃ. τὸ δὲ μύρτοις, ὅτι μυρσίνης στεφάνοις ἐν Θήβαις στεφανοῦνται οἱ νικῶντες τὰ Ἰολάεια. μυρσίνῃ γὰρ στεφανοῦνται διὰ τὸ εἶναι τῶν νεκρῶν στέφος.

120a. τρίταν πρόσθεν, κυβερνατῆρος: πάσας αὐτῷ κατὰ τὸν ἐπιχώριον ἀγῶνα τρεῖς δίδωσι νίκας, καί φησιν, ὅτι μετὰ παίδων προαγωνισάμενος ἐνίκησεν, ἔσχε δὲ καὶ ἑτέρας δύο κατὰ τὸν αὐτὸν ἀγῶνα μετὰ ταῦτα. b. ἄλλως. ὡς τρὶς αὐτοῦ τοῦτον ἐστεφανωμένου τὸν ἐπιτάφιον, δὶς μὲν ἐν παισίν, ἅπαξ δὲ ὅτε ἐγένετο ἀνήρ. Χρύσιππος· διασαφεῖ νῦν, ὅτι δεύτερον ἐνίκησεν ἄνδρας, ἅπαξ δὲ παῖδας τὸν ἀγῶνα· τὸ δὲ τρίταν κεῖται ἐπὶ τοῦ πρώταν· διὸ καὶ πρόσκειται τὸ πρόσθεν, ὅτι πρῶτον ἐνίκησε παῖδας.

123. σὺν Ὀρσέᾳ δέ νιν: σὺν δὲ τῷ τεχνικῷ Ὀρσέᾳ τὸν νικηφόρον ὑμνῶν καὶ χορεύων ἀνυμνήσω, τερπνὴν τοῖς ἐγκωμίοις ἐπιστάζων τὴν παρὰ τῶν Μουσῶν χάριν. Ὀρσέας δὲ ὄνομα κύριον τοῦ ἀλείπτου. Sch. inscr. V B

11 sch. Ar. ran. 330

3 ἦμαρ B 4 ἐπιφουσκούσῃ D 7 τοῖς B: ταῖς D διπλῆ D 9 παιδοτρίβου h: προτρίπτου BD 9. 10 μυρσίνοις D 11 ἰολάεια h: ἰόλεια B ἰόλια D γὰρ] δὲ cj. Abel 13 κυβερνητῆρος D 15 μετὰ om. B[1]D 16 αὐτὸν om. D 17 ἐστεφανωμένον D 19 δεύτερον] δὶς Bergk ἄνδρας b (ἀνδρακὰς Faehse syll. 407): ἀναβάς BD ἄνηβος h παίδων h παῖδας ⟨κατὰ⟩ b 20 κεῖται om. D ἐπὶ τοῦ πρώτου h ἀντὶ τοῦ πρώταν a probabiliter, praesertim si cum D omittas κεῖται 23 τοῖς om. B

Scholia in Isthmionicarum carmen V.

B *Τοῦ πέμπτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ὀκτώ. τὸ α´ Πινδαρικὸν ἐγκωμιολογικὸν, τὴν τελευταίαν συλλαβὴν μεταθὲν εἰς τὴν πρώτην. τὸ β´ τροχαϊκὸν εἰς ἴαμβον καταλῆγον. τὸ γ´ τὸ αὐτὸ τῷ α´. τὸ δ´ πενθημιμερὲς δακτυλικόν. τὸ ε´ τὸ αὐτὸ τῷ α´. τὸ ς´ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ζ´ τροχαῖος ἐπίτριτος. τὸ η´ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.*

B *ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α´ τὸ αὐτὸ τῷ α´ τῆς στροφῆς. τὸ β´ τροχαϊκὸν τρίμετρον καταληκτικὸν Ἀρχιλόχειον. τὸ γ´ Πινδαρικὸν ἐκ Σαπφικοῦ. τὸ δ´ πενθημιμερὲς δακτυλικόν. τὸ ε´ τροχαϊκὸν τρίμετρον εἰς ἴαμβον. τὸ ς´ τὸ αὐτὸ τῷ α´ τῆς στροφῆς καὶ ἐπῳδοῦ. τὸ ζ´ Πινδαρικὸν ἐκ Σαπφικοῦ. τὸ η´ πενθημιμερὲς δακτυλικόν. τὸ θ´ ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ ι´ πενθημιμερές. τὸ ια´ πενθημιμερὲς ἰαμβικόν.* 1 B

Inscr. a. *Ταύτην τὴν ᾠδὴν Ἡφαιστίων μετὰ τὴν ἑξῆς φησι γεγράφθαι τὴν Θάλλοντος ἀνδρῶν, καὶ αὐτὴν Πυθέᾳ γεγράφθαι· ἐχρῆν οὖν καὶ προτετάχθαι. καὶ γὰρ ἐν μὲν ἐκείνῃ τὸν Φυλακίδαν ἅπαξ μόνον Ἴσθμιά φησι νικῆσαι* (J. VI 3)· *ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξάμενοι στεφάνων, νῦν αὖτε Ἰσθμοῦ δεσπότᾳ Νηρεΐδεσσί τε· εἶτα* (J. VI 7)· *εἴη δὲ τρίτον. ὡς γὰρ πρῶτον καὶ ἅπαξ ἐν Νεμέᾳ νενικηκὼς,*

---

1 schol. metr. post schol. inscr. **B** 3 *ἐγκωμ.*] debuit *ἰαμβέλεγος* 4 *μετατεθὲν* **r** *τὴν πρώτην* **r**: *τινά* **B** *ἴαμβον* **b**: *ἰαμβικόν* **B**. Cfr. ad 12 7 *τροχαῖος* scripsi: *τροχαικὸν* **B** *ἐπίτριτον* **r** 9 *ἕνδεκα* **r**: *ὀκτώ ἕνδεκα* **B** 11 col. *δ´*] *ἢ μᾶλλον εὐριπίδειον* mg. Brub. 12 *ἴαμβον* **b**: *ἰαμβικόν* **B**. Cfr. ad 4 13 *ἐπῳδοῦ* **b**: *ἐπῳδῆς* **B** 15 *τὸ ι´ πενθ.* ⟨*δακτυλικόν*⟩ Pauw 18 *θάλοντος* **B** *καὶ αὐτὴν* ⟨*καὶ*⟩ Bergk; sed ita quoque hiat oratio 20 *ἐν* om. **D** 21 *πρῶτον μὲν* **D** *στεφ δεξάμενος* **D** 22 *αὖτε* **D**: *αὖτ᾽ ἐν* **B** *νηρηίδεσσί* **B** *νηρεΐδεσί* **D** *εἴη* **B**: *εἰ* **D**

. . . . . ἐν Ἰσθμῷ, τρίτον εὔχεται ἐν Ὀλυμπίᾳ. διὰ δὲ ταύτης δίς (17)· τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται. διηπατῆσθαι δὲ τοὺς προθέντας φησὶ ταύτην ἴσως ὅτι ἐν τῇ ϛ' φησί (2)· δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν· ὑπολαβεῖν γὰρ ταύτης δευτέραν ἐκείνην λέγειν. τὸ δὲ οὐκ ἔχει οὕτως. ἀλλὰ δευτέραν αὐτῷ κατασκευάζει ἐκείνην Νέμεα γεγράφθαι καὶ Νεμεακὴν εἰς αὐτοὺς ᾠδήν, ἧς ἡ ἀρχή (N. V 1)· Οὐκ ἀνδριαντοποιός εἰμ' ὥστ' ἐλινύσσοντα· ἥτις ἦν καὶ πρώτη, ὡς φανερὸν ἐκ τῶν ποιημάτων. b. προκατασκευάζοντες ἔνιοι ὅτι Φυλακίδᾳ μόνῳ γέγραπται, φασὶ τὸν Πυθέαν μὴ νενικηκέναι Ἴσθμια, ὥστε Ἰσθμιακὴν οὖσαν τὴν ᾠδὴν μὴ ἀναγεγράφθαι κἀκείνῳ· Νέμεα γὰρ κἀκεῖνος ἐνίκησεν, ὥσπερ ὁ Φυλακίδας. λανθάνει δὲ αὐτούς· ἐν γὰρ τῇ γεγραμμένῃ Μίδᾳ ᾠδῇ ὡς οἰκείῳ αὐτῷ ἱστορεῖ, ὅτι καὶ ὁ Πυθέας Ἴσθμια ἐνίκησε. λέγει δὲ ἤδη τετελευτηκότος τοῦ Πυθέα· κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων, καὶ τὰ ἑξῆς. τὸ μὲν οὖν προσυντετάχθαι τῆς Μᾶτερ Ἀελίου τὴν Θάλλοντος ἀνδρῶν ὑγιές. οὐκ αἰτιατέον δὲ τοὺς διατάξαντας τὸν Πίνδαρον· οὐ γὰρ κατὰ χρόνους συνέτασσον αὐτόν, ἀλλὰ κατὰ εἴδη. c. ἄλλως. Καλλί- B
στρατος Φυλακίδᾳ μόνῳ γεγράφθαι φησί, συμπεριειλῆφθαι δὲ ἔξωθεν τὴν τοῦ Πυθέου νίκην, καθάπερ καὶ ἐν τῇ μετὰ ταύτην τὴν Εὐθυμένους ὄντος αὐτῶν συγγενοῦς. metr. B.

1a. *Μᾶτερ Ἀελίου πολυώνυμε Θεία*: ἀκολούθως τῷ Ἡσιόδῳ· καὶ γὰρ ἐκεῖνος Ἡλίου μητέρα τὴν Θείαν γενεαλογεῖ (th. 371. 374)·

---

1 ⟨νῦν δὲ δεύτερον⟩ suppl. b, ⟨νῦν⟩ h; sed corruptela latius patet 2 δίς· τὶν r: δὶς τίν B διέτιν D θάλλοισσ' D φυλακίδαο D 3 προτεθέντας B ἴσως B: ἴσθι D 4 ἐν τῇ ϛ' a: ἐν τῇ θ' D om. B κρατῆρα μοισέων B κρατῆρ' ἄλλους ἑῶν D 5 κίρναμεν] κιρνάμεναι B κιρνάναι D ταύτῃ B 6 ἔχειν D ἐκείνην r: ἐκείν(ην) B ἐκείνοις D 7 νέμεα corruptum; διὰ τὸ b, ad sensum recte 8 ἐλινύσσοντα D om. B 9. 10 κατασκευάζοντες D 10 γέγραπται Bergk: γεγράφθαι 14 μίδ(ᾳ) ᾠδῇ B: ᾠδῇ μίδᾳ D 15 νενίκηκεν D τετελευτηκότα τὸν πυθέαν B 16 προσυντετάχθαι D: πρ[ώτην] τετάχθαι B? (acc. prior certus) πρώτῳ τετάχθαι r 17 θάλοντος B 19 κατὰ D: κατὰ τὰ B

Θεία δ' Ἠέλιον τέκε μέγαν λαμπράν τε Σελήνην
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

b. *ἄλλως. Θείας γενεαλογοῦσι τὸν Ἥλιον διὰ τὸ τῆς θέας καὶ τῆς ὄψεως ἡμῖν αἴτιον εἶναι, ὁμωνύμως τῷ περὶ τὴν ὄψιν πάθει, καθὰ καὶ τὸν Ἔρωτα καὶ τὴν Ἐλπίδα. εἰσὶ δὲ οἳ ἀπὸ τοῦ θεῖν αὐτήν φασιν ὀνοματοπεποιῆσθαι· ἐν φορᾷ γὰρ ὁ ἥλιος ἀεί· ἀφ' οὗ λόγου καὶ τὸν πατέρα Ὑπερίονα, διὰ τὸ ὑπὲρ ἡμᾶς ἰέναι.*

2a. *σέο γ' ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσόν: ἴσμεν φιλόχρυσον ὄντα πανταχοῦ τὸν Πίνδαρον. κἀνταῦθα οὖν τὴν ἑαυτοῦ φιλάργυρον προαίρεσιν τεκμηριοῖ τὸν πλοῦτον ἐγκωμιάζων καὶ ὑπαινιττόμενος, ὡς προσήκει τοὺς ἐγκωμιαζομένους χρυσῷ ἀμείβεσθαι τὸν Πίνδαρον.* b. *ἄλλως. ἐκ Θείας καὶ Ὑπερίονος Ἥλιος, ἐκ δὲ Ἡλίου ὁ χρυσός. ἑκάστῳ δὲ τῶν ἀστέρων ὕλη τις ἀνάγεται· καὶ Ἡλίῳ μὲν ὁ χρυσός, Σελήνῃ δὲ ὁ ἄργυρος, Ἄρεϊ σίδηρος, Κρόνῳ μόλιβδος, Διῒ ἤλεκτρος, Ἑρμῇ κασσίτερος, Ἀφροδίτῃ χαλκός.* c. *τὸ δὲ σαφὲς οὕτω· πολυώνυμε καὶ τιμία Θεία, σοῦ χάριν καὶ ἄγαν ἰσχυρὸν τὸν χρυσὸν ἐνόμισαν οἱ ἄνθρωποι περισσῶς τῶν ἄλλων κτημάτων. καὶ γὰρ ἐν θαλάττῃ ναῦς ἀμιλλώμεναι, οἱονεὶ ἐμπορευόμεναι, καὶ ὑπὸ τοῖς ἅρμασιν ἵπποι, καὶ πάλιν κατὰ κοινοῦ τὸ ἀμιλλώμενοι, διὰ τὴν σήν, ὦ δέσποινα, τιμήν, τὸν χρυσόν, ταῖς κατὰ θάλασσαν ἁμίλλαις θαυμαστοὶ καὶ ἔνδοξοι γίνονται· καὶ ἐν τοῖς ἀγωνιστικοῖς ἄθλοις ἐπέραστον δόξαν ἐσχήκασιν, ἐάν τινα πλεῖστοι στέφανοι ταῖς χερσὶν ἀγωνισάμενον καὶ νενικη-*

3 EM 449, 15. sch. Hesiod. theog. 135. 371

1 *τέκε*] *τε* codd. Hes., Tricl. *σελήνη* B 4 *τῷ* B: *τῇ* D 6 *τοῦ* B: *τῷ* D *φασὶν αὐτὴν* D *ὀνοματοποιεῖσθαι* B *ἐν φορᾷ* D: *ἐφορᾷ* B 9 *σέο* D: *σοῦ* B 11 *τεκμηροῖ* B 12. 13 *ἐγκωμιαζομένους* B: *ἀγωνιζομένους* D 16 *ἄρεϊ* B: *εὕρεϊ* D *μόλιβος* B 20 *ναῦς* D: *νῆες* B *ἐκπορευόμεναι* D 21. 22 *τὸ ἀμιλλώμενοι* D: *διαμιλλώμενοι* B 23 *κατὰ θάλασσαν* h. l. ineptum; del. et lac. stat. b *ταῖς* ⟨*κατὰ γῆν καὶ θάλασσαν ταχείαις*⟩ *ἁμ.* cj. Abel 25 *ταῖς* om. D *ἀγωνισάμενον* b: *ἀγωνισάμενοι* BD *νενικότες* (sic) B

κότα ἀναστέψωσι κατὰ τὰς κόμας, νικήσαντα δὲ ἢ χερσὶν ἢ ποδῶν ταχυτῆτι. d. ἄλλως. ἐνομίστευσαν. σοῦ, φησίν, εἵνεκα, ὦ Θεία, καὶ τὸν χρυσὸν τετιμήκαμεν καὶ νηῶν καὶ ἵππων δρόμους ἐθαυμάσαμεν. εἰ γὰρ μὴ ἐθεώμεθα, οὐκ ἂν ταῦτα ἐτεθήπειμεν.

9. ἔν τ' ἀγωνίοις ἀέθλοισι: τοῦτο οἰκείως ἐπὶ τῶν ἵππων καὶ τῶν ἁρμάτων· ἐπάγει δέ, κλέος ἔπραξεν· ἔθος γὰρ Πινδάρῳ ἀπὸ πληθυντικοῦ εἰς ἑνικὸν ἀποπίπτειν ἀριθμόν. B

13a. κρίνεται δ' ἀλκά: πρόσεστι δύναμις διὰ τοὺς θεούς. B

b. ἄλλως. ἤτοι δοκιμάζεται ἢ χωρίζεται ἡ τῶν ἀνδρῶν ἀλκὴ τῇ τῶν θεῶν εὐμενείᾳ. B

14a. δύο δέ τοι ζωᾶς ἄωτον: τὸ εὖ πάσχειν καὶ τὸ λόγον ἀκούειν δύο ὄντα ποιμαίνουσι καὶ παραθάλπουσι τὸν ἀνέλπιστον τῆς ζωῆς ἄωτον, τουτέστι τὸν δυσέλπιστον, ὡς ἀπρόσωπον τὸν κακοπρόσωπον. γράφουσι δὲ ἔνιοι τὸν ἄλπνιστον, τουτέστι τὸν ἥδιστον καὶ προσηνέστατον· ταύτῃ δὲ τῇ γραφῇ καὶ τὰ τῆς ἀντιστρόφου φασὶ συνᾴδειν. b. ὁ δὲ νοῦς οὕτω· δύο δὲ μόνα τῆς ζωῆς κάλλιστα ἀπανθίσματα τυγχάνει, ἃ καὶ μόνα ποιμαίνει τὸν οἰκτρὸν τῶν ἀνθρώπων βίον ἀνθηρᾷ σὺν εὐδαιμονίᾳ, εἴ τις καλῶς πάσχων καὶ ἀγαθὸν ἀνυμνηθεὶς ἀκούει λόγον. ἤτοι δὲ καθολικώτερος ὁ λόγος πρὸς τοὺς τῇδε τὴν ψυχὴν ἔχοντας, ἢ πρὸς τὸν νικηφόρον ὡς εὐδαιμονοῦντα καὶ ἐγκωμιαζόμενον.

18a. μὴ μάτευε Ζεὺς γενέσθαι: ὅτι ἀκαταλλήλως ἐπέζευξεν. ἔμπροσθεν γὰρ περί τινος ὁ λόγος· εἴ τις εὖ πάσχει, φησίν· εἶτα ὡς πρός τινα ποιούμενος τὸν λόγον φησί· μὴ μάτευε Ζεὺς γενέσθαι. b. ὁ δὲ νοῦς· μὴ ἐπιζήτει θεὸς γε-

14 Hes. Suid. ἀπρόσωπος Cfr. EM 141, 58. 433, 44

1 κώμας D 2 ἐνομίστευσαν scripsi: ἐνομιτευσαν D ἐνομίσαμεν B ⟨μεγασθενῆ⟩ ἐνομίσαμεν b 3. 4 ἵππους δρόμων D (-ων in ἵππων aegre legitur in B) 4 ἐθαυμασαμεν D: ἐθεασάμεθα B γὰρ om. B ἐθεώμεθα, ταῦτα οὐκ ἂν ἐτεθ. B 5 ἐτεθήπαμεν D 12 δύω D 13 λόγον ⟨ἐσθλὸν⟩ b 20 ἀγαθῶν et (21) λόγων B 21 ἀκούσει D 25 πάσχοι B 26 εἶτα B: εἴ τινα D 27 ὁ δὲ νοῦς — γενέσθαι om. B

νέσθαι· ἀπόχρη γάρ σοι τῆς εὐδαιμονίας τὸ μέγεθος, ἐάν σε τούτων τῶν καλῶν μερίς τις καταλάβῃ· τοῖς γὰρ φθαρτοῖς ἐφάμιλλα τῇ φύσει προσήκει καὶ τὰ τῆς εὐδαιμονίας παρεῖναι.

21a. *τὶν δ' ἐν Ἰσθμῷ διπλόαν*: σοὶ δὲ ἐν τῷ Ἰσθμῷ διπλῇ θάλλουσα, ὦ Φυλακίδα, ἀρετὴ εὐδόξως ἀνάκειται, ἐν δὲ τῇ Νεμέᾳ ἀμφοτέροις ὑμῖν, σοί τε καὶ τῷ Πυθέᾳ παγκρατίου, ἀπὸ κοινοῦ ἀρετὰ ἀνάκειται. ἡ δὲ ἐμὴ ψυχὴ γεύεται, φησί, τῶν ἐγκωμίων οὐκ ἄνευ τῆς τῶν Αἰακιδῶν μνήμης· Αἰγινῆται γὰρ ἀμφότεροι. b. οἷον ἐπιπνέουσί μοι οἱ Αἰακίδαι εἰς τὸ ὑμνεῖν ὑμᾶς· Αἰγινῆται γὰρ οἱ περὶ τὸν Φυλακίδαν.

c. ἢ οὕτως· οὐ χωρὶς τοῦ τοὺς Αἰακίδας συμπεριλαμβάνειν τοῖς ὑμετέροις ὕμνοις ὑμνῶ ὑμᾶς, ἀλλὰ μεθ' ὑμῶν κἀκείνους ὑμνῶ. σὺν γὰρ ταῖς μουσικαῖς Χάρισι παρεγενόμην καὶ σὺν τοῖς τοῦ Λάμπωνος υἱοῖς εἰς ταύτην τὴν εὔνομον πόλιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ σὺν Χάρισι καὶ Λάμπωνος υἱοῖς.

28a. *εἰ δὲ τέτραπται θεοδότων ἔργων κέλευθον*: τὸν λόγον πρὸς ἑαυτὸν ἀποτείνεται ὁ Πίνδαρος. εἰ δὲ τούτων ὁ βίος καθορᾷ εἰς ὁδὸν καθαρωτάτην θείων ἔργων, μὴ φθόνει τὸν ἀντὶ τῶν πόνων καὶ κατορθωμάτων προσήκοντα τῇ ᾠδῇ ὕμνον ἀνακιρνᾶν καὶ λέγειν. b. οἷον μὴ φθόνει αὐτῷ ἐν τῷ ἐπαινεῖσθαι καὶ ἀπολαύειν τοὺς ἐξ ἐκείνων κόμπους, ἀνθ' ὧν ἐπόνησεν.

32. *καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταί*: καὶ γὰρ τῶν ἡρώων οἱ ἀγαθοὶ καὶ ἀνδρεῖοι τὸν ἐγκωμιαστικὸν λόγον καὶ μετὰ τὸν θάνατον παρὰ τῶν ποιητῶν ἐκέρδαναν, ὑμνοῦνται δὲ [πάντα τὸν χρόνον] ἔν τε κιθάραις καὶ αὐλῶν ταῖς ποικίλαις συμφωνίαις διὰ παντὸς τοῦ χρόνου.

36a. *μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι*: σοφιστὰς μὲν

---

28 Hes. σοφιστήν. Phot. Suid. σοφιστής

---

3 καὶ τὰ B: κατὰ D 4 l. D: τὶν δ' ἐν ἰσθμῷ B 7 ἀποκοινῶς D ἀρεταὶ ἀνάκεινται D 8 μνήμης B: γνώμης D 9 μοι] με D[1] 12 ἡμετέροις D ὑμνῶ B: ὑμνῶν D 16 l. D: εἰ δὲ τέτραπται B 21 ἀπολαύειν D: ἀπολαμβάνειν B 26 damn. Lehrs Pindarsch. p. 13 κιθάρᾳ B 28 l. D: μ. δὲ σοφ. B

καὶ σοφοὺς ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς (fr. 820)· μέν' εἰς σοφιστὴν ἐμόν. b. ὁ δὲ νοῦς· τοῖς δὲ σοφοῖς ἀνδρισάμενοι παρέσχοντο τὴν τῶν ἐγκωμίων φροντίδα, καὶ διὰ τὴν τοῦ Διὸς γνώμην τιμώμενοι τήνδε τὴν τῶν | ἐγκωμίων φροντίδα B καὶ σύνθεσιν. τὸ γὰρ σεβιζόμενοι ἀντὶ τοῦ θαυμαζόμενοι, τιμώμενοι, | σεβόμενοι. καὶ τὸ τοὺς θεοὺς δὲ σέβεσθαι θαυμά- BD ζειν ἐστίν. Ὅμηρος (γ 123)· σέβας μ' ἔχει εἰσορόωντα, ἀντὶ τοῦ ἔκπληξις καὶ θαῦμα.

38. *ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς*: καὶ ἐν μὲν ταῖς τῶν Αἰτωλῶν θυσίαις καὶ πανηγύρεσι ταῖς ἐπιδόξοις καὶ λαμπραῖς οἱ τοῦ Οἰνέως παῖδες ἀνυμνοῦνται οἱ ἰσχυροί, ἐν δὲ ταῖς Θήβαις ὁ ἱππικώτατος Ἰόλαος τιμὴν ἔχει, ὁ δὲ Περσεὺς ἐν Ἄργει, τοῦ δὲ Κάστορος καὶ Πολυδεύκους ἡ αἰχμὴ ἐπὶ τοῖς Εὐρώτα ῥεύμασι· πάλιν ἀπὸ κοινοῦ τὸ γέρας ἔχει.

44a. *ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ Αἰακοῦ*: τουτέστιν ἐν τῇ Αἰγίνῃ· οὕτω γὰρ τὸ πρότερον ἐκαλεῖτο πρὶν ἢ ὑπὸ Διὸς Αἴγιναν τὴν Ἀσωποῦ τοῦ Βοιωτιακοῦ ποταμοῦ θυγατέρα αὐτόθι ἐνεχθῆναι. b. ὁ δὲ νοῦς· ἀλλ' ἐν τῇ Αἰγίνῃ οἱ μεγαλόψυχοι καὶ ἀνδρεῖοι τρόποι τῶν Αἰακοῦ παίδων ἀνυμνοῦνται καὶ τιμιώτατοι τυγχάνουσιν, οἵτινες ταῖς ἑαυτῶν συμμαχίαις τὴν τῶν Τρώων ἐπόρθησαν πόλιν, τὸ μὲν πρότερον συστρατεύσαντες Ἡρακλεῖ διὰ τὴν Λαομέδοντος ἀδικίαν, ὡς καὶ Ὅμηρος ἱστορεῖ λέγων (Ε 640)·

ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος·

τὸ δὲ δεύτερον σὺν τοῖς Ἀτρείδαις. πάλιν δὲ τῷ συλληπτικῷ τρόπῳ κέχρηται· οὐ γὰρ οἱ αὐτοὶ δὶς ἐπόρθησαν τὴν Ἴλιον,

---

5 Hes. σέβας, σεβιστόν, al. Ap. soph. 140, 30 Eustath. ad Δ 242, p. 468, 14 16 Apollod. 3, 12, 6, 6. Hygin. fab. 52

---

4 τὴν om. D ἐγκωμίων — 6 τιμώμενοι om. D. Locus vix sanus 7 μ' ἔχ' D ἐσορόωντα B? 9 l. D: ἐν — θυσίαισι B καὶ — 10 θυσίαις om B 12 ὁ ἱππικώτατος r: ὀπτικώτατος D ἰκπικώτατος B 14 εὐρώτ(ου?) B P 15 l. D: ἀλλ' — μεγαλήτορες B 17 ὑπὸ r: ἀπὸ B? (aegre legitur) D βοιωτικοῦ r 18 ἐνενεχθῆναι r (B l. n) 22 ἱστορίαν ἀδικίαν B[ac] (del. ἱστορίαν) 24 δεῦρ' D: δεύτερ' B 25 τοῖς om. B[1] 26 τρόπῳ om. D οἱ om. B

ἀλλὰ Τελαμὼν μὲν σὺν Ἡρακλεῖ, Νεοπτόλεμος δὲ σὺν Ἀτρείδαις· τὸ δὲ ἑκατέρῳ συμβὰν λαβὼν εἰς ἓν ἔφη.

48a. ἔλα νῦν μοι πεδόθεν, λέγε: ἔλα νῦν μοι, ὦ Μοῦσα, ἐπ' εὐθείας ὁδοῦ καὶ δι' ὁμαλοῦ· τοῦτο γὰρ τὸ πεδόθεν· τά τε τούτων ἐγκώμια ἐξ ἀρχῆς ἀνύμνησον καὶ λέγε, τίνες τὸν Κύκνον καὶ τὸν Ἕκτορα ἀνεῖλον καὶ τὸν τῶν Αἰθιόπων ἡγεμόνα Μέμνονα τὸν τῷ χαλκῷ τοῖς ἐναντίοις προσομιλοῦντα, ἤτοι τὸν πολλοὺς χαλκῷ ἀνελόντα ἢ τὸν ὑπὸ χαλκοῦ βλαβέντα· ἑκάτερον γὰρ παρὰ τὴν ἀρήν· τίς δὲ τὸν ἀνδρεῖον Τήλεφον ἔτρωσε τῷ ἑαυτοῦ δόρατι τοῦ τῆς Μυσίας ποταμοῦ Καΐκου παρὰ τὰς ὄχθας. εἶτα κατὰ ἀπόδοσιν ὁ λόγος· οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. b. ἄλλως. πρὸς τὴν Μοῦσαν ὁ λόγος· λέγε μοι τὰ περὶ αὐτούς, φησίν, ἐκ ῥιζῶν. ἢ ἔλα κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν νεῶν· πρόαγε εἰς τοὔμπροσθεν ἀρξάμενος ἄνωθεν καὶ ἐξ ἀρχῆς λέγε, τίνες εἰσὶν οἱ ἀνελόντες Κύκνον, Ἕκτορα, Μέμνονα. δῆλον δὲ ὡς εἷς τῶν Αἰακιδῶν, ὁ Ἀχιλλεύς.

55a. τοῖσιν Αἴγινα προφέρει στόμα: τουτέστι τοῖς προειρημένοις. κατὰ ἀπόδοσιν δὲ ὁ λόγος· οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. b. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· εἴ τις ἐρωτήσειεν αὐτούς, τίνες εἰσὶν οἱ τὰ προκείμενα διαπεπραγμένοι, πάντες ἂν εἴποιεν ὅτι οἱ ἀπὸ Αἰγίνης.

56a. τετείχισται δὲ πάλαι πύργος: κατεσκεύασται δὲ ἐκ πολλοῦ ταῖς τῶν Αἰακιδῶν ἀρεταῖς πύργος ὑψηλότατος τῷ ὕμνῳ ἀναβαίνειν καὶ ὑψοῦσθαι, ἐφ' ὅσον βούλεται. b. ἄλλως. τοσαῦταί εἰσι περὶ τοὺς Αἰακίδας αἱ ἀρεταί, ὥστε πύργον ἐξ αὐτῶν ᾠκοδομῆσθαι. ἀλληγορεῖ δὲ ὡς ἐπὶ τούτων πρότερον· διὸ καὶ τεῖχος ὑψηλὸν εἶπε. θέλει δὲ εἰπεῖν, ὅτι ὑφέστηκεν

3 l. D: ἔλα—πεδόθεν B 4 δι' om. D 8 τὸν (pr.) B: τοὺς D 9 τὸν ἄρην cj. h τῶν ἀνδρείων B[ac] 11 ἀπόστασιν B (cfr. 19) 17 ἀχιλεύς B, om ὁ 18 προσφέρει D 20 21 ὃ βουλ. δὲ D 22 εἴποιμεν D 27 αἱ om. B 28 οἰκοδομεῖσθαι B ἀλληγορεῖ—29 εἶπε vix sana esse vidit b

αὐτοῖς ἡ εὐδοξία, ὥστε διὰ τῆς ἀρετῆς ἐπ' αὐτὴν ἀναβαίνειν. c. οἷον ὑψοῦται αὐτῶν ἡ ἀρετὴ ὥσπερ τεῖχος· οὗτος γὰρ τὴν αὔξησιν πύργον καὶ τεῖχος εἴωθε λέγειν, ἀφ' οὗ πυργοῦν τὸ αὔξειν καὶ ὑψοῦν λέγεται.

58. πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει: τοξεύματα μεταφορικῶς λέγει τοὺς ἐγκωμιαστικοὺς λόγους, ὡς καὶ ἐν ἄλλοις (O. II 83)· πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη.

60a. καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι: ἤτοι τῷ Πελοποννησιακῷ πολέμῳ· ἤκμαζε γὰρ κατὰ τὴν τούτων νίκην· ἢ ὅτι μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν προσφάτως γεγενημένην ἐγράφη οὗτος ὁ ἐπίνικος. b. ὁ δὲ νοῦς τοιοῦτος· καὶ ἐπὶ τοῦ παρόντος ⟨ἐν⟩ τῷ πολυφθόρῳ πολέμῳ τῇ τῶν Αἰγινητῶν ἀρετῇ μαρτυρήσειεν ἂν ἡ Σαλαμὶς ἀνορθωθεῖσα ⟨ἐκ⟩ τῶν κινδύνων τοῖς Αἰγινήταις κατὰ τὴν ναυμαχίαν ἀριστεύσασιν. ἐμβαλόντων γὰρ τῶν Περσῶν τῇ Σαλαμῖνι συμμαχήσαντες οἱ Αἰγινῆται καὶ κατορθώσαντες τὸ πλεῖον τοῦ πολέμου κατειργάσαντο. c. ἢ οὕτω· καὶ γὰρ ἐν τῷ Ἄρει καὶ τῷ χαλαζήεντι Διὸς ὄμβρῳ καὶ τῷ πολυφθόρῳ τῶν ἀναρίθμων ἀνδρῶν φόνῳ μαρτυρήσειεν ⟨ἂν⟩ ἡ πόλις τοῦ Αἴαντος Σαλαμὶς ὀρθωθεῖσα ὑπὸ τῶν ναυτῶν τῶν Αἰγινητῶν· νησιῶται γάρ.

63a. ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ: ὄμβρον μὲν τὸν πόλεμον εἴρηκεν, οἷον τὸν ὑπὸ τοῦ θεοῦ καταπεμφθέντα, διὰ τὸ τῆς βαρβαρικῆς στρατιᾶς πλῆθος. ὑπαινίττεται δὲ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ἑλλήνων, ἧς ἔλαβον τὰ ἀριστεῖα οἱ Αἰγινῆται, καθά φησιν Ἡρόδοτός (VIII 93) τε καὶ Ἔφορος (FHG I 265 M., II 96 J.). b. ὁ δὲ νοῦς· ἐν ᾧ,

3 cfr. fr. 213. — Hes. Suid. πυργοῦται. Suid. πυργώσας; sch. Ar. ran. 1004 6 sch. O. II 159a—c

1 αὐτὴν B: αὐτὸν D 5 l. D: πολλὰ μὲν ἀρτιεπής B 6 τοὺς ἐγκ. λόγους λέγει D Tricl. 8 l. D: καὶ — ἄρει B πελοπον(ν)ησιακῷ BD: περσικῷ b 9 πολέμῳ om. D ἤκμαζε] sec. b ὁ περσικὸς πόλεμος, sec. Bergkium ὁ πίνδαρος, ut τούτων ad Persas referatur 11 suppl. h 13 suppl. b 16 πλέον D 18 suppl. b 19 ναυτῶν B: αὐτῶν D 22 τοῦ om. D 24 δὲ om. D τῶν ἑλλ. ναυμ. D

ἐν τῷ πολυφθόρῳ πολέμῳ, τὸ τῶν πεπτωκότων πλῆθος ἰσάριθμον ἦν τῷ χαλαζήεντι Διὸς ὄμβρῳ.

65. *ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ:* ἀλλ' ὅμως εἰ καὶ τηλικαῦτά εἰσι τῶν Αἰγινητῶν τὰ κατορθώματα, βρέχε καὶ ἐπικάλυπτε τῇ σιωπῇ διὰ τὸν ἔξωθεν φθόνον· ὁ γὰρ δὴ Ζεὺς τὰ πάντα τοῖς ἀνθρώποις ἀπονέμει, καὶ τὰ ἀγαθὰ καὶ τὰ φαῦλα.

67a. *ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιάδε τιμαί:* ἔνιοι οὕτως· ἐν τοιούτῳ μέλιτι καὶ ἡδονῇ ὄντες καὶ τοιαύτῃ τιμῇ τὸ ἐπίνικον χάρμα ἀγαπῶσιν, ὅ ἐστι τὸν ὕμνον. b. ἢ οὕτως· αἱ τῶν νικηφόρων τιμαὶ τὴν ἐπινίκιον ᾠδὴν ἀγαπῶσι καὶ φιλοῦσιν ὡς μέλι· οἷον ὡς ἐν μέλιτι ἡ γλυκύτης ἐστὶν, οὕτω καὶ τοῖς νικῶσιν αἱ ἐπινίκιοι ᾠδαί. c. ἢ οὕτω· καὶ αἱ τοιαίδε τιμαὶ, καίπερ ἐν μέλιτι οὖσαι, τουτέστιν ἥδουσαι, ὅμως ἀγαπῶσι τὸ καλλίνικον χάρμα, τουτέστι τὴν ἐκ τῶν γεγραμμένων ἐπινίκων χαρὰν ἀγαπῶσι. τιμὰς γὰρ λέγει τὰς ἐκ τῶν νικῶν περιγινομένας δόξας. d. ὁ δὲ νοῦς οὕτως· ἐν δὲ τοιαύτῃ B τοῦ λόγου ἡδονῇ καὶ τῇ τῶν | κατορθωμάτων τιμῇ τὸ τῆς νίκης ἐγκώμιον ἀγαπητῶς καὶ οὐχ ὑπεροπτικῶς δέχονται, καίτοι BD παρὸν αὐτοῖς ἀλαζονεύεσθαι ἐπὶ τῇ τῶν | κατορθωμάτων τιμῇ.

70. *μαρνάσθω δέ τις ἔρδων:* ὁ λόγος προστακτικός. ἀγωνιζέσθω, φησί, τὶς ἐν ἀγῶσι καὶ ἀντεχέσθω τῶν ἄθλων, τοῦ Κλεονίκου τὸ γένος ζηλώσας· Κλεόνικος δὲ πατήρ ἐστι τοῦ Λάμπωνος, ὁ δὲ Λάμπων τοῦ Φυλακίδα· οὐδαμῶς γὰρ ἀποκέκρυπται καὶ ἀφανής ἐστιν ἡ τῶν πολυχρονίων πόνων σπουδή.

---

1 πεπτωκότων] φονευόντων mallet Hartung 2 post ὄμβρῳ finem sch. J. VII 37a ταῦτα — ἠνδραγαθηκότος inser. b 4 τηλικαῦτα B: τοιαῦτα D τὰ τῶν αἰγ. κατορθ. D βρέχε B: ἤτοι βρέχε D 6. 7 τὰ φαῦλα καὶ τὰ ἀγαθά B, om. ut vid. priore καὶ 8 l. D: ἐν — μέλιτι B 9 καὶ τιμῇ τοιαύτῃ τὸ B 10 ὅ ἐστι B?r: ὅτι D 11 ἀγαπῶσι — 12 μέλι D Tricl.: ἀγαπῶσιν ὡς μέλι καὶ φιλοῦσιν B 12 ἡ om. B 13 τοιάδε D 14 ὅμως B: οὕτως D 18 κατορθωμάτων — 20 τῶν om. D 18 τιμῇ a: νίκῃ ἢ τιμῇ B 21 δὲ a textu abest ἔργων D 25 ἀποκέκριπται D

73. *οὐδ᾿ ὁπόσαι δαπάναι ἐλπίδων*: Ἀρίσταρχος οὕτως· οὐδὲ ὁπόσαι δαπάναι αὐτοῖς ἐγενήθησαν ἐπὶ τῶν ἐκβεβηκυιῶν ἐλπίδων τῶν περὶ τὴν νίκην, ἔκνισα τῇ φωνῇ, οὐδὲ ἐλυπήθην τῇ φωνῇ, ἀλλὰ τοὐναντίον ὕμνησα αὐτούς. ἔνιοι δὲ καταλληλότερον γράφουσι σὺν τῷ ν ἔκνιξ᾿ ὄπιν, ἵν᾿ ᾖ Πινδαρικὸν σχῆμα· οὐκ ἔκνιξαν αἱ δαπάναι οὐδὲ ὁ μόχθος αὐτῶν τετύφλωται, ἀλλὰ ὀξυδερκεῖ καὶ ἔχει καλὰ ἀποτελέσματα. ὥστε εἶναι· οὐδὲ ὁπόσαι δαπάναι τὴν τῶν ἐλπίδων ὄπιν, τουτέστι τὸ μέλλον ὀπίσω ἔσεσθαι, ἔκνισαν καὶ ἐλύπησαν.

75a. *αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις*: οὗτος ὁ Πυθέας ἐπεστάτησε τοῦ Φυλακίδα καὶ ἤλειψεν αὐτόν, ἤτοι ἀδελφὸς ὢν τοῦ Φυλακίδα ἢ καὶ ὁμώνυμός τις τούτῳ. ἐπαινῶ οὖν, φησί, καὶ τὸν ἀλείπτην αὐτοῦ τοῖς πόνοις τοῖς γυιοδάμαις ποιήσαντα τὸν τῶν πληγῶν δρόμον εὐθυπορῆσαι. παγκρατιαστὴς γάρ, διὸ εὐθυπόρουν αἱ πληγαί. b. ἤτοι τὴν τῶν πληγῶν ὁρμήν τε καὶ σπουδὴν πληγῶν δρόμον φησίν, ἵνα λέγῃ τὸ παγκράτιον· συνεχεῖς γὰρ αἱ τῶν χειρῶν ἐξορμήσεις.

c. ἐν γυιοδάμαις δέ, τοῖς ἀθληταῖς τοῖς τὰ γυῖα τῇ γυμνασίᾳ καταπονοῦσιν, ἢ τοῖς καταπονοῦσι τὰ τῶν ἐναντίων γυῖα.

77a. *χερσὶ δεξιόν, νόῳ ἀντίπαλον*: τουτέστιν ἴσα ἐπιτεύγματα ἔχοντα ἐν τῷ νοεῖν καὶ τοῖς ἐπιτεύγμασι τῶν χειρῶν. b. οἷον καθ᾿ ἑκάτερον ἐπίσης ἐπιδέξιον.

78. *λάμβανέ οἱ στέφανον*: οἱ μὲν τὸν λόγον πρὸς τὴν Αἴγινάν φασιν εἶναι· ὑποδέχου αὐτῷ τὸν στέφανον· οἱ δὲ πρὸς τὴν Μοῦσαν. καὶ στέφανον μὲν τὸν ἐπίνικον λέγει, εὔμαλλον δὲ μίτραν τὴν ταινίαν τὴν ἐξ ἐρίου ξανθοῦ τοῖς στεφάνοις προσπλεκομένην.

---

1 l. D: οὐδ᾿—δαπάναι B οὗτος D 2 ἐγεννήθησαν D ἐκβεβηκηῶν D 3 ἐλυπήθην B: ἐλυπήθη D. Utrumque sensu cassum; ἐλύπησα Bergk οὐδὲ ἐλυπ. τῇ φωνῇ secl. Schnitzer de Pind. nup. emend. p. 71 5 ν̄ D: νῷ B ἔκνιζ᾿ D 10 γυοδάμαις D 11 φυλακίδα—12 ὢν τοῦ om. B 13 ἐν πόνοις τοῖς γ. πονήσαντα cj. Hartung πόνοις] + καὶ D 14 πληγῶν δρόμον h: πληγὴν δρόμου BD 21 ἐπιτάγματα B ἐπιτάγμασι B καὶ ⟨ἐν⟩ τοῖς cj. Abel 25 ἐπινίκων B

Scholia in Isthmionicarum carmen VI.

B *Τοῦ ἕκτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δεκατριῶν. τὸ α΄ ἰαμβέλεγος. τὸ β΄ τροχαϊκὸν εἰς ἴαμβον καταλῆγον. τὸ γ΄ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ δ΄ δακτυλικὸν ἑφθημιμερές. τὸ ε΄ ἴαμβος δίμετρος ὑπερκατάληκτος. τὸ ς΄ πενθημιμερὲς δακτυλικόν. τὸ ζ΄ δίμετρον ἰαμβικὸν ἀκατάληκτον μετὰ τοῦ ε΄ εὕρηται. τὸ η΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ ϑ΄ τροχαῖος ἐπίτριτος. τὸ ι΄ τρίμετρον τροχαϊκὸν καταληκτικόν. τὸ ια΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβ΄ βακχειακόν. τὸ ιγ΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.*

B *ἡ ἐπῳδὸς κώλων ια΄. τὸ α΄ ἐκ Σαπφικοῦ τοῦ ἑνδεκασυλλάβου Πινδαρικόν. ἡ τοι κοινή ἐστι. τὸ β΄ ἰαμβέλεγος τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετατεθέντος. τὸ γ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ΄ πενθημιμερές. τὸ ε΄ Εὐριπίδειον. τὸ ς΄ παρὰ τὸ Ἀρχιλόχειον· Ἐρασμονίδη Χαρίλαε. ἔστι δὲ συγκείμενον . . . . περιττεύοντος μιᾷ συλλαβῇ καὶ ἰθυφαλλικοῦ μεμειωμένου τοῦ ἰθυφαλλικοῦ ἑνὶ τροχαίῳ. τὸ ζ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η΄ ἐγκωμιολογικόν. τὸ ϑ΄ ἐγκωμιολογικὸν παρὰ συλλαβὴν μίαν τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. τὸ ι΄ παρὰ τὸ ια΄ Σαπφικόν . . . .*

---

3 *ἰαμβέλεχος* **B** *ἴαμβον* r: *ἰαμβικὸν* 7 *μετὰ — εὕρηται* sensu cassa; del. b, qui *μετὰ τὸ* librarium voluisse credebat 8 *τροχαῖος* scripsi: *τροχαϊκὸν ἐπίτριτον* Pauw ante *τὸ ι΄* del. *τὸ ϑ΄* **B** 9 *καταληκτικόν* Pauw: *ἀκατάληκτον* *δίμετρον* mg. Brub.: *τρίμετρον* 11 *ἡ — ια΄* add. m. rec. *ἑνδεκασυλλάβου* Pauw: *ια΄* **B** 12 *ἡ τοι* Pauw (h. e. syllaba ultima vocis *χρυσάρματοι* v. 19): *ἤτοι* **B**. *ἰαμβέλεχος* **B** 14 *πενθ.* ⟨*δακτυλικόν*⟩ Pauw 16 lac. ind., *ἐκ προσοδιακοῦ* suppl. Pauw (haud male); *ἐκ τριμέτρου δακτυλικοῦ* b (male) 20 *τὸ ι΄ — σαπφικόν* **B**: *τὸ ι΄ . . . . . τὸ ια΄ σαπφικόν* fere edd. *τὸ ι΄ ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον τὸ ια΄ σαπφ.* Brub.; tum mg. eiusdem (ad col. *ια΄*): *ἢ μᾶλλον ἀσυνάρτητον ἐκ βάσεως ἰαμβικῆς καὶ τροχαικοῦ εὐριπιδείου· εἴπερ ἄρα γνησία ἡ διαίρεσις αὕτη* [h. e. *κλέος | ἥρωος*]. Scribend. vid. *παρὰ τὸ ἑνδεκασύλλαβον σαπφικόν*, cl. col. primo epodi et mg. Brub. (cfr. Pauw). De mensura col. undecimi n. 1.

Inscr. *Πεποίηται ὁ ἐπίνικος οὗτος Φυλακίδᾳ καὶ Πυθέᾳ καὶ Εὐθυμένει παγκρατιασταῖς, ⟨Ἴσθμια⟩ καὶ Νέμεα. τῶν δὲ ῥηθέντων ὁ Εὐθυμένης οὗτος μητράδελφος ἦν.*

1. *Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου: ὥσπερ ἀκμάζοντος, φησί, συμποσίου καὶ δεύτερον κρατῆρα, οὕτω καὶ ἡμεῖς τοῖς Λάμπωνος υἱοῖς, θάλλουσι καὶ ἀκμάζουσι ταῖς νίκαις, καὶ δεύτερον στήσομεν κρατῆρα μουσικῶν ἐγκωμίων ὑπὲρ τῆς Λάμπωνος εὐάθλου γενεᾶς, τουτέστιν ὑπὲρ τῶν κατορθωμάτων τῶν Λάμπωνος υἱῶν.*

4. *ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον: δεξάμενοι, φησί, τὸ ἄνθος τῶν στεφάνων ἐν Νεμέᾳ, σοί, ὦ Ζεῦ, πρῶτον κίρναμεν κρατῆρα. ὁ πρῶτος οὖν κρατὴρ Διὸς Ὀλυμπίου, ὁ δεύτερος Γῆς καὶ ἡρώων, ὁ τρίτος Διὸς σωτῆρος.*

7. *νῦν αὖτ' ἐν Ἰσθμοῦ δεσπότᾳ: νῦν δὲ νικήσαντος ἐν Ἰσθμῷ, τουτέστι τὰ Ἴσθμια, τοῦ νεωτέρου Φυλακίδου, τῷ δεσπότῃ αὐτοῦ Ποσειδῶνι καὶ ταῖς Νηρεΐσι κίρναμεν τὸν δεύτερον κρατῆρα.*

10a. *εἴη δὲ τρίτον σωτῆρι πορσαίνοντας: ὁ λόγος εὐκτικός. εὔχεται δὲ τὸν τρίτον τῶν ᾠδῶν κρατῆρα κεράσαι, νικήσαντος αὐτοῦ τὰ Ὀλύμπια. τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ* (fr. 92)·

Ζεῦ πανσίλυπε, καὶ Διὸς σωτηρίου
σπονδὴ τρίτου κρατῆρος.

τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος. καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις (fr. 55)·

20—25 Hes. *τρίτος κρατήρ.* Phot. *τρίτου κρατῆρος.* sch. Plat. Phileb. p. 66d; Charm. p. 167a

---

1 *ἐπινίκιος* **B** **2** suppl. b **3** *ἦν* om. **D** **4—9** turbata (e duabus paraphrasibus?) **8** [*εὐά*]*θλ*[*ον*] **B**: *καθόλου* **D** **9** *τῶν λάμπωνος υἱῶν* **D**: *τοῦ λάμπωνος* **B** **14** l. **D**: *νῦν — ἰσθμοῦ* (*ἰσθμῷ* a. c.) **B** *ἰσθμῷ* Oxon. **21** *καθὸ* **D** **22** *πανσίλυπε* **D** (*π*[*αν*]*σιλυπε* **B**)

λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου
Ἥρας τε.

εἶτα·

τὴν δευτέραν γε κρᾶσιν ἥρωσιν νέμω·

εἶτα·

τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα.

Διὸς δὲ σωτῆρος ἔλεγον τὸν τρίτον διὰ τὸ τοὺς τοῦτον πίνοντας σταθεροὺς γίνεσθαι, τοὺς δὲ μετὰ τοῦτον εἰς ἄτην καὶ ἀνομίαν καὶ ἀσέλγειαν τρέπεσθαι. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον διὰ τὸ τέλειον εἶναι τὸν τρίτον ἀριθμὸν ἀρχὴν ἔχοντα καὶ μέσον καὶ τέλος. b ὁ δὲ νοῦς· εἴη δὲ ἡμᾶς καὶ τρίτον τῷ σωτῆρι καὶ Ὀλυμπίῳ Διῒ στῆσαι κρατῆρα καὶ ταῖς ἡδείαις ᾠδαῖς ἀνυμνεῖν τὴν Αἴγιναν. δύναται μὲν οὖν τοῦτο καὶ οὕτω· κατὰ Αἴγιναν σπένδειν· δύναται δὲ καὶ τὸ ἑξῆς· κατασπένδειν τὴν Αἴγιναν. χαριέντως δὲ τὸ κατασπένδειν ὡς ἐπὶ κρατῆρος καὶ σπονδῆς διόλου τροπικῶς ἐφυλάχθη. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· γένοιτο αὐτὸν καὶ Ὀλύμπια νικῆσαι.

14a. εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρείς: εἰ γάρ τις, φησί, τῶν ἀνθρώπων καὶ ἐπὶ τῷ δαπανᾶν εἰς τὰ τοιαῦτα χαρείς, καὶ οὐχ ὑποστειλάμενος δαπάνην, καὶ ἐπὶ τῷ πονεῖν τῷ ἰδίῳ σώματι, τουτέστι καὶ φιλοπονήσας, πράσσει τὰς θεοδμήτους ἀρετάς, ὅ ἐστι τὰς ὑπὸ θεῶν δεδομημένας καὶ κατεσκευασμένας, ὁ θεός τε αὐτῷ συμφυτεύει δόξαν· πάντων, φησί, τούτων μετέχων πρὸς ταῖς ἐσχατιαῖς τοῦ ὄλβου βάλλεται ἄγκυραν, οἷον ὁρμίζει ἐπ' ἄκρον τῆς εὐδαιμονίας, ὥστε μὴ ἂν πορρωτέρω δύνασθαι προελθεῖν τῆς εἰς ἄνθρωπον πιτνούσης εὐδαιμονίας. b. ὁ δὲ νοῦς· εἰ γάρ τις τῶν ἀνθρώπων ἐπὶ τῇ δαπάνῃ χαρεὶς καὶ ἡσθεὶς γλυκεῖαν ἔσχε τὴν ἔκβασιν, καὶ τὰς ἐκ θεῶν ἀρετὰς κατορθοῖ καὶ ἡ τύχη αὐτῷ ἐπιφύει δόξαν

9 Phot. τρίτος κρατήρ

4 γε B: τε D 6 διὸς] + τοῦ D 9 καὶ αὐτὸν τέλειον D 14 σπεύδειν D κατασπένδει D 19 τῶν om. D τῷ D: τὸ B 21 πράττει B 22 τὰς om. B ὑπὸ] + τῶν D 25 ἐπ' ἄκρων D εὐδαιμονίας—26 πιτνούσης om. D 27 τῶν om. B

ἐπέραστον, γινωσκέτω ἤδη πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς εὐδαιμονίας ἑαυτὸν προσορμίσας.

20. τοίαισιν ὀργαῖς εὔχεται ἀντιάσαις: τοιούτοις τρόποις, φησίν, εὐδαιμονίας ὁ τοῦ Κλεονίκου παῖς Λάμπων συντυχὼν εὔχεται λοιπὸν τόν τε θάνατον καὶ τὸ γῆρας δέξασθαι.

23. ἐγὼ δ' ὑψίθρονον Κλωθώ: ἐγὼ δὲ τὴν τιμίαν, φη ί, Κλωθὼ καὶ τὰς αὐτῆς ἀδελφὰς παρακαλῶ τελειῶσαι τὰς εὐχὰς αὐτοῦ, ὅ ἐστιν ἐπακοῦσαι καὶ ἐπακολουθῆσαι ταῖς εὐχαῖς τοῦ φίλου ἀνδρὸς καὶ τέλος ἐπιθεῖναι. προηύξατο δὲ καὶ Ὀλύμπια νικῆσαι καὶ τρίτον κρατῆρα κεράσαι. ἐφετμαὶ δὲ οὐ κυρίως αἱ εὐχαί, ἀλλ' αἱ ἐντολαί. εὐχὴ δὲ ἡ παρὰ τῶν ὑπερεχόντων αἴτησις.

27. ὑμέ τ' ὦ χρυσάρματοι Αἰακίδαι: ὑμᾶς τε, ὦ τίμιοι κατὰ τὰ ἅρματα Αἰακίδαι, νόμιμον καὶ σύνηθες εἶναί μοι λέγω σαφέστατον καὶ δῆλον εἰς μνήμην εἰσερχομένῳ τῆς Αἰγίνης πρότερον ἐγκωμιάζειν. ἵνα τὸ ὑπερβατὸν οὕτως ἔχῃ· ἐμοὶ δὲ τήνδε τὴν νῆσον ἐπιπορευομένῳ προτέρους ὑμᾶς, ὦ χρυσάρματοι Αἰακίδαι, νόμιμόν ἐστι ῥαίνειν τοῖς ὕμνοις καὶ ἐγκωμιάζειν.

31a. μυρίαι δ' ἔργων καλῶν: τῶν γὰρ ἀγαθῶν ἔργων, φησί, πολλαὶ καὶ μεγάλαι αἱ τῶν ἐγκωμίων ὁδοί, ὥστε καὶ πέρα Νείλου διαβαίνειν καὶ εἰς Ὑπερβορέους ἀκμητὶ καὶ ἀνεμποδίστως τὸ ἐγκώμιον. b. ἄλλως. ὁδοὶ πολλαί εἰσιν ἑκατόμπεδοι, τουτέστι μεγάλαι, καὶ κατὰ τὸ ἑξῆς φέρουσαι τῶν ὑμετέρων πράξεων εἰς τοὺς ὕμνους· ἐπὶ τὰ πέρατα ὑμῶν ἥκει ἡ εὔκλεια μέχρι Νείλου καὶ Ὑπερβορέων. τὰ δὲ ἑκατέρωθεν παρείληφε πέρατα, τὴν σύμπασαν οἰκουμένην θέλων εἰπεῖν.

---

3 ὀγαῖς D [ἀντι]άσας B 4 ὁ παῖς τοῦ κλ. B 10 προηύξατο scripsi: προσηύξατο BD 11. 12 οὐ κυρίως B: κυρίως οὐ κυρίως D 14 τε D: δὲ B 15. 16 εἶναι λέγω μοι D 17 ὑπερβατὸν B: ὑπερβατῶς D 18 τὴν νῆσον τήνδε D 21 μυρίων D 23 πέρα τοῦ ν. D 24 ἄλλως om. D 26 ἡμετέρων D

B 32a. *τέτμηνται*: κατώρθωνται. πρόκεινται.

D 32b. *τέτμηνθ' ἑκατόμπεδοι*: κατώρθωνται, πρόκεινται ἐφεξῆς πλατεῖαι οὖσαι.

34. *οὐδ' ἔστιν οὕτω βάρβαρος*: οὐδαμῶς δέ τις οὕτω βάρβαρος τυγχάνει οὐδὲ τὴν γλῶσσαν ἀλλόκοτος πόλις, ἥτις D τοῦ Πηλέως οὐ κατακούει τὴν δόξαν | ἥρωος εὐδαίμονος καὶ γαμβροῦ τῶν θεῶν.

38. *οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα*: οὐδὲ ἥτις πόλις τοῦ Τελαμῶνος τοῦ Αἰακοῦ παιδὸς καὶ τοῦ πατρός· εἶτα ἀπὸ κοινοῦ, οὐ κατακούει τὴν δόξαν· ὅντινα Τελαμῶνα εἰς ἰσχυρότατον πόλεμον συνεπήγαγε σὺν τοῖς Ἀργείοις αὐτοῦ ὑπηρέταις ὁ Ἡρακλῆς πρόθυμον ὄντα σύμμαχον καὶ μεγάλην βλάβην τοῖς κατὰ τὴν Τροίαν οἰκοῦσιν ἥρωσι τῶν τοῦ Λαομέδοντος ἁμαρτιῶν χάριν. ὁ γὰρ Ἡρακλῆς μετὰ Τελαμῶνος δοκεῖ κατειργάσθαι τὰ πολλά.

45a. *εἷλε δὲ Περγαμίαν*: καὶ ἐπόρθησε τὴν Πέργαμον, φησίν. οὕτω γὰρ τὴν τῶν Τρώων ἀκρόπολιν λεγομένην εἶπεν, D ὡς | καὶ Ὅμηρος μνημονεύει (Ε 446)· Περγάμῳ ἐν ἱερῇ· σὺν δὲ τῷ Τελαμῶνι ἀνεῖλε τὰ πλήθη τῶν ἐν τῇ Κῷ ἐθνῶν. ταύ- BD της δὲ τῆς ἱστορίας | καὶ Ὅμηρος μνημονεύει (Ξ 255, Ο 28)· καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένειχας. b. ὁ δὲ νοῦς· σὺν δὲ τῷ Τελαμῶνι καὶ τὰ τῶν Κῴων ἔθνη καταγωνισάμενος ἀνεῖλε.

47a. *καὶ τὸν βουβόταν οὔρεϊ ἶσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ*: Φλέγρα τῆς Θρᾴκης χωρίον. διέτριβε δὲ ὁ Ἀλκυονεὺς κατὰ τὸν Θρᾳκικὸν Ἰσθμόν. b. βουβόταν δὲ τὸν βουκόλον φησί, παρόσον τὰς Ἡλίου βοῦς ἀπήλασεν· ὅθεν καὶ

---

17 sch. Δ 508. Eust. ibid. et ad Ε 446. Ap. soph. 130, 16. Hes. Πέργαμον 27 Apollod. 1, 6, 1, 4

---

4 τις in B l. n.; ἐστιν r, om. 5 τυγχάνει, quod in B aegre legitur 8 τελαμωνίδα B ἥτις] + ἡ D 15 τὰ om. D 17 τρώων B?D: πόλεων r 18 καὶ ὅμηρος — 20 ἱστορίας om. B 22. 23 κατηγωνισάμενος D 25 ἀλκυονῆ et 26 ἀλκυονεὺς (sed p. 255, 5 ἀλκυονέα) D 27 — p. 255, 3 in B passim male habiti 27 τὰς B: τῆς D

ὁ πόλεμος θεῶν πρὸς τοὺς Γίγαντας. c. τὸ δὲ οὐκ ἐφείσατο ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνει· οὐκ ἐφείσατο, ἀλλ' ἐχρήσατο· οἷον ἐπεδαψιλεύσατο πολλοὺς τῶν πολεμίων τοξεύσας ὁ Ἡρακλῆς. d. ὁ δὲ νοῦς· ἐν δὲ τῇ Φλεγραίᾳ Ἡρακλῆς ἰδὼν τὸν Ἀλκυονέα τὸν ἐκτράπελον καὶ τερατώδη τὸ σῶμα οὐκ ἐφείσατο τοῦ ἑαυτοῦ τόξου καὶ ἔμενεν, ἀλλὰ τὸν Αἰακοῦ παῖδα τὸν Τελαμῶνα εἰς τοῦτον τὸν πλοῦν καὶ ταύτην τὴν συμμαχίαν καλῶν ἔτυχεν ἀνευρὼν εὐωχούμενον τὸν Τελαμῶνα.

e. ἄλλως. ταῦτα ⟨οὐκ⟩ ἀπήρτισται τὸ κατάλληλον οὐκ ἔχοντα, ἃ δὴ ὁ Ἀρίσταρχος σημειοῦται. καὶ εἰσὶν οἳ κεχιάσθαι φασίν, ὅτι ἰδίως ἐπιβέβληκεν ὡς ἐν διαστολῇ τοῦ οὐ φείσατο· ἀλλ' Αἰακίδαν καλέων· ἀνατρέχων ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας. οὐκ ἔστι δὲ ἴδιον, ἐὰν ὁ ἀλλά ἀντὶ τοῦ δέ τάσσηται· Αἰακίδαν δὲ καλέων. νῦν ἄρχεται τῶν ἐπὶ μέρους, ἀκριβῶς τὸ ὅλον προεκθείς.

53a. τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα: τοῦτο ἰδίως. οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἠοιῶν ἡ ἱστορία (fr. 140)· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος, καὶ οὕτως ὁ διόπομπος αἰετὸς, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας.

b. ἔνιοι δὲ οὕτως ἀκούουσι· τοῦτον μὲν ⟨ἐν⟩ ῥινῷ λέοντος ἰδὼν ὁ Τελαμὼν τὸν Ἡρακλέα ἄφνω ἐφεστῶτα ἐν τῇ δορᾷ παρεκελεύσατο αὐτῷ, ὡς ἧκεν ἐκ τῆς ὁδοῦ, σπένδειν· τουτέστι

2 τὸ ἐναν[τίον ....] ἢ | σημαίνει B 4 ἰδ[ὼν] B: εὑρὼν D 5 τὸν (alt.) D: μέγαν καὶ r (B l. n., sed plura quam τὸν habuisse vid.) 6 καὶ—τὸν in B legi nequeunt (καὶ et τὸν legit r; ἔ[μενεν] fuisse vid.) ἔμεινεν mallet a; locus suspectus 8 καλῶν in B l. n., om. r ἀνευρὼν Wiskemann p. 26: ἀνευρεῖν BD 9 suppl Lehrs Pindarsch. p. 106 11 οὐκ ἐφείσατο B 13 δέ (alt.) D: δή B τάσσεται D 14 καλῶν B 16 στάντα B: πάντα D 19 ἠοιῶν mg. Brub.: νυιῶν B νόων D 20 εὑρίσκεται] + ὅτι D 21 οὕτως BD: οὗτος b lac. stat. Kinkel οὕτως ante καὶ trp. Wilamowitz Pind. p. 183 (probabiliter) 23 τοῦτον] an τὸ τὸν? suppl. b

μὴ ἀποθέμενον τὸ δέρμα, ἀλλ' ὡς εἶχεν ἄρξασθαι τῶν σπονδῶν· ὡς ὅμοιον εἶναι τῷ (*Σ* 392)·

Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.

c. *ὁ δὲ νοῦς· τοῦτον μὲν οὖν τὸν Ἡρακλέα σὺν τῇ τοῦ λέοντος δορᾷ στάντα ἐκέλευσεν ὁ Τελαμὼν σπονδῶν ἀπάρξασθαι καὶ θῦσαι τοῖς θεοῖς.*

58a. *ἄνδωκε δ' αὐτῷ φέρτατος οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν: Ἀρίσταρχος ἐκ μεταφορᾶς τῶν κάπρων φησὶν εἰρῆσθαι· φρίξας εὖ λοφιήν* (*τ* 446)· *ὡς ἐξοχὰς ἐχούσης τῆς φιάλης καὶ τετραχυμμένης τῇ ποικιλίᾳ τοῦ χρυσοῦ, καθαπερανεὶ πεφρικότα κάπρον. ἵν' ᾖ ὅμοιον τῷ* (*N* 339)·

ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι.

διὰ γὰρ τὰς ἀκμὰς τῶν δοράτων φρῖξαι φησὶ τὴν μάχην.

D b. *ἔνιοι δὲ τὴν λαμπρὰν ἤκουσαν,* | *ἐπειδὴ διὰ τὰς στιλβηδόνας ὥσπερ ἀκτῖνες ἀποσείονται καὶ ἔκστασις γίνεται.*

BD c. *χρυσῷ πεφρικυῖαν: διὰ τὴν ἀπόστιλψιν λέγει.* | d. *ὁ δὲ νοῦς· παρέσχε δὲ αὐτῷ ὁ ἀγαθὸς Τελαμὼν οἴνου δεκτικὴν φιάλην* D | *καὶ στίλβουσαν τῷ χρυσῷ.*

60. *ὃ δ' ἀντείνας οὐρανῷ χεῖρας ἀμάχους: ὁ δὲ ἀνατείνας τῷ οὐρανῷ τὰς ἀκαταμαχήτους αὐτοῦ χεῖρας τοιοῦτον ἐφώνησε λόγον· ὦ πάτερ Ζεῦ, εἴ ποτε τῶν ἐμῶν εὐχῶν ἑκὼν καὶ μετὰ προθυμίας κατήκουσας, ἐπὶ τοῦ παρόντος θείαις εὐχαῖς καθικετεύω, ἀνδρ·ιότατον τῷ Τελαμῶνι ἐκ τῆς γαμετῆς Ἐριβοίας γενέσθαι παῖδα. ἦν γὰρ ὁ Τελαμὼν παιδοποιΐας ἐπιθυμῶν.*

67a. *μοιρίδιον τελέσαι: τὸ τελέσαι κατὰ κοινοῦ· τελέσαι τῷδε παῖδα, καὶ λίσσομαί σε τὸν ἐμὸν φίλον Τελαμῶνα εὐτυχῆ*

---

2 cfr. sch. *Σ* 392 11 cfr. Eustath. ad *N* 339, p. 935, 60

---

3 *πρόμολ'* B: *μέμηλ'* D *νύ τι* codd. Hom.: *δή τι* B *νύ τοι* D 4 *σὺν*] *ἐν* cj. Abel 5 *ἀπάρξαι* D 7 l. B: *ἄνδωκε δ' αὐτῷ χρ. πεφρ. τελαμών* D 8—11 in B male habiti 10 *τετραχυμένης* B *χρυσίου* B 11 *καθαπερε̣ὶ̣* B 15 *ἔκστασις* a: *ἔκτασις* D *ἐκ:αμψις* cj. Abel 19 l. D: om. B 20 *τῷ* omisisse vid. B (om. r) 21 *ἐφόνησε* D 23 *τῷ* om. B 26 *τὸ* om. D 27 *τῷδε* D: *τῷ* ut vid. B *τῷ* r

τελέσαι. b. τὸ δὲ περιπλανᾶται ἀντὶ τοῦ περικινεῖται, περίκειται ἢ περιλαμβάνει δίχα πίλναται· διὸ καὶ εὐσυμβόλως ἐν ἀρχαῖς τὸν Ἡρακλέα ἐπιστῆναι τῇ λεοντείᾳ δορᾷ ἐκέλευσε. c. τὸ δὲ θυμὸς δ' ἑπέσθω, ἤτοι ἀνδρεία δὲ αὐτῷ καὶ ῥώμη ἑπέσθω ἴσως τῷ τοῦ λέοντος θυμῷ· ἢ οὕτως· ἑπέσθω δὲ τῷ Αἴαντι καὶ ἡ ψυχὴ ἄτρωτος καὶ μὴ ὑπείκουσα, καθάπερ καὶ τὸ σῶμα.

72a. *ταῦτ' ἄρα οἱ φαμένῳ*: ταῦτα εἰπόντι, φησί, τῷ Ἡρακλεῖ ἀπέστειλεν ὁ Ζεὺς τῶν ὀρνίθων τὸν μέγαν καὶ ἔξοχον ἀετόν· ἡδεῖα δὲ αὐτὸν διεκίνησεν ἡδονή, καὶ εἶπε τοιαῦτα ὥσπερ τις ἀκριβέστατος μάντις. b. ἢ οὕτω· χαρὰ ἐκέντρισε, τουτέστιν ἐχάρη κατὰ ψυχήν.

76. *ἔσσεταί τοι παῖς, ὦ Τελαμών*: γενήσεταί σοι παῖς, ὦ Τελαμών. καὶ δὴ αὐτὸν τὸ θεῖον παρακελεύεται τοῦδε τοῦ φανέντος ὄρνιθος ἐπώνυμον Αἴαντα, ἔξωθεν τὸ καλεῖσθαι τὸ ὄνομα, γενναῖον ὄντα ⟨ἐν⟩ πᾶσι τοῖς πόνοις καὶ καμάτοις τοῦ πολέμου καὶ ἔξαρχον τῶν ἄλλων ὄχλων· ἵνα τὸ ἐσόμενον ἔξωθεν ἀκούωμεν. δῆλον οὖν, ὅτι παρὰ τὴν πτῆσιν καὶ τὴν τοῦ ἀετοῦ ἐπιφάνειαν Αἴαντα τὸν παῖδα κέκληκεν ὁ Τελαμών.

82. *ἐμοὶ δὲ μακρὸν πάσας ἀγήσασθ' ἀρετάς*: ἐμοὶ δὲ μέγα καὶ ἀπερίγραπτον λόγῳ τὸ διηγήσασθαι πάσας τὰς τῶν Αἰακιδῶν ἀρετάς· ἦλθον γάρ, ὦ Μοῦσα, συντόμως κατὰ τὸν Ἀργείων τρόπον τῷ Φυλακίδᾳ καὶ τῷ Πυθέᾳ καὶ τῷ Εὐθυμένει τῶν ἐγκωμίων δοτὴρ καὶ ταμίας.

87a. *εἰρήσεταί πού κ' ἐν βραχίστοις*: τουτέστιν ἐπὶ βραχὺ εἰρήσθω. μακρολόγοι μὲν οὖν οἱ Ἴωνες, σύντομοι δὲ

---

1. 2 περίκειται om. B **2** δίχα πίλναται D: om. B ⟨ἐναντίως τῷ⟩ δ. π. cj. Abel, fragm. Pindari latere suspicans; et locus s. d. mutilus **2. 3** [ἐν ἀρ]χαῖς B: ἐξ ἀρχῆς D **3** ἐπιστῆσαι D λεοντείῳ D **4** ἐπέσθην D **5** ἐπέσθω D **6** ἄτρωτος et B (ἀνδρεία r). Nonne ἄτρυτος? **12** κατὰ D: καὶ B **13—15** in B male habiti, f. 4 exteriore parte pessum data **13** l. D: ἔσσεταί [τοι] παῖ[ς] B ἔσαιται D **14** παρακελεύεται r: παρακέλεται D (B l. n.) τοῦ om. B **16** suppl. a (ft. ὄντα delend.) **20** l. D: ἐμοὶ δὲ μακρόν B **21** τὰς om. D (B l. n.) **22** γὰρ D: δὲ r (B l. n.) **24** καὶ r: τε καὶ D (B l. n.) **25** πα D

οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ (fr. 424)·

πάντ' οἶσθα, πάντ' ἔλεξα τἀντεταλμένα·
μῦθος γὰρ Ἀργολιστὶ συντέμνει βραχύς.

b. ὁ δὲ νοῦς· ῥηθήσεται δὲ ἐν βραχέσι λόγοις τὸ ἐγκώμιον· ἐδέξαντο νίκας ἀγωνιζόμενοι παγκρατίῳ.

89a. τρεῖς ἀπ' Ἰσθμοῦ: τρεῖς μὲν ἐν Ἰσθμῷ, φησί, τὰς δὲ αὐτῶν ἐκ τῆς ἐπιδόξου Νεμέας οἵ τε ἀγαθοὶ παῖδες τοῦ Λάμπωνος καὶ οἱ τούτων μήτρωες, ἐδέξαντο νίκας ἀπὸ κοινοῦ. μήτρωες δὲ, ἀντὶ τοῦ μήτρως δὲ, ὁ Εὐθυμένης, ὅτι μητρὸς ἀδελφὸς τῶν Λάμπωνος υἱῶν. b. τὸ δὲ οἵαν θαυμαστικῶς ἀντὶ τοῦ ὁποίαν εἴρηκεν· ὁποίαν δὲ καὶ ἡλίκην ὕμνων μερίδα ἀνήγαγον εἰς φῶς ἐπὶ ταῖς ἑαυτῶν ἀνδρείαις. c. ἢ οὕτως· ἀνήγαγον δέ, φησίν, εἰς φῶς τὴν μοῖραν τῶν ὕμνων. λέγει δὲ τὴν τῶν ἑαυτοῦ μοῖραν ὕμνων, ἣν νικήσαντες ἀνήγαγον εἰς φῶς. οἷον οἱ ὕμνοι οἱ εἰς τοὺς περὶ Φυλακίδαν ἐπιφανεῖς ἐγένοντο, ὅτι ἐνίκησαν. d. Ψαλυχιάδαι δὲ φυλὴ ἐν Αἰγίνῃ, ἀφ' ἧς ὁ νικηφόρος. τὴν δὲ τῶν Ψαλυχιαδῶν φατρίαν τῇ τῶν Χαρίτων καλλίστῃ δρόσῳ καταβρέχουσι, φησὶ δὲ τοῖς ὕμνοις.

e. ἄλλως. συλληπτικῶς εἶπε τὸ χωρὶς ἑκατέρῳ συμβεβηκός· ὁ μὲν γὰρ Φυλακίδας Ἴσθμια δὶς νικᾷ καὶ Νέμεα ἅπαξ, ὁ δὲ Εὐθυμένης ἅπαξ Ἴσθμια, ὁ δὲ Πυθέας Νέμεα· ὃν δὴ μήτρωα καλεῖ τούτων ὡς κατὰ μητέρα προσήκοντα· οὐ γὰρ πιθανὸν μητράδελφον ἀκούειν.

---

1 ὀδυσεῖ B 4 συντέμνει BD: συντέμνειν r (cfr. Wilamowitz Berl. Sitzungsber. 1909 p. 820) 5 δὲ ἐν — 13 ἀνήγαγον in B praeter paucas litteras l. n., sed ed. Rom. tempore legi potuisse vid.; hoc significavi [B]r 7 sch. 89 om. l. cum 87 continuavit b φησί om. [B]r 7. 8 τὰς δὲ αὐτῶν [B]r: τοῦ δὲ αὐτὰς D 8 ἀγαθοὶ D: ἀγλαοὶ [B]r 10 [μήτρωες] δὲ, ἀντὶ [τοῦ] Br om. D alt. δέ delend. vid. ὁ Εὐθ. — 13 ἀνήγαγον in B legi nequeunt 11 θαυστικῶς r 15 ἑαυτοῦ D: αὐτοῦ B 16 οἱ (alt.) om. D τοὺς περὶ a: τοὺς παρὰ D τὸν B 17 ἐνίκησε B ψαλυχίδαι B 20 ἑκατέρως D 21 ἅπαξ — 22 εὐθυμένης om. B 23 τούτ(ων) B[cp], unde τούτον r

95. *τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον:* καὶ τὸν τοῦ Θεμιστίου δὲ οἶκον ταῖς ἑαυτῶν εὐδοξίαις ἀνορθώσαντες ταύτην τὴν πόλιν οἰκοῦσι τὴν θεοφιλῆ. ἦν δὲ ὁ Θεμίστιος πρόγονος αὐτῶν, οὗ καὶ ἐν τοῖς Νεμεονίκαις μνημονεύει (N V 50)· εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν.

97. *Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου:* μελέτη δέ τοι ἔργον ὀφέλλει (op. 410). ὁ δὲ Λάμπων, φησί, διηνεκῶς τοῖς ἔργοις τὴν μελέτην διδοὺς τὸν τοῦ Ἡσιόδου τιμᾷ καὶ ἀποδέχεται λόγον, καὶ τοῖς ἑαυτοῦ παισὶ λέγων τὸν στίχον παραινεῖ ἄθλων καὶ εὐδοξίας ἀντέχεσθαι, κοινὴν εὐδοξίαν τῇ ἑαυτοῦ πατρίδι προσάπτων.

102a. *καὶ ξείνων εὐεργεσίαις ἀγαπᾶται:* τιμᾶται δὲ καὶ ἐπὶ ταῖς τῶν ξένων εὐεργεσίαις· τυγχάνει γὰρ ὢν φιλόξενος· τὰ προσήκοντα μὲν τῇ γνώμῃ τῇ ἑαυτοῦ μετερχόμενος, τὰ προσήκοντα δὲ καὶ κατέχων εἰς ἑαυτὸν καὶ λογιζόμενος.
b. ἢ οὕτω· διὰ τὸ φιλόξενος εἶναι καὶ ὑπὸ ξένων καὶ ὑπὸ πολιτῶν τιμᾶται, καὶ διανοούμενος τὰ μέτρια καὶ ἐνεργῶν καὶ πράσσων.

105a. *γλῶσσα δ' οὐκ ἔξω φρενῶν:* τουτέστιν οὐδὲν ἄκαιρον φλυαρεῖ, ἀλλ' ὃ σκέπτεται. παρὰ γὰρ πολλοῖς ἡ γλῶττα προτρέχει τῆς διανοίας. b. ἢ οὕτως· ἡ δὲ γλῶσσα αὐτοῦ καὶ ὁ λόγος οὐκ ἔστιν ἔξωθεν τῶν δεουσῶν φρενῶν, ἀντὶ τοῦ οὐ προπετῶς φθέγγεται.

106a. *φαίης κέ νιν ἄνδρ' ἐν ἀθληταῖς:* εἴποι δ' ἂν τις αὐτὸν τὸν Λάμπωνα εἶναι τοιοῦτον ἄνδρα ἐν τοῖς ἀθληταῖς, οἵαν ἐν πέτραις ἑτερογενέσι Ναξίαν ἀκόνην, δυνάμενον

1—26 in **B** obfuscati et lacunosi 2 δὲ om. **D** 4 αὐτῶν **B?D**: αὐτοῦ **r** τοῖς **BD**: ταῖς **r** 7 μελέτη [**B**]**r**: ἔργον τοι μελέτη, μελέτη **D** δὲ (pr.) om. [**B**]**r** 9 ἑαυτοῦ **D**: αὐτοῦ **B** 16 ὑπὸ (alt.) om **D** (**B** l. n., hab. **r**) 18 πράττων [**B**]**r** 20 ἄ[καιρον] [**B**]**r**: ἄκρως **D** ἀλλ' ἃ παρέπεται [**B**]**r**. Exspectes ἀλλ' ὃ ἔσκεπται πολλοῖς om. [**B**]**r** (potius vid. γὰρ omisisse **B**) 20. 21 [τὴν γλῶτταν] [**B**]**r** 21 προτρέχει **a**: προτρέχεται **BD** προτρέχει τὰ **b** 22 ἔξωθεν [**B**]**r**: ἔξω **D** 23 προσπετῶς **D** 24 l. **D**: φαίης κέ νιν **B** 25 εἶναι om. **D** 26 πέτραις [**B**]**r**: πολλοῖς **D**

ἀθλητὰς μάλιστα παραθῆξαι. νομίζονται γὰρ διαφορώταται τῶν ἄλλων ἀκονῶν αἱ κατὰ τὴν ἐν Κρήτῃ Νάξον. τοσοῦτον οὖν φησι τῶν ἄλλων ἀλειπτῶν διαφέρειν ἐν τοῖς ἀθληταῖς, ὅσον ἐν ἄλλαις ἀκόναις αἱ Νάξιαι διαφέρουσιν. b. ὁ δὲ νοῦς· εἴποις δ' ἂν αὐτὸν τὸν Λάμπωνα ἐν τοῖς ἄλλοις ἀθληταῖς οὕτως ἰσχυρὸν εἶναι ὥσπερ ἐν τοῖς ἄλλοις λίθοις ἡ Ναξία. ποιεῖ δὲ πρὸς ἀκόνην ὁ Νάξιος λίθος.

108. πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ: ἀλληγορεῖ νῦν· ποτιῶ, φησίν, αὐτοὺς τὸ ἀπὸ τῆς Δίρκης ὕδωρ, ὃ αἱ Μοῦσαι ἀνατεῖλαι ἐποίησαν· τουτέστι τῷ ἐμῷ ῥεύματι, ἤτοι τῷ ποιήματι ποτιῶ αὐτούς. Θηβαῖος γάρ, ἡ δὲ Δίρκη ἐν Θήβαις· διὸ ἐξ αὐτῆς ἀναβεβλῆσθαί φησι τὸν ὕμνον. πῖσαι δὲ τὸ ποτίσαι, καὶ τὰς ποτίστρας δὲ πίσας ἔλεγον.

Scholia in Isthmionicarum carmen VII.

B Τοῦ ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ὀκτώ. τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ β' ἰωνικὸν τετράμετρον ἰαμβικῷ κατακλειόμενον, βραχυκατάληκτον. τὸ γ' ἐκ πενθημιμεροῦς ἰαμβικοῦ καὶ διμέτρου τροχαϊκοῦ καταληκτικόν. τὸ δ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ε' δακτυλικὸν τρίμετρον καταληκτικόν· ἡ τελευταία βραχεῖα.

---

1 Hes. Phot. Suid. *Ναξία λίθος*. Steph. Byz. *Νάξος*

---

2 *ἀκονῶν* **B**: *διακονῶν* **D** 6 aut *ταῖς ἄλλαις* aut *ὁ νάξιος* aut *ἡ ναξία πέτρα* scribend. cens. b 8 l. **D**: *πίσω σφε δίρκας* **B** 9 *τῷ ἀπὸ τ. δ. ὕδατι* **D** 10 *ἐμῷ* **B**: *ἐμαυτοῦ* **D** 10. 11 *πονήματι* **B** 11 *θηβαῖος* **B**: *θηβαιῶν* **D** 13 *ποτίτρας* **D** *πίσας* inauditum, ut vid.; an *πίστρας* (EM 673, 27; Strab. 8, 356)? 15 codicis **B** f. 6v extrema pars, quae schol. metr. continet, adeo lacunosa est ut pleraque legi nequeant; sed r schol. metr. ex **B** sumpsisse videtur, quo tempore plura legerentur. Itaque ubi **B** hodie l. n., de r sola adnotavi
17 *ἰάμβῳ* scribend. vid. 18 *τροχαϊκοῦ* **B**: *χοριαμβικοῦ* mg. Brub., ft. recte 19 *καταληκτικόν* **B**: *βραχυκαταλήκτου* Pauw *βραχυκατάληκτον* b. Si *χοριαμβικοῦ* recipias, scribend. *καταληκτικοῦ* 20 *καταληκτικόν* r: *ἀκατάληκτον* Pauw; sed tum *ἡ τελ. βραχεῖα* falsum. Mensura non convenit; **B** l. n.

τὸ ϛ΄ ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ ζ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ η΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

ἡ ἐπῳδὸς κώλων καὶ αὐτὴ ὀκτώ. τὸ α΄ ἀντισπαστικὸν B τρίμετρον ἀκατάληκτον. τὸ β΄ παλιαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ γ΄ ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ δ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ ε΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ ϛ΄ ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ ζ΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ η΄ ἐπιωνικὸν δίμετρον ἀκατάληκτον.

1 a. Ὁ λόγος πευστικὸς πρὸς τὴν Θήβην, ᾧ καὶ ἀποχρώμενος λεληθότως αὐτῆς ἐγκώμια καταριθμεῖται. b. ὁ δὲ νοῦς οὕτω· τίνι τῶν φθασάντων ἐπιχωρίων ἀγαθῶν, ὦ μακαριωτάτη Θήβη, μάλιστα τὴν σὴν ψυχὴν εὔφρανας;

3 a. ἢ ῥα χαλκοκρότου πάρεδρον: παρὰ τὰ ἐπικτυποῦντα ἐν ταῖς τελεταῖς τῆς Δήμητρος κύμβαλα. μετὰ γὰρ κυμβάλων καὶ τυμπάνων περιϊοῦσα ἡ θεὸς καὶ τούτοις ἠχοῦσα ἐζήτει πρὸς τὸ πάντας ἀκούειν καὶ πυνθάνεσθαι ὅ τι ζητεῖ. πάρεδρον δὲ Δήμητρος εἶπε τὸν Διόνυσον, κατὰ μὲν τὸν μυστικὸν λόγον, ὅτι παρεδρεύει αὐτῇ ὁ ἐκ Περσεφόνης γεγονὼς Ζαγρεὺς Διόνυσος, ὁ κατά τινας Ἴακχος· κατὰ δὲ τὸν φυσικὸν λόγον, ἐπειδὴ τῇ ξηρᾷ τροφῇ, ἣ ἀνάκειται τῇ Δήμητρι, παρέπεται ἡ τοῦ οἴνου χρῆσις, ἢ ὅτι ἡ σταφυλὴ ἐδωδίμη ἐστὶ καὶ εἰς πόσιν ἐπιτηδεία. b. ὁ δὲ νοῦς· ἆρ᾽ ἡνίκα ἀνέτειλας καὶ ἐγέννησας τὸν εὔτριχα Διόνυσον τὸν πάρεδρον τῆς χαλκοκρότου Δήμητρος;

5 a. ἢ χρυσῷ μεσονύκτιον: ἢ ὅτε τὸ μεσονύκτιον χρυσῷ καταστάζοντα ἐδέξω τὸν τῶν θεῶν ἔξαρχον Δία. b. ἄλλως.

---

1 καταληκτικόν r: ἀκατάληκτον b 2 βραχυκατάληκτον (alt.) mg. Brub.: ὑπερκατάληκτον r 4 παλιαμβικὸν r, quod quid sit ignoro: παλιωνικὸν mg. Brub. (‒‒⏑⏑ ‒⏑‒‒ ⏑⏑‒‒), non male 5 καταληκτικόν b: ἀ[κατάληκτον] B 8 δακτ. τρίμ. ἀκατ. B: ἢ καὶ ἐπιχοριαμβικόν add. mg. Brub. 10 πευστικὸς Tricl., r (B l. n.): πνευστικὸς D πρὸς D: ἐπὶ B 14. 15 ἐκτυποῦντα D 17 τὸ om. D 18 εἶπε D (λέγει Tricl.): εἰ[π]εῖν B 19 ἑαυτῇ B 21 ἢ om. D παρέπεται r (B l. n.): περαίνεται D 22 exspectes ⟨καὶ⟩ ἐδωδίμη

ἰδίως λέγει τὸν Δία ὗσαι χρυσόν, ἡνίκα ἐμίγνυτο Ἀλκμήνῃ· ἢ τὰ ἐπὶ Δανάης μυθευόμενα ἐπὶ Ἀλκμήνην μετήγαγεν.

9. ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις σταθείς: ἡνίκα τοῦ Ἀμφιτρύωνος κατὰ τὰ πρόθυρα σταθεὶς τὴν γαμετὴν μετῆλθε ταῖς θείαις γοναῖς. κατὰ πάντων δὲ ἀπὸ κοινοῦ τὸ εὔφρανας ἀκουστέον.

11a. ἢ ὅτ' ἀμφὶ Τειρεσίαο: ἢ ὅτε ταῖς τοῦ Τειρεσίου πυκναῖς καὶ συνεταῖς μαντείαις. b. ἱππόμητιν δὲ τὸν Ἰόλαόν φησι, παρόσον ἡνιόχησεν Ἡρακλεῖ. ἀπὸ κοινοῦ δὲ πρὸς πάντα τὸ θυμὸν τεὸν εὔφρανας.

13. ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν: τῶν κατὰ τὰς Θήβας ἀναδοθέντων ἐκ τῶν δρακοντείων ὀδόντων, ὧν καὶ Εὐριπίδης (Phoen. 795) μέμνηται· ἢ Σπαρτῶν φησι τῶν ἄγαν πολεμικῶν. ὁ γὰρ Φερεκύδης (FHG I 83 M., I 67 J.) διττά φησιν εἶναι Σπαρτῶν γένη· τὸν γὰρ Ἄρη καὶ τὴν Ἀθηνᾶν τοὺς μὲν ἡμίσεις τῶν ὀδόντων Κάδμῳ δοῦναι, τοὺς δὲ ἡμίσεις Αἰήτῃ· Ἀνδροτίων δέ φησι (FHG I 373) φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων κατελθεῖν εἰς Θήβας, ὅθεν διὰ τὸ συμμιγὲς καὶ σποράδην εἶναι Σπαρτοὶ ἐκλήθησαν· οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν ψευδῶς ἐτερατούργησαν.

14a. ἢ ὅτε καρτερᾶς Ἄδραστον ἐξ ἀλαλᾶς: τῆς μάχης, διὰ τὰς ἐν αὐτῇ θορυβώδεις φωνάς. ὅτι δὲ ἐκ τῶν ἑπτὰ λόχων ἀπεσώθη ὁ Ἄδραστος, δῆλον. b. ὁ δὲ νοῦς· ἢ ὅτε ἐκ τῆς ἰσχυροτάτης μάχης ἀπέπεμψας τὸν Ἄδραστον ὀρφανωθέντα, ὦ Θήβη, μυρίων καὶ ἀναρίθμων στρατιωτῶν εἰς τὸ ἱππικὸν Ἄργος.

---

14 schol. Eur. Phoen. 670. sch. Ap. Rh. III 1179
17 Tzetzes ad Lyc. 1206 (p. 348 S.)

---

1 ἐμίγνυτο B?D: ἐμίγη τῇ r 3 l. D: ὁπότ' ἀμφιτρύωνος B ἐν θυρ. ἀμφ. D 9 δὲ om. B? 10 τὸ θυμὸν B: τὸν θυμὸν τὸν D 12 καὶ ὁ εὐρ. D 13 ἢ — πολεμικῶν ab. h. l. aliena 15 ἄρη B: ἄρην D ἡμίσεις — 16 τοὺς δὲ om. D 19 συμμιγεῖς conici posse adnot. b; συμμιγῶς et παρεῖναι? Schr. σποράδιν D 22 ἐν αὐτῇ om. B 24 ἄνδρηστον D 25 στρατιωτῶν D: στρατῶν B

18a. ἢ Δωρίδ' ἀποικίαν: οἱ Ἡρακλεῖδαι ἔσχον παρὰ τοῦ θεοῦ χρησμὸν συλλαβεῖν Αἰγείδας, καὶ οὕτω τῆς Πελοποννήσου κρατήσειν. ἦσαν δὲ οὗτοι Φλεγραῖοι ἀνέκαθεν, φυλὴ ἐν Αἰγίνῃ. οἱ δὲ δεξάμενοι κατὰ τὸ Πυθικὸν χρηστήριον, τῆς ἐλπίδος οὐκ ἐκπεσόντες, κρατήσαντες δὲ τῆς Πελοποννήσου, μετῴκισαν εἰς Θήβας τοὺς Αἰγείδας. ἔνιοι δέ φασιν Αἰγείδας Ἀθηναίους τὸ ἀνέκαθεν εἶναι· ἔνιοι δὲ Αἰγείδας φυλὴν ἐν Θήβῃ, ἀφ' ἧς σύμμαχοι ἐπὶ τὴν Λακεδαίμονα ἦλθον καὶ ἐκράτησαν· ἔνιοι, ὅτι οὕτως ὀνομάζονταί τινες ἐν Λακεδαίμονι ἀπὸ Αἰγέως τινὸς Θηβαίου, ὃν συνεργῆσαι τοῖς Ἡρακλείδαις φασὶ πρὸς τὴν κατάκτησιν τῆς Λακωνικῆς. ἔνιοι Ἀργεῖδαι γράφουσι διὰ τὸ Ἀργείαν προσονομάζεσθαι τὴν Ἀριστοδήμου γυναῖκα τοῦ ἀπογόνου τῶν Ἡρακλειδῶν, ἐξ ἧς ἐγένετο Προκλῆς καὶ Εὐρυσθένης οἱ κατασχόντες τὴν Λακωνικήν.

b. ὁ δὲ νοῦς· ἢ ὅτε τὴν Δωρίδα τῶν Ἡρακλειδῶν κάθοδον ἐπ' ἀσφαλοῦς στῆναι παρεσκεύασας· ἔλαβον γὰρ τὰς Ἀμύκλας οἱ σοὶ ἀπόγονοι Αἰγεῖδαι τοῖς τοῦ Πυθίου Ἀπόλλωνος μαντεύμασιν. c. ἄλλως. Αἰγείδας νῦν οὐκ ἂν εἴη λέγων τοὺς Ἀθηναίους· περὶ γὰρ Θηβῶν ὁ λόγος. καὶ εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων, ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν· καὶ τοῖς Ὑακινθίοις δὲ ὁ χάλκεος αὐτοῦ θώραξ προτίθεται· τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων πολιτείᾳ (fr. 532). ἔνιοι δέ φασι τὸν

18 sch. P. V 101b

3 κρατῆσαι B φλ[εγραῖοι ἀνέκαθεν] B?r: om. D φυλὴ ἐν αἰγίνῃ D: om. B 6 εἰς θήβας] εἰς λακεδαίμονα cj. b, εἰς σπάρτην Abel ἀγείδας D 6. 7 αἰγείδας (sic iam b) ἀθηναίους Kayser p. 93, cl. p. 264, 6sq.: αἰγινήτας θηβαίους BD 10 ὃν συνεργῆσαι B: οὗ συνεργεῖται D 11 πρὸς B: περὶ D 12 γράφουσι B: φασι D ὀνομάζεσθαι B 13 ἡρακλειδῶν] + καθοδὸν D 14 πατροκλῆς D 20 θηβαίων B: θηβῶν D 21. 22 χρησάμενος D 25 θηβαῖον s. θηβαίου ὅπλον cj. Wilamowitz Pind. p. 478

Πίνδαρον νῦν μὴ τοῦ πρὸς Ἀμυκλαεῖς πολέμου μνημονεύειν μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν, ἀλλὰ τῶν σὺν τοῖς Ἡρακλείδαις εἰς Πελοπόννησον κατελθόντων, ὧν Ἀριστόμαχος ὁ Κλεάδα καὶ Κλεάδας ὁ Ὕλλου ἡγοῦντο· καὶ γὰρ τότε Θήβηθεν ἥκειν τοῖς Δωριεῦσι τοὺς ἁψαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Ἀθηναίων· εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας τὸ ἀνέκαθεν Ἀθηναίους. δυεῖν οὖν ἀποστόλων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων ⟨φατρίας⟩ εἰς Σπάρτην γεγονότων, ἔργον ἀποφήνασθαι, ποτέρου ὁ Πίνδαρος νῦν μνημονεύει. μή ποτε δὲ τῆς δευτέρας; Ἀριστοτέλης (ibid.) γάρ φησιν, ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο. καταλύσαντες δὲ ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν. ἀκούσαντες δὲ μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοὺς θεοὺς τοῖς Αἰγείδαις τὰ ἀγαθὰ καὶ συμβαλόντες τὸν χρησμὸν, ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

23a. ἀλλὰ παλαιὰ γὰρ εὕδει χάρις: Ἀρίσταρχος τοῦτο λεγόμενον, φησίν, ὑπόνοιαν δίδωσιν, ὡς ὅτε ἔγραφεν ὁ Πίνδαρος, ἀχαριστουμένων τι τῶν Θηβαίων ὑπὸ τῶν Λακεδαιμονίων. ἐὰν δὲ ὑποτεθῇ τὰ ἑξῆς, ὅ τι μὴ σοφίας ἄωτον, ὡς ἐν τῷ καθόλου λέγων ἔσται, ὅπερ πολλάκις εἴωθε λέγειν· ὅτι πᾶσα χάρις πεπαλαιωμένη καθεύδει καὶ μεμάρανται, καὶ ὅτι τοιούτου πράγματος ἀμνήμονές εἰσιν οἱ ἄνθρωποι, ὃ ἂν μὴ ἀοίδιμον γένηται καὶ τύχῃ ὕμνου τινός. b. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀλλὰ πᾶσα χάρις, φησί, παλαιῶν ἔργων ἀφυπνώτ-

10—16 cfr. sch. Pal. P. V 32 (p. 382 Boe.)

3 καθελκόντων D 4 κλεοδαῖος cj. h 5. 6 ἁψαμένους τοῦ καθόδου τοὺς αἰγείδας μετὰ καὶ ἀθ. D 6 τοὺς B: τῇ D 7 δυοῖν D ἀποστόλων Wilamowitz Pind. p. 478: ἀποστολῶν D (B l. n.) ἀποστάσεων r τῆς secl. Wil. 8 suppl. b γεγονότων D (rec. Wil.): γεγονυιῶν B 9 ποτέρου D (rec. Wil.): ποτέρας r (B l. n.) 11 ἀμυκλαιεῦσιν D 14 δὲ om. B?r 15 τοῖς αἰγ. τοὺς θεοὺς B συλλαβόντες D 18 ὅτε h: ὅτι Dr; B l. n. 21 ὅπερ B: ὅτι D 22 μεμάρναται D 23 ὃ ἂν scripsi: ὅταν BD 24 ὃ D: ἃ r; B l. n.

τει καὶ εἰς λήθην ἐμπίπτει, ἀμνήμονες δὲ καὶ οἱ ἄνθρωποι γίνονται τούτου, ὅπερ ἂν μὴ τὸ τῆς σοφίας ἄκρον ἀπάνθισμα τοῖς ἐνδόξοις τῶν λόγων ἐγκωμίοις ἐπικαταλάβῃ καὶ ἐπαίνοις ἐπιζεύξῃ. c. ἢ οὕτως· ἀμνήμονες δὲ οἱ ἄνθρωποι τούτου, ὅ τι μὴ εἰς τὸ τῆς σοφίας ἄκρον ἀπάνθισμα παραγένηται ὑποζυγὲν τοῖς ἐνδόξοις τῶν λόγων ἐγκωμίοις. d. ἄλλως. συζευχθὲν τοῖς ὕμνοις τὸ ποίημα.

27a. *κώμαζ' ἔπειτ' ἐν ἁδυμελεῖ σὺν ὕμνῳ*: πρὸς τὴν πόλιν ὁ λόγος· εἴ τι ἐκείνοις ἥσθης, φησί, καὶ νῦν κώμαζε. b. ἵνα μὴ ἡ νίκη τοῦ Στρεψιάδου σιωπηθῇ, κώμαζε καὶ συνέξαρχε σὺν ἁδυμελεῖ ὕμνῳ. περιττεύει δὲ ἤτοι ἡ ἐν πρόθεσις ἢ ἡ σύν· μία γὰρ ἀρκεῖ. c. ἄλλως. ἐνταῦθα ἀπὸ τῆς πεύσεως ἀποδέδωκεν. εὐφρανθεῖσα, ὦ Θήβη, ἐπὶ τοῖς ἀρχαιοτέροις καλοῖς, καὶ ἐπὶ τοῦ παρόντος χόρευε καὶ ἐπὶ τῷ Στρεψιάδῃ.

30a. *ἰδεῖν τε μορφάεσ'*: οὐχ ἥττων ἐστί, φησίν, ἡ γνώμη τοῦ κάλλους. οὐχ ὅμοιόν ἐστι τῷ παρ' Ὁμήρῳ (ρ 454)·

οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

b. ἢ οὕτω· φέρει δὲ καὶ τὴν τῆς ψυχῆς ἀρετὴν οὐκ αἰσχύνουσαν τὴν τοῦ σώματος εὐμορφίαν.

34a. *μάτρῳ θ' ὁμωνύμῳ*: τοῦ Στρεψιάδου μήτρως ὁμώνυμος. οὗτος ἀνῃρέθη κατὰ τὸν Πελοποννησιακὸν πόλεμον. b. ὁ δὲ νοῦς· τῷ δὲ ὁμωνύμῳ αὐτοῦ μήτρωϊ τὴν τῆς νίκης εὐδοξίαν τε καὶ ἡδονὴν παρέσχετο, ᾧ, τῷ μήτρωϊ, ὁ Πελοπον-

2 ὅπερ ἂν **B**: ὅτι **D** τὸ **B**: εἰς τὸ **D** 4 ἐπιπήξῃ **D** ἐπιζεύξηται **h** 5 παραγένηται ὑποζυγὲν post 6 ἐγκωμίοις **D**[ac] 8 (ἔπειτεν Pauw) 9 εἴ τι **D**: εἴτε **B**?**r** (ἥσθης et **B**) κώμαζεν **D** 10. 11 συ[νέξ]αρχε **B**? (**a** ex cj.): σὺ ἔξαρχε **D** σὺ κλέαρχε **r** 11 [ἐν] πρό[θεσι]ς **Br**: ἐπένθεσις **D** 13 εὐφρανθεῖσαν **D** 16 l. **D**: ἰδεῖν τ[ε] μ[ορ]φά[.... **B** ἰδεῖν τε μορφάεσσ' ἄγει **r** (in **B** vix fuit ἄγει) ἥττων cj. **b** (id. defendit ἧττον not. crit. p. 572): ἧττον **D** ἧττον **r**; **B** l. n. 17 οὐχ delend. vel ὅμοιος scribend cj. **b** (perperam) 19 δὲ **B**: δὴ **D** 20 σώματος **D**: κάλλους **r**; **B** l. n. 22 πελοποννησιακὸν suspectum; Persicum vol. Corsinus F. A. II 63; cfr. Hartung ad h. l., Bergk NJbb. 1869 p. 390, Sybel de vett. scholl. Pind. p. 38 24 παρέσχετο — p. 266, 1 θάνατον om. **D**

νησιακὸς πόλεμος τὸν θάνατον παρέσχετο καὶ ἐπέβαλε· τῇ δὲ τιμῇ τοῖς ἀγαθοῖς ἰσοῦται. ἐὰν δὲ κατ' εὐθεῖαν πτῶσιν τὸ τιμά, ὁ νοῦς τοιοῦτος· πᾶσι γὰρ τοῖς ἀγαθοῖς ἡ τιμὴ ἀντίκειται καὶ πλησιάζει, καὶ μάλιστα τοῖς τὴν ψυχὴν ὑπὲρ τῆς πατρίδος προεμένοις ἀντὶ τῆς ψυχῆς τιμὴ κεῖται. ὥστε δῆλον ὅτι πρὸς τετελευτηκότα ὁ λόγος.

37 a. *ἴστω γὰρ σαφές, ὅστις ἐν ταύτᾳ νεφέλᾳ*: ὅστις, φησίν, ἐν τῇ τοῦ Ἄρεος νεφέλῃ, τουτέστιν ἐν τῷ πολέμῳ, τὴν τοῦ αἵματος χάλαζαν ἀμύνεται ἐναντίον φέρων ὄλεθρον τοῖς πολεμίοις, ἴστω ὁ τοιοῦτος μέγιστον παρὰ τῶν ἀστῶν κλέος αὔξων τῷ ἑαυτοῦ γένει. ταῦτα δὲ λέγει ὡς περὶ τὴν Σαλαμῖνα τοῦ Λάμπωνος ἠνδραγαθηκότος. b. ἄλλως. ἐν τῇ τοῦ πολέμου νεφέλῃ, φησὶ δὲ τῇ βλαβερᾷ τῆς μάχης φθορᾷ, ἀπὸ μεταφορᾶς τῶν χειμώνων. καὶ διόλου τὰ τῆς ἀλληγορίας σῴζεται.

44. *τὺ δὲ Διοδότοιο παῖ*: πρὸς τὸν ὁμώνυμον τῷ νικηφόρῳ Στρεψιάδην Διοδότου παῖδά [φησι] καὶ ὡς πρὸς περιόντα τὸν λόγον ποιεῖται· σὺ δέ, Διοδότου παῖ, ἐν ἐπαίνῳ τιθέμενος Μελέαγρόν τε καὶ Ἕκτορα καὶ τὰς τούτων ζηλῶν ἀρετὰς κατὰ πόλεμον ἐτελεύτησας προμαχόμενος τῆς πατρίδος.

B 50. *ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταισιν ἐπ' ἐλπίσιν*: ἀντὶ τοῦ ἔσχατα ἐπελπίζοντες, ὅ ἐστιν ἀπολέσθαι, καὶ μὴ ἐπὶ τούτῳ ὑποστελλόμενοι.

51 a. *ἔτλαν δὲ πένθος οὐ φατόν*: ὁ τῷ ἀποθανόντι διαφέρων ἐγὼ ὁ χορός, φησίν, ἔτλαν. b. οἵ σοὶ οἰκεῖοι.

---

4 πλησιάζει cum iis q. s. non convenit 5 προκειμένοις D 6 πρὸς B: πρὸς τὸν D τετελευκότα D 7 l. D: ἴστω γὰρ σαφές B 10 μέγ κλέος παρὰ τῶν ἀστ. D 11 ἑαυτοῦ B: αὐτοῦ D ταῦτα—12 ἠνδραγαθηκότος post sch. Isthm. V 63b trp. b (cfr. Lehrs Pindarsch. p. 16); nec sane huc pertinere videntur ταῦτα—ἠνδραγ. in B legi vix possunt περὶ r: παρὰ D σαλαμῖνα] + μάχην r 12 τοῦ om. r ἀνδραγαθηκότος r 13 νεφέλῃ ⟨χάλαζαν αἵματος⟩, φησὶ δὲ τὴν βλαβερὰν τ. μ. φθοράν Bergk 15 τὺ D: τὸ r (vix B) νικηφόρῳ D: μήτρωι r (B l. n.) 16 φησι D: om. B?r; seclusi 16. 17 καὶ ὡς π[ρὸς περιόντα τὸν λογον] ποιεῖ[... B καὶ ὡς πρὸς περιόντα ποιεῖται τὸν λόγον D om. r 24 διαφέρων corruptum; βαρέως φέρων Schr. ⟨ἢ⟩ οἵ σοὶ οἰκ. a. Fort. ἔτλαν ad hoc sch. pertinet

c. ὁ δὲ νοῦς· ὑπέμεινα δὲ σοῦ πεπτωκότος λύπην καὶ συμφορὰν ἀφόρητον, ἀλλ' ἐπὶ τοῦ παρόντος Ποσειδῶν εὐδίαν ἔδωκεν ἐξ ἐκείνου τοῦ χειμῶνος, οἱονεὶ μετὰ τὴν χειμερινὴν τῶν φθασάντων κατάστασιν εὐδία ἄλυπος παρὰ τῶν θεῶν ὑμᾶς διεδέξατο.

53a. *ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων*: ὁ λόγος ἐπαμφοτερίζει. ἤτοι γὰρ τὴν ἐμαυτοῦ κεφαλὴν ἁρμόσας τοῖς στεφάνοις ᾄσομαι τὸν ἐπίνικον, ἢ οὕτως· τὸν ἐπίνικον ᾄσω τὴν τοῦ νικηφόρου κεφαλὴν τοῖς στεφάνοις ἁρμόζων· φησὶ δὲ τοῖς μουσικοῖς. b. ἄλλως. τοὐναντίον εἶπε· βούλεται γὰρ λέγειν τοὺς στεφάνους τῇ χαίτῃ ἁρμόζων.

55a. *ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος*: Ἀρίσταρχος ἐπὶ τοῦ ἐρεθίζειν ἀκούει, τάττεσθαι δέ φησι καὶ ἐπὶ τοῦ ταράττειν. μὴ οὖν, φησί, με ὁ ἐκ θεῶν ταραττέτω φθόνος, εἰ τὸ ἐν τῷ βίῳ τερπνὸν τοῦτο ἀεὶ κατὰ τὴν παροῦσαν ἡμέραν διώκων καὶ θηρεύων μεθ' ἡσυχίας καταστρέφω τὸν βίον. b. ἢ οὕτως· ὁ δὲ παρὰ τῶν θεῶν φθόνος μὴ συνθραυέτω, ὅτι ἑκάστης ἡμέρας ἥσυχος καὶ πρᾶος ὢν μετὰ ἡσυχίας καταγηράσκω, καὶ παραγίνομαι εἰς τὸν μεμοιραμένον χρόνον. ἐὰν δὲ κατὰ τὸ φθόνος θῶμεν τὴν τελείαν, ἔσται ὁ νοῦς τοιοῦτος· εἴθε, ὅπερ τερπνὸν, ἐφ' ἑκάστης ἡμέρας μεταδιώκων καὶ δεξάμενος μεθ' ἡσυχίας ἐπί τε τὸ γῆρας καὶ τὸν μεμοιραμένον χρόνον παραγενοίμην. καὶ ἔσται ὁ λόγος ὡς παρὰ τοῦ νικηφόρου, ἐκεῖνο μέντοι ὡς παρὰ τοῦ ποιητικοῦ προσώπου. 60ᵇ D

59. *θνᾴσκομεν γὰρ ὁμῶς*: καθάπαξ γὰρ πάντες ἄνθρω- B

---

1 ὑπέμειναν D δὲ om. r; B l. n. σοῦ] + τε D 2 ἀσυμφόρητον D εὐδ. ἔδωκε ποσ. B 3 οἱ[ονεὶ μ]ετὰ B ὁ αἰὼν μετὰ r, unde ὁ γαῖαν ἔχων μετὰ Wakefield s. cr. IV 194 (p. 210) 4 εὐδία ἄλυπος Wakefield l. l., b: εὐδίαν ἄλυπον D εὐδί[αν] ἄλυπον τὰ Br ὑμᾶς BD: ἡμᾶς a τὰ ὑμῶν Wakefield l. l. 7 τὴν ἐμαυτοῦ κεφ. B: τὴν κεφ. αὐτοῦ D 8 ἀείσομαι B 11 τῇ χαίτῃ B: τοὺς χαίτους D 12 θρασέτω D 13 ἀκούειν r (vix B) 14 με om. B εἰ B: εἰς D 16 καταστρέψω r; B l. n. 20 τὸ B: τοῦ D 22. 23 καὶ τὸν παραγενοίμην μεμοιρ. χρόνον D

ποι ἑνὶ καὶ τῷ αὐτῷ ὑποπίπτομεν θανάτῳ, τὰ δὲ τοῦ δαίμονος καὶ τῆς τύχης οὐκέτι ἴσα ἐστὶ καὶ ὅμοια τοῖς πᾶσι. 60ᵇ B

60a. *δαίμων δ' ἄϊστος*: τουτέστιν οὐκ ἔστι προφανὴς ὁ δαίμων τοῖς ἀνθρώποις, οὐδὲ οἶδε τὸ ἐκβησόμενον. 63 BD

60b. *τὰ μακρὰ δ' εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι*: εἰ δέ τις τὰ ὑπὲρ ἑαυτὸν σκοπεῖ καὶ λαβεῖν σπουδάζει, οὗτος βραχὺς καὶ ἀσθενὴς πρὸς τὸ τῆς ἐπιθυμίας παραγενέσθαι τέλος καὶ ἀπελθεῖν εἰς τὸ τῶν θεῶν ἰσχυρότατον ἕδρασμα.

c. ἢ οὕτως· ἀσθενής ἐστι πᾶς ἄνθρωπος, εἴ τις μακρὰ βλέπει ὡς ἐφαψόμενος τοῦ οὐρανοῦ καὶ τῆς τῶν θεῶν διαίτης. θνητὸς εἶ, φησί· τὸ παρὸν εὖ τίθεσο. 60ᵃ BD

63a. *ὅτι πτερόεις ἔρριψε Πάγασος*: ὑπόδειγμα τοῦ μὴ δεῖν ἐπαίρεσθαι τὸν ἄνθρωπον μέχρις οὐρανοῦ Βελλεροφόντην καὶ Πήγασον ἔλαβεν. b. ὁ δὲ νοῦς· ὁ γὰρ δὴ Πήγασος ἀπεσείσατο καὶ κατέστρεψε τὸν ἑαυτοῦ δεσπότην Βελλεροφόντην τῶν ἀδυνάτων ἐπιθυμήσαντα καὶ εἰς τὸ τῶν θεῶν ἄθροισμα παραγενέσθαι βουληθέντα.

B 67a. *τὸ δὲ πὰρ δίκαν γλυκύ*: τὸ δὲ ἐξ ἀδικίας ἡδὺ γενόμενον πικρὸν τέλος λαμβάνει. b. οἷον οἱ ἀδίκως κερδαίνοντες ἄχρι τέλους οὐχ ἥδονται.

69. *ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων*: ἡμῖν δέ, ὦ τῇ χρυσῇ κόμῃ θάλλων Ἀπόλλων, παράσχου καὶ ἐν τοῖς σοῖς Πυθικοῖς ἀγῶσιν ἀγωνισαμένοις ἀνθηρὸν ἀναδήσασθαι στέφανον. εὔχεται οὖν αὐτὸν καὶ Πύθια νικῆσαι.

Scholia in Isthmionicarum carmen VIII.

B Τὸ ὄγδοον εἶδος μονοστροφικόν ἐστι κώλων εἰκοσιδύο. τὸ α' Φαλαίκειον. τὸ β' ὅμοιον τῷ τίς σὰς παρήειρε φρένας.

4 τις supplend. cj. h, ὁ ἄνθρωπος b 5 l. D: τὰ — παπταίνει B βραχὺς δ' ἐξικ. D 11 εἶ D: ἢ B 12 l. D: ὅτι πτερόεις B 13 βελεροφόντην D; item 15 19 οἱ r: om. B 21 θάλλων — 22 κόμῃ om. B 24 οὖν D: γοῦν B 25 Scholia Isthm. VIII seorsum tractaverunt J. Resler (Diss. Vrat. 1847) et Tycho Mommsen (Ztschr. f. Altertumswiss. 1848 p. 129—33)

τὸ γ' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ε' ἐννεασύλλαβον Σαπφικὸν πλεονάζον τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' τροχαϊκὸν ἀπὸ ἰαμβικοῦ καταληκτικόν. τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ι' τὸ αὐτό. τὸ ια' τὸ αὐτό. τὸ ιβ' τὸ αὐτό. τὸ ιγ' ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ ιδ' ἐννεασύλλαβον Σαπφικὸν πλεονάζον μιᾷ συλλαβῇ τοῦ Γλυκωνείου. τὸ ιε' ἰωνικὸν ἀπ' ἐλάσσονος βραχυκατάληκτον. τὸ ιϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιζ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τὸ ιθ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἡ νον μακρά. τὸ κ' δακτυλικὸν πενθημιμερές. τὸ κα' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ κβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

1a. Κλεάνδρῳ τις ἁλικίᾳ τε: τῷ Κλεάνδρῳ τις καὶ τῇ ἡλικίᾳ αὐτοῦ καταγέτω τῶν πόνων τὸν εὔδοξον κῶμον, τουτέστι τὴν διὰ τοῦ ἐγκωμίου εὔκλειαν ἐσομένην αὐτῷ· τῶν γὰρ κατὰ τὴν ἄθλησιν πόνων οἷον λύσις ἐστὶ τὸ τοιοῦτον λύτρον καὶ λυτήριον· οὕτω γὰρ τὸν εἰς τὸν νικηφόρον ὕμνον εἶπε. τῶν τε γὰρ πόνων καὶ τῆς Ἰσθμιακῆς νίκης ἔτι τε τῆς Νεμεακῆς ἔλαβε τὸ κράτος. b. ὁ δὲ νοῦς· τῷ Κλεάνδρῳ τις καὶ τῇ τούτου ἡλικίᾳ λύσιν καὶ ἀμοιβὴν ἐπίδοξον τῶν καμάτων ἐγειρέτω τὸν ὕμνον παρὰ τὰ πρόθυρα τοῦ Τελεσάρχου στάς, ὄντα τὸν ὕμνον τῆς τε Ἰσθμιακῆς νίκης καὶ τῆς ἐν Νεμέᾳ

1 ὑπερκατάληκτον B (ut vid.; de spiritu constat) r 2 τρίμετρον Pauw: δίμετρον B ἀπὸ ἐννεασυλλάβου σαπφικοῦ πλεονάζοντος B^ac (in πλεονάζοντος correctionem non dispicio, nec ἀπὸ delet. vid.) r; corr. et mg. Brub. 4 ⟨δίμετρον⟩ τροχ. Pauw; sed cfr. col. ιε' 12. 13 βραχυκατ. mg. Brub.: ἀκατάληκτον B 16 τις (alt.) post 17 καταγέτω D 17 καταγέτω⟨λύτρον⟩ a 19 λύτρον] ἢ λύτρον b ἐγκώμιον Wiskemann p. 29. — Duo scholia in unum conflata vid., ut τουτέστι — τὸ τοιοῦτον paraphrasi interposita sint 21 τῷ τε γὰρ πόνῳ D ἰσθιακῆς D 23 καὶ τῇ D: ἐν τῇ B 24 ἀγειρέτω D? 25 ὄντα B: ὅντινα D

λύσιν καὶ ἀμοιβήν, ὅτι δὴ τῶν ἄθλων νίκην καὶ ἐπικράτειαν εὗρεν ἀνδρείως ἀγωνισάμενος.

8. *τῷ καὶ ἐγὼ καίπερ ἀχνύμενος θυμόν: τούτῳ οὖν τῷ Κλεάνδρῳ ἐγὼ καίπερ λυπούμενος τὴν ψυχὴν τῶν τετελευτηκότων προγόνων ἕνεκεν, ὅμως αἰτοῦμαι τὴν τιμίαν προσκαλέσασθαι καὶ παρεστάναι Μοῦσαν.*

12a. *ἐκ μεγάλων δὲ πενθέων λυθέντες: ὡς ἔστιν εἰκάσαι, ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ προσήκοντές τινες Κλεάνδρῳ ἐτελεύτων· συντέτακται γὰρ ἡ ᾠδὴ ἐπὶ κατωρθωμένῳ τοῖς Ἕλλησιν ἤδη τῷ πολέμῳ· ὥς γε παρίστησιν ἐν τούτοις* (9)*· ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε Ταντάλου λίθον, καὶ τὰ ἑξῆς.*

D b. *ἐκ μεγάλων δὲ πενθέων: τῶν ἐκ πολέμου· ἐμφαίνει δέ, ὅτι οἱ Ἕλληνες ἐνίκησαν.*

14a. *μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων: ἐκ δὲ τῶν μεγάλων πενθῶν μὴ καταπέσωμεν ἀδοξίᾳ καὶ ὀρφανίᾳ στεφάνων, μήτε ἐπὶ πλέον ταῖς λύπαις ἐπίκεισο καὶ αὔξανε.*

b. *ἔνιοι δέ· ἐπὶ δευτέρου προσώπου εἶπεν, ἀντὶ τοῦ θεραπεύωμεν. λέγει δέ· τὰ κακὰ μὴ κολακεύωμεν μηδὲ θρηνῶμεν ἀεί.*

17a. *παυσάμενοι δ' ἀπράκτων κακῶν: τῶν δὲ ἀνωφελήτων λυπῶν καὶ πενθῶν ἀνάπαυσιν ἐσχηκότες γλυκύ τι παίξωμεν καὶ εἰς τὸν δῆμον ἀγάγωμεν μετὰ τοὺς πόνους, ἐπειδὴ τὸν ὑπὲρ τῆς κεφαλῆς ἡμῶν ἐπηρτημένον Ταντάλειον λίθον παρέτρεψέ τις θεῶν, τὸν ἀνυπομόνητον καὶ δεινὸν τῇ Ἑλλάδι πόνον· φησὶ δὲ τὸν Ξέρξου πόλεμον.* b. *ἄλλως. ἰστέον*

---

1 *τῶν ἄθλων* **B**: *τὴν ἀθλητῶν* **D** *καὶ* om. **D** 2 *ἀνδρείαν* **D** *ἀγωνισάμενος* an *-σόμενος* incert. **B** 3 l. **D**: *τῷ καὶ ἐγώ* **B** 5 *εἵνεκεν* **B** 6 *παρ[εστάναι]* **B** *παρέσεσθαι* **r** *παριστάναι* Schneidewin GgA 1847 p. 2068 7 l. **D**: *ἐκ—πενθέων* **B** 9 *ἐτελεύτων* **BD**: *ἐτελεύτησαν* **r** *κατωρθωμένω* **B**: *κατορθωμένῳ* **D** *κατορθώμασιν* **r** 10 *τῷ* om. **Br** *ὥς γε* **b**: *ὥστε* **BD** 11 *τὸν* **B**: *τὴν* **D** 14 l. **D**: *μήτ' —πέσωμεν* **B** 15 post *πενθῶν* lac. stat., ante *ἀδοξίᾳ* supplend. *ἐν* cj. Abel *ὀρφανίᾳ* **B**: *εὐδοξίᾳ* **D** 17 *δευτέρου προσώπου* **D**: *δύο προσ(ώ)π(ων)* **B** 19 *ἀπρήκτων* **B** 21 *παίζωμεν* **B** 22 *τῆς* om. **D** 24 *πόνον* **D**? (ft. *πόλεμον* voluit) **a**: *πόλεμον* **r**; **B** l. n. *ἄλλως* **b**: *ἀλλ'* **r**; **B** l. n.; om. **D**

ὅτι μετὰ τὴν ἧττὰν τῶν Περσῶν καὶ τὴν Ξέρξου στρατείαν ἐπὶ τοὺς Ἕλληνας ἐγράφη οὗτος ὁ ἐπίνικος· Ταντάλου γὰρ λίθον εἴρηκε μεταφορικῶς τὸν ἐπικρεμάμενον καὶ προσδοκώμενον τοῖς Ἕλλησι φόβον τῆς προειρημένης στρατείας, διὰ τὸ μυθολογεῖσθαι τῷ Ταντάλῳ λίθον ἐπαιωρεῖσθαι, καθάπερ καὶ Εὐριπίδης εἴρηκε (Orest. 6. 7)·

κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην.

23. *ἀλλ' ἐμοὶ δεῖμα μὲν παροιχομένων*: ἐμοὶ δὲ τῶν φθασάντων κακῶν τόν τε φόβον καὶ τὴν μέριμναν αἱ νῦν τῆς νίκης εὐφροσύναι ἔλυσαν.

26a. *τὸ δὲ πρὸ ποδὸς ἄρειον αἰεὶ χρῆμα πᾶν*: ὅτι τῶν παρόντων καὶ ἐνεστηκότων ἀεί φησιν ὁ Πίνδαρος δεῖν ἀντέχεσθαι καὶ μὴ ὀρέγεσθαι τῶν μελλόντων. b. ἢ οὕτως· πᾶν δὲ προσήκει τὸ παρὰ πόδας πρᾶγμα σκοπεῖν καὶ εὖ διατιθέναι. c. ἀεὶ δὲ βέλτιόν ἐστι πᾶν τὸ παρὰ πόδας πρᾶγμα προσβλέπειν. d. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι καιροῦ νίκης καὶ εὐφροσύνης παραπεσόντος τῶν παρὰ πόδας ἐχώμεθα.

27a. *δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται*: ποικίλος καὶ εὐμετάθετος. b. ὁ δὲ νοῦς· ὁ γὰρ δὴ τῆς ζωῆς χρόνος ἐνήρτηται τοῖς ἀνθρώποις τὸν τοῦ βίου πόρον κυλίων καὶ προϊών. c. ἢ οὕτως· ὁ γὰρ χρόνος πολλὰς εὑρίσκει μεταβολὰς ἑλίσσων τὸν τοῦ βίου πόρον, τουτέστι τὴν ὁδὸν τοῦ βίου.

30a. *ἰατὰ δ' ἐστὶ βροτοῖς*: τὰ προσπίπτοντα μετὰ ἐλευ- D
θερίας ἰατά ἐστι καὶ ἐὰν ἀτυχία ὑπάρχῃ. ἠλευθερωμένοι οὖν

5 cfr. sch. O. I 91a

5 ταντάλου D   8 καὶ — δίκην om. [B]r   12 l. D: τὸ — ποδός B ὅτι D: om. r; B l. n.   13 παρόντων D: περιόντων B?r   14 ἢ οὕτως D: ἀκούειν r; B l. n.   16 πᾶν om. D προσβλέπειν b: προβλέπειν BD   17 δὲ om. D   18 *in* ἐχώμεθα *desinit f. 281* B; *inc. f. 282 a voce* τῷ Πηλεῖ *p. 274, 25*
19 scholia ad vs. 27—37 in exemplari Pindari Romano, quod Monachii in bibliotheca exstat, descripsit P. Victorius, sine dubio ex codice D (cfr. Abel ad h. l.)   21 πόρον b: ὅρον D
23 πόρον b: ὅρον D

καὶ νενικηκότες τοὺς Πέρσας, εἰ καὶ ἐν ἀτυχίᾳ γεγόνατε, εὐθυμεῖτε. b. ἢ οὕτως· ἀλλ' ὅμως πρὸς τὰ συμβεβηκότα δεινὰ φορητά ἐστι καὶ ταῦτα, προσούσης καὶ τῆς ἐλευθερίας.

D 32a. χρὴ δ' ἀγαθὰν ἐλπίδα: προσήκει δὲ τὴν τῶν ἀγαθῶν ἐλπίδα τοῖς ἀνδράσι φροντίζεσθαι· προσήκει δὲ καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις τὸν τραφέντα τῇ τε Θήβῃ καὶ τῇ Αἰγίνῃ τὸν ὕμνον τὸν ὄντα Χαρίτων ἀπάνθισμα διδόναι.

b. ἢ οὕτω· δεῖ δὴ τὸν Θηβαῖον εὐχαριστεῖν τῇ Αἰγίνῃ καὶ τὸ ἄνθος τὸ ἀπὸ τῶν Χαρίτων προσνέμειν. πρὸς τί δὲ τοῦτό φησιν; ὅτι ὁ μὲν νενικηκὼς Αἰγινήτης, αὐτὸς δὲ Θηβαῖος.

D 37a. πατρὸς οὕνεκα δίδυμαι γένοντο θυγατέρες: Θήβη καὶ Αἴγινα αἱ Ἀσωποῦ τοῦ Βοιωτιακοῦ ποταμοῦ θυγατέρες νεώτεραι τὴν γένεσιν· ἦν γὰρ προτεχθεῖσα Μετώπη καὶ ἄλλαι τινές. b. ὁ δὲ νοῦς· ὅτι δὴ ἐκ τῶν Ἀσωποῦ θυγατρῶν νεώτεραι ἐγεννήθησαν Αἴγινα καὶ Θήβη, καὶ ἀμφότεραι ἀρέσασαι τῷ Διῒ τίμιαι γεγένηνται. c. ἄλλως. διὰ τοῦτό φησι τὸν Θηβαῖον χάριν νέμειν τῷ Αἰγινήτῃ, ἐπειδὴ ἀδελφαὶ ἐγένοντο αἱ ἡρωΐδες Θήβη τε καὶ Αἴγινα· Ἀσωποῦ γὰρ ἀμφότεραι· εἰσὶν οὖν, οἳ Διὸς τὴν Θήβην γενεαλογοῦσι, καθάπερ Λύκος ἐν τῷ περὶ Θηβῶν. μετὰ γὰρ τὰ κατὰ τὸν Δευκαλίωνός φησι Δία μιγέντα Ἰοδάμᾳ τῇ Ἰτώνου τοῦ Ἀμφικτύονος τεκνῶσαι τὴν Θήβην, ἣν δοῦναι Ὠγύγῳ, ἀφ' οὗ Ὠγυγίη ἡ Θήβη ἐκλήθη.

D 41. ὁ τὰν μὲν παρὰ καλλιρόῳ Δίρκᾳ: ὅστις Ζεὺς τὴν μὲν παρὰ τῇ καλλιρόῳ Δίρκῃ ᾤκισε καὶ τῆς φιλαρμάτου πό-

---

20—23 Tzetzes ad Lyc. 1206 22 cfr. sch. Ap. Rh. 3, 1178. Suid. Phot. ὠγύγιον, al.

---

2 πρὸς non intellego 11 δίδυμοι D 13 γένεσιν b: γέννησιν D 16 γεγένηνται b: γεγέννηνται D φησι Resler: φασι D 20 τὸν δευκαλίωνος D: δευκαλίωνα codd. Tzetzae cl. 1 (τὰ) κατὰ δευκαλίωνα eorund. cl. 2 τὸν δευκαλίωνος ⟨κατακλυσμόν⟩ cj. Resler, ft. recte 21 ἰοδάμᾳ Tzetzes: ἰωδάμᾳ D ἰτώνου D: τιθωνοῦ Tz. 22 ὠγυγίη ἡ θήβη (om. ἐκλήθη) Tz.: ὠγυγίου ἐν θήβῃ ἐκλήθη D ὠγύγιον ἐν θήβαις ἐκλήθη Mommsen

λεως κατέστησε δέσποιναν· φησὶ δὲ τοῦτο, ὅτι τῆς Βοιωτίας μητρόπολις.

45a. *σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν κοιμᾶτο*: D
ἀπέστρεψε τὸν λόγον πρὸς τὴν Αἴγιναν· σὲ δέ, ὦ Αἴγινα, φησίν, εἰς τὴν Οἰνοπίαν διακομίσας νῆσον συνεκοιμήθη, ἔνθα τὸν ἐνδοξότατον ἐγέννησας Αἰακὸν τῷ μεγαλοήχῳ Διΐ, συνετώτατον πάντων τῶν ἀνθρώπων. εὐφήμως οὖν εἶπε τὸ κοιμᾶτο, ὡς καὶ Ὅμηρος (ϑ 296)·

τὼ δ' ἐς δέμνια βάντε κατέδραθον.

b. Οἰνοπίαν δὲ τὴν νῆσον ὠνόμασεν ἀπὸ Οἰνώνης τῆς Βουδίωνος. c. ἄμεινον δὲ ἀπὸ Οἴνοπος ἥρωός τινος λέγεσθαι αὐτήν.

50. *τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες*: τούτου μὲν D
τοῦ Αἰακοῦ οἱ ἰσόθεοι παῖδες ἦσαν ἄριστοι, καὶ οἱ τῶν παίδων υἱοὶ ἐτύγχανον πολεμικώτατοι, καὶ ἀνδρεῖοι περιέπειν τὰς μάχας ἐγένοντο, καὶ σωφρονέστατοι καὶ συνετοὶ τὴν ψυχήν.

57a. *ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί*: ταῦτα, D
φησί, καὶ αἱ τῶν θεῶν σύνοδοι ἐμέμνηντο, ὅτε Ζεὺς περὶ τῆς Θέτιδος καὶ Ποσειδῶν ἐφιλονείκησαν, ἑκάτερος ἐπέραστον ἑαυτῷ γαμετὴν ποιῆσαι βουλόμενος. b. ἄλλως. ταῦτα καὶ οἱ σύλλογοι τῶν θεῶν διέφερον. τείνει δὲ εἰς ἐκεῖνα· ὁ Ζεὺς βουλόμενος Θέτιδι πλησιάσαι ἐκωλύθη ὑπὸ τοῦ Προμηθέως· εἶτα Πηλεῖ ἔδοξεν αὐτὴν ἐγγυῆσαι. τεθρύλληται δὲ ἡ ἱστορία παρά τε συγγραφεῦσι καὶ ποιηταῖς, ἀκριβῶς δὲ κεῖται καὶ παρὰ Αἰσχύλῳ ἐν Προμηθεῖ Δεσμώτῃ. διαφωνεῖται δὲ τοῖς λοιποῖς καὶ ἰδιαζόντως ὁ Πίνδαρος καὶ Ποσειδῶνά φησιν ἀμφισβητῆσαι περὶ τοῦ γάμου· ἢ ζητητέον, τίνι κατηκολούθησεν ὁ Πίνδαρος.

---

7 cfr. Eust. ad ϑ 295, p. 1598, 55 10 cfr. sch. N. VI 53a. Tzetzes ad Lyc. 175

---

10. 11 *βουδίωνος* a, coll. sch. Nem. et Tzetze: *βουδείου* D 13 *ἀντίθεν* D 18 *ὅτε* Resler: *ὅτι* D 21 *ὁ*] *ὅτι* cj. Resler, coll. sch. N. VIII 19 25 *διαφωνεῖται* Schneidewin GgA 1847 p. 2071: *διαφαίνεται* D 26. 27 *ἀφισβητῆσαι* D (corr. Resler, Mommsen)

D 64. *ἔρως γὰρ ἔσχεν· ἀλλ' οὔ σφιν:* ἔρως γὰρ καὶ ἐπιθυμία, φησί, τῶν ἐκείνης γάμων ἀμφοτέρους κατεῖχεν, ἀλλ' οὐδαμῶς αἱ ἄφθαρτοι τῶν θεῶν φρένες συμπερασθῆναι τοὺς γάμους συνεχώρησαν, ἐπειδὴ τῶν μεμοιραμένων κατήκουσαν.

D 67. *εἶπε δ' εὔβουλος:* εἶπε δὲ καὶ ἐχρησμῴδησεν ἡ εὔβουλος δικαιοσύνη τὸν ἐκ Θέτιδος γεννηθέντα κρείττονα τοῦ πατρὸς γενέσθαι. καὶ κατὰ τοῦτο δὲ διαφωνοῦσιν· ὁ μὲν γὰρ Αἰσχύλος Προμηθέα φησὶ τοῦτο ποιεῖν, οὗτος δὲ Θέμιν.

D 75. *Διὶ μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν:* ὑπερβατῶς ἔχει πρὸς τὸ ποντίαν θεόν· ἤτοι οὖν Διὶ μιγεῖσα βελτίονα παῖδα τοῦ πατρὸς τέξει, ἢ τοῖς ἀδελφοῖς τοῦ Διὸς βελτίονα πάλιν τοῦ Διὸς παῖδα τέξει· πληθυντικῶς δὲ εἶπεν ἀντὶ τοῦ ἀδελφῷ, τῷ Ποσειδῶνι· σύνηθες δὲ τὸ σχῆμα Πινδάρῳ (fr. 75, 11)· ὑπάτων μέν τε πατέρων γυναικῶν τε Καδμειᾶν, ἀντὶ τοῦ Διὸς καὶ Σεμέλης.

D 76. *ἀλλὰ τὰ μὲν παύσατε:* ἀποστρέψας τὸν λόγον ἐξήνεγκεν ὡς αὐτῆς τῆς Θέμιδος λεγούσης. ἀλλὰ τὰ μὲν παύσατε καὶ ἐπίσχετε· λέγει δὲ τὰ τῆς πρὸς τὴν Θέτιν μίξεως· ἀνθρωπίνων δὲ γάμων τυχοῦσα τὸν υἱὸν αὐτῆς θεωρησάτω τεθνηκότα ἐν πολέμῳ, τὸν τῷ Ἄρει τὰς χεῖρας κατὰ τὴν μάχην ὅμοιον.

D 83. *τὸ μὲν ἐμὸν Πηλεῖ θεάμοιρον:* τοῦτο ἰσοδυναμεῖ τῷ κατὰ μὲν ἐμὲ ἢ κατὰ τὴν ἐμὴν γνώμην, οἷον τὸ μὲν ἐμοὶ
BD ἀρέσκον ἐστὶ τοῦτο. ἠθικῶς δὲ λέγει· ἐγὼ κελεύω | τῷ Πηλεῖ τὸ ὑπὸ θεῶν μεμοιραμένον τοῦ γάμου μέρος ὀπάσαι.

85. *ὄν τ' εὐσεβέστατόν φασιν:* ὅντινα τὸν Πηλέα λέγουσιν εὐσεβέστατον τὴν τῆς Ἰωλκοῦ τρέφειν γῆν. ἀπὸ δὲ τῆς Ἰωλκοῦ πόλεως Θετταλικῆς ὅλην βούλεται τὴν Θεσσαλίαν

---

6 ἡ Resler, Mommsen: ὁ D   7 κρείττονα Resler: κείττονα D   11 τὸ Schneidewin l. l p. 2071: τὸν D   12 et 13 τέξει Schneidewin ibid.: ἕξει D   18 θέμιδος a: θέτιδος D   25 *ab τῷ πηλεῖ incip. f. 282 (ultimum)* B, in quo tamen pleraque legi nequeunt; cfr. ad p. 276, 4   27 l. omisisse vid. B

δηλοῦν· ταύτης γὰρ ὁ Πηλεὺς ἐβασίλευεν, ἡ δὲ Ἰωλκὸς οὐκ ἦν ὑπὸ τὸν Πηλέα.

88. *ἰόντων δ' ἐς ἄφθιτον ἄντρον*: Ἀττικῶς· πορευέσθωσαν· ὡς καὶ Ὅμηρος (Α 338)·

τὼ δ' αὐτὼ μάρτυροι ἔστων.

πορευέσθωσαν δέ, φησίν, εἰς τὸ ἄφθιτον σπήλαιον τοῦ Χείρωνος αἱ περὶ τοῦ γάμου ἀγγελίαι, ἀντὶ τοῦ· τὸ δόξαν ἡμῖν νῦν φανερὸν γενέσθω τῷ Χείρωνι.

92. *νεικέων πέταλα δὶς ἐγγυαλιξέτω*: ἀντὶ τοῦ τῶν φιλονεικιῶν τὰ φύλλα· τροπικώτερον δὲ τῶν φιλονεικιῶν τὰς στάσεις ἢ τὰ νείκη, ὡς Ἴβυκος (fr. 29) κλάδον Ἐνυαλίου καὶ Ὅμηρος (Β 540) ὄζον Ἄρηος. ποῖα δὲ νείκη δισσὰ ἡ Θέτις τοῖς θεοῖς παρασχεῖν ἔμελλεν; οὐ γὰρ προεγεγόνει νεῖκος ἐξ αὐτῆς, ὥστε τοῦτο δεύτερον τὸ ὑπὲρ τοῦ γάμου αὐτῆς εἰρημένον. ἤτοι οὖν τοῦτο λέγει· ἐπεὶ νεῖκος ὑμῖν ἕστηκε νῦν περὶ τοῦ γάμου τῆς Θέτιδος τῶν δύο διαφερομένων θεῶν, μὴ πρὸς ἓ ἕποντι καὶ ἕτερον κατασκευαζέτω· ἢ προγεγονέναι μέν φησι νεῖκος τὸ τῶν Τιτάνων, δεύτερον δὲ ἔσεσθαι, εἰ ἐκ ταύτης γεννηθείη παῖς ἀθάνατος· ἢ ὅτι ἐφιλονείκησαν Ποσειδῶν τε καὶ Ζεὺς περὶ Αἰγίνης, ὅτε καὶ μεταβαλεῖν δοκεῖ τὴν νῆσον Ποσειδῶν, καθὰ ἄλλοι τέ φασι καὶ Πυθαίνετος προσαγόμενος Ὀρφέα.

93a. *ἐν διχομηνίδεσσι δ' ἑσπέραις*: τουτέστιν ἐν ταῖς τῆς πανσελήνου νυξί· κατὰ ταύτας γὰρ ἐποίουν τοὺς γάμους.

b. ἀντὶ τοῦ διαπαρθενευέτω δὲ ἐν τῇ πανσελήνῳ νυκτί.

c. ὁ δὲ νοῦς· ἐν δὲ ταῖς νυξὶ ταῖς καταλαμπομέναις τῇ σελήνῃ τὸν ἐπέραστον τῆς παρθενίας ὑπολύοι δεσμὸν τῷ ἥρωϊ Πηλεῖ.

---

8 cfr. Gregor. Cor. p. 174 S. sch. Ar. nub. 440, Suid. *δρώντων*, al. — Eustath. ad Θ 517, p. 726, 54, al.

---

1 ἐβα[.... **B**, om. ut vid. ἡ δὲ—πηλέα **5** μάρτυροι **B**: μάρτυρι **D** **8** τῷ **B**: om. **D** **9** l. **D**: νεικέων πέταλα **B** τῶν **B**: om. **D** **10** τῶν φιλονεικιῶν del. Schneidewin p. 2072 **13** προγεγόνει **B** **14. 15** εἰρῆσθαι cj. Abel **17** ἓ ἕποντι **D** (quod sensu caret); **B** l. n.; ἕν ποιόν τι Resler **20** αἰγίνας an -ης incert. **B** **24** post γάμους recte dist. Resler

χαλινὸν δὲ παρθενίας σκληρότερον καὶ διθυραμβωδῶς αὐτὴν εἶπε, κατὰ περίφρασιν τὴν παρθενίαν βουλόμενος σημῆναι. παρασημήναιτο δὲ ἄν τις, διὰ τί πανσελήνοις ἐγάμουν.

95a. *τοὶ δ' ἐπὶ γλεφάροις νεῦσαν ἀθανάτοισιν*: οἱ περὶ τὸν Δία, φησί, τοῖς βλεφάροις νεύσαντες τέλος τοῖς ῥηθεῖσιν ἐφήρμοσαν. b. ἢ τοῖς βλεφάροις ἐπένευσαν παρὰ τὸ Ὁμηρικόν (*A* 528)·

D ἦ, καὶ κυανέῃσιν ἐπ' | ὀφρύσι νεῦσε Κρονίων.

ταπεινῶς δὲ ἀπὸ τῶν βλεφάρων ὅλον εἶπε τὸ πρόσωπον.

D 100a. *ἐπέων δὲ καρπὸς οὐ κατέφθινε*: τῶν δὲ λόγων ἡ ἀρχὴ οὐ κατεφθείρετο, φησίν. b. ἢ οὕτως· ὁ δὲ καρπὸς τῶν ἐπῶν ὧν εἶπεν οὐκ ἀπέφθινεν, ἀλλ' ἐτελεσιουργήθη· ἐγαμήθη γὰρ ἡ Θέτις τῷ Πηλεῖ.

D 104a. *καὶ νέαν ἔδειξαν σοφῶν στόμα*: καὶ τὰ τῶν σοφῶν νέα στόματα, φησί, τοῖς ἀπείροις ἔδειξε τὴν τοῦ Ἀχιλλέως ἀρετήν· οὐ γὰρ μόνος Ὅμηρος, ἀλλὰ καὶ πλείους ἄλλοι νεώτεροι ..... b. ἢ οὕτως· ἀεὶ δὲ θάλλειν καὶ νεωτέραν εἶναι τοῖς ἀπείροις τὴν Ἀχιλλέως ἀρετὴν τὰ τῶν σοφῶν στόματα πεποίηκεν.

D 109. *ὃ καὶ Μύσιον ἀμπελόεν*: ὅστις Ἀχιλλεὺς καὶ τὸ ἀμπελόφυλλον πεδίον τῆς Μυσίας τῷ φόνῳ καὶ τῇ ἀναιρέσει τοῦ Τηλέφου ᾕμαξε. πρὸς ἀμφότερα δὲ τοῦτό φησι, καὶ ὅτι ἡ Μυσία οἰνοφόρος, καὶ ὅτι κλήμασιν ἀμπέλων πεδηθέντα Τήλεφον τὸν Αὔγης καὶ Ἡρακλέους ἀνεῖλεν ὁ Ἀχιλλεύς.

D 111. *γεφύρωσέ τ' Ἀτρεάδαισι νόστον*: κατεβάλετό τε γέφυραν, φησί, τῆς ἀνακομιδῆς τοῖς Ἀτρείδαις ἀνελὼν τοὺς

---

1 αὐτὴν — 2 παρθενίαν **D**: ...] εἶπε, κατὰ περίφρασιν τὴν [..... **B** ut vid. (etiam παρθενίαν ante βουλόμενος habuisse vid. **B**) τὴν παρθενίαν εἶπε, κατὰ περίφρασιν αὐτὴν Resler 4 a sch. 95 inc. fol. 282ᵛ **B**, cuius exigua tantum frustula hodie legi possunt l. **D**: [τοὶ δ' ἐπὶ γλε]φάροις **B** 5 φησί Resler, Mommsen: φασί **D** 5. 6 (ῥηθεῖσ[ιν] et **B**) 6 ἢ — ἐπένευσαν a **B** absunt teste Mommseno 8 *in voce* ἐπ' *desinit cod.* **B** 9 ταπεινῶς suspectum 11 ἀρχὴ mirum 15 ἀπείροις Resler, Mommsen: ἀπείριαν **D** 17 lac. indic. Resler, Mommsen θάλλειν Resler: βάλλειν **D** 25 γεφύροσε **D**

συνέχοντας καὶ ῥυομένους τὴν Τροίαν ἄνδρας· οὗτοι γάρ εἰσιν ἶνες καὶ οἷον νεῦρα καθάπερ σῶμα συνέχοντες· οὓς ἑξῆς καταλέγει.

113. *ταί μιν ῥύοντό ποτ' ἐκ μάχας: αἵτινες, φησίν, ἶνες, τουτέστιν οἱ γενναιότατοι τῆς πόλεως ἐρρύοντο καὶ ἐκώλυον τὸν Ἀχιλλέα τῆς ἐναριμβρότου μάχης τὸ ἔργον κορύσσοντα, τουτέστι μάχην κατ' αὐτῶν ποιοῦντα· ὁ γὰρ Ἀχιλλεὺς ἀνεῖλε καὶ τὴν Μέμνονος ἰσχὺν καὶ τὸν Ἕκτορα καὶ τοὺς ἄλλους ἀριστέας.* D

119a. *οἷς δῶμα Περσεφόνας: οἷς τοῖς ἀριστεῦσι τῆς εἰς Ἅιδου καθόδου μηνυτὴς ὁ Ἀχιλλεὺς ἐγένετο.* b. *ἢ οὕτως· οἷς σημαίνων τὸν Ἅιδην ἀντὶ τοῦ οὓς ἀναιρῶν. ἀναιρῶν γὰρ αὐτοὺς αἴτιος ὥσπερ τῆς εἰς Ἅιδου καθόδου αὐτοῖς ἐγίνετο, καὶ τὴν Αἴγιναν, τὴν ἑαυτοῦ πατρίδα, καὶ τὴν ἰδίαν ῥίζαν, φησὶ δὲ τοὺς προγόνους, ἐνδόξους καθίστα.* D

125. *τὸν μὲν οὔτε θανόντ' ἀοιδαὶ ἔλιπον: τὸν μὲν οὖν, τὸν Ἀχιλλέα, οὔτε θανόντα αἱ ἐπαινετικαὶ ᾠδαὶ κατέλιπον, ἀλλὰ καὶ ἐπ' αὐτῷ παρά τε τὴν πυρκαιὰν καὶ ἐπ' αὐτὸν τὸν τάφον αἱ Μοῦσαι ἔστησαν καὶ θρῆνον πολυθρύλλητον ἀνεβάλοντο. ταῦτα δὲ ἐπὶ τὴν δευτέραν νέκυιαν ἀναπέμπει* (ω 60)· D

> *Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ*
> *θρήνεον.*

130. *ἔδοξ' ἄρα καὶ ἀθανάτοις: ἔδοξεν ἄρα καὶ τοῖς θεοῖς τὸν ἀγαθὸν ἄνδρα καὶ τεθνηκότα τοῖς τῶν Μουσῶν ὕμνοις διδόναι, τουτέστιν ἐγκωμίων αὐτὸν τυχεῖν.* D

133a. *τὸ καὶ νῦν φέρει λόγον: τὸ ὑμνῆσαι γοῦν τὸν ἀγαθὸν καὶ τελευτήσαντα, φησί, φέρει λόγον.* b. *ἢ οὕτως· διὸ καὶ νῦν ἔχει λόγον ὑμνεῖν ἀποθανόντα αὐτὸν ὡς Ἀχιλλέα.* D

---

7 *αὐτῶν* a: *αὐτοῦ* D **13** *ἐγένετο* Resler **20** *ἀνεβάλοντο* Schneidewin GgA 1847 p. 2073: *ἐνέβαλον* D *ταῦτα — ἀναπέμπει* post 23 *θρήνεον* trp. Resler *δευτέραν νέκυιαν* Schneidewin l. l.: *ἑξῆς νενικηκυῖαν* D *ἑξῆς νίκην* Resler *ἔξω νενευκυῖαν* Bergk

c. ἢ καὶ οὕτως· διὸ καὶ νῦν ὁ λόγος ἡμᾶς ἐπὶ τὸ ἐγκώμιον τοῦ Νικοκλέους ἄγει, τοῦ γεγονότος θείου καὶ προγόνου τοῦ Κλεάνδρου. d. ὁ δὲ νοῦς· διὸ καὶ νῦν ὁ λόγος ἡμᾶς παρορμᾷ καὶ τὸ τῶν Μουσῶν ἅρμα τοῦ πυκτικωτάτου Νικοκλέους τὸ μνῆμα καὶ τὴν τῶν κατορθωμάτων ἀρετὴν ὑμνῆσαι καὶ τιμῆσαι αὐτόν. e. ὡς Ἴσθμια αὐτοῦ νενικηκότος τοῦ Νικοκλέους φησί· περὶ γὰρ αὐτοῦ ὁ λόγος.

---

7 *in hoc sch. desinunt scholia codicis* **D**

EPIMETRUM.

PRAEFATIO.

De Eustathii prooemio. — De capitulis ad praefationem scholiorum pertinentibus. — De scholiis metricis.

EUSTATHII PROOEMIUM.

CAPITULA AD PRAEFATIONEM PERTINENTIA.

PRAEFATIO.

In calce huius voluminis dispersas quasdam particulas ad scholia Pindarica pertinentes collegi, quas cum duo priora volumina ederem neglexeram, nunc in editione mea desiderari nolui. His breviter praefandum est; et primum quidem dicam

de Eustathii prooemio.

Eustathii prooemium quamquam et a ratione eius editionis quae sola vetera scholia complectatur alienum et saepius editum est, tamen flagitantibus amicis denuo edidi. Exstat in solo codice Basil. A III 20, s. XIII (descripsit Omont, Centralbl. f. Bibliotheksw. III 1886, p. 408); edidit primus Tafel in Eustathii Opusculis (Francofurti 1832), deinde Schneidewin (Gottingae 1837), postremus Abel (in Scholiis Recentibus p. 3—30), qui codicem denuo contulit. Extremam prooemii partem, quae vitam continet Pindari, seorsum ediderunt Westermann in Biographis Graecis et Christ in editione Pindari Teubneriana. Codicem ipse quoque a. 1907 contuli et Abelii collationem praeter paucos et minutos errores, ut par erat, diligentissime factam esse inveni.

Exquisitae doctrinae copiam qua prima vel potius media prooemii pars insignis est unde hauserit Eustathius nemo quod sciam expedivit, nec ego meum esse duxi quaestionem obscuram et exiguae spei diligentius investigare. Itaque hac quidem in parte nihil aliud quam locos quos ex Pindari carminibus vel ex aliis auctoribus inventu facilibus affert indicavi; qua in re pleraque praeceperat Schneidewin. Vitam Pindari Eustathius ex iisdem quibus nos utimur fontibus ita consarcinavit ut paucissima ex aliis auctoribus, plura ex suo ingenio adderet. Hic quae ex iis quae in nostris codicibus Pindari Epiniciis praemittuntur hausta sunt singillatim indicare supersedi; reliqua addito ad marginem inferiorem siglo „Eust.“ notavi.

De capitulis ad praefationem scholiorum pertinentibus.

Exstant in initio editionis Calliergi et earum quae post eam scholia Pindari habent capitula quaedam, quae a plerisque Pindari codicibus veteribus absunt illa quidem, neque tamen a philologis Byzantinis quos scholiis Pindaricis operam dedisse novimus composita sunt, sed in paucis codicibus vel vetustae vel recentioris vel mixtae recensionis leguntur. Haec cum antea ex sola fere Calliergi editione nota essent, postquam diversis temporibus ad codices contuli, hic repetere satius duxi, non quod multum iis pretii tribuerem, sed ne quid quod ad scholia in Pindarum vetera pertinere cuiquam videri posset omitterem. De codicibus ex quibus hae particulae eduntur haec adnotavi.

Capitulum a ex uno codice Vaticano 902, saec.. XIV (L) novi, ubi ad marginem dextrum fol. 215r iuxta sch. O. I inscr. a (ed. meae I p. 15, 21), a quo in L scholia Pindari incipiunt, manu vix multo recentiore scriptum est.

Capitulum b ex duobus codicibus novi: ex L, ubi cap. a eodem loco et eadem manu scriptum sequitur; tum ex Ambr. 173 (olim C 22 sup., *Θ*). Is codex hac quidem in parte Triclinianus est, et cap. b ex pluribus codicibus Triclinianae recensionis edidit Abel schol. rec. p. 44 sq., ut mirum sit quod codicis *Θ* (quem *ε′* signavit) rationem non habuit. Incipit autem *Θ* f. 1r ab his verbis: *Πινδάρου σαφήνεια περὶ μέτρων. περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ α′ εἴδους τῶν Ὀλυμπίων. παλαιόν.* Sequitur cap. b, quod excipiunt quae p. 45, 10 sqq. Ab. leguntur. Quoniam Abel codicem *Θ* neglexit, ego eius lectiones attuli. Ipsum autem capitulum Triclinio vetustius esse iam eo apparet quod Tzetzes eo usus est.[1])

1) Inest cap. b etiam in codice Perusino 99 (olim B 43; M), sed hic quoque ex recensione Tricliniana, quae pertinet usque ad verba *καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν*, quae apud Abelium p. 50 in apparatu p. 49 leguntur. Huius codicis, quem ipse non vidi, hac quidem in parte collationem non habeo.

Cap. c, quod nihil aliud est quam cap. b variatum, ex tribus codicibus notum habeo: Q, de quo cfr. huius editionis I p. VIII; Marc. 475 (Y); Vat. Urb. 151. In Q cap. c ad calcem Pindari post alteram eius vitam alia manu (Malachiae, cfr. huius ed. I p. VIII not.) scriptum est. In Y, qui codex renascentibus demum litteris et in occidente scriptus est (fuit autem Bessarionis), ordo hic est: incipit f. 154^r *Πινδάρου λυρικοῦ γένος. Πίνδαρος τὸ μὲν γένος — Ἀνακρέων καὶ Πίνδαρος* (huius ed. I p. 4, 9—11, 13); sequitur cap. c. In Urbinati, qui ceteroquin nihil ex Pindaro continet, f. 358^v —359^v leguntur cap. c et d et pars cap. f.

Cap. d sive conspectus pedum in omnibus codicibus (Q, Y, Urb.) sequitur cap. c, quocum etiam sententia artissime coniunctum est. Hoc in Urb. a ceteris admodum differt; nam et sigla metrica absunt et vocabula quibus pedes illustrantur nonnumquam plane diversa sunt. Ex Urb. selectas tantummodo lectiones attuli.

Sequitur deinde in Q et Y cap. e; sed hoc etiam in cod. Vat. 116 legitur. Continet enim is codex sane recens (chartaceus) praeter multa alia f. 204 nostrum cap. e, quod sequuntur scholia metrica in Pindari O. I—XIV et P. I (cfr. ed. mea Tzetzae de metris Pindaricis commentarii p. 126—128)[1]).

Cap. f in codice Y legitur inter primam partem capituli c, quae desinit in verbis *ἐπέκεινα συλλαβήν*, et secundam, quae incipit a verbis *περὶ ποδῶν. περὶ ποδῶν ῥητέον. δισύλλαβοι κτλ.* Edidit iam Boissonnade Anecd. Gr. vol. IV p. 458 ex cod. Parisino 2551. Ultimam eius partem, a verbis *κέκληται δὲ ἡ μὲν στροφή*, inveni etiam in cod. Urb. 151, ubi ad marginem iuxta cap. c scripta est. Hoc capitulum num ad

1) Pro capite e in Urb. exstat capitulum quod incipit: *ἰστέον δὲ ὡς ἀντίκεινται ἀλλήλοις οἱ δισύλλαβοι, ὡς καὶ ἡ ὄψις παρίστησιν, ὁ πυρρίχιος τῷ σπονδείῳ καὶ ὁ ἴαμβος τῷ τροχαίῳ.* Desinit in verbis: *οἱ δὲ ις' τετρασύλλαβοι ἐκ τῶν η' τρισυλλάβων ἑκάστου κατὰ τὸ τέλος ἢ βραχεῖαν ἢ μακρὰν προσλαμβάνοντος. ἄλλως τε καὶ οὗτοι ἐκ τῶν τεσσάρων δισυλλάβων κατὰ συζυγίας διαφόρους προβαίνουσιν. ὡς ἔξεστιν ἀπ' αὐτῆς ὄψεως καταλαμβάνειν τὸν φιλόπονον.* Hoc capitulum exprimere supersedi.

scholia Pindarica pertineat incertum est; sed cum et cum capitulis b et c sententia coniunctum sit et per se alicuius pretii esse videatur, hic repetere malui.

De scholiis metricis.

Pauca habeo quae addam de scholiis metricis quae quidem seorsum nec cum textu ceterisque scholiis coniuncta in variis codicibus ferantur. Et de eis quidem recensionibus eorum quae vel totae vel ex parte a Tzetze pendent dixi in editione mea commentarii Tzetzae p. 10 et 126 sqq. Scholia metrica P. I—IV codicis Ambr. 173 (C 22 sup.) Tricliniana esse et cum iis quae edidit Schneider App. Pind. Suppl. p. 9 sqq. consentire iam in praef. vol. II huius ed. p. IX obiter dixi, hic breviter demonstrabo. Leguntur enim f. 15ᵛ, post sch. metr. P. I, haec: *ἐντεῦθεν ἐμετρήθη τὰ Πύθια παρὰ τοῦ λογιωτάτου κυρίου Δημητρίου Τρικλινίου* (cfr. Schneider p. 9). Membrum 1 strophae P. II: *τὸ α′ τροχαϊκὸν ἐφθημιμερὲς τοὺς πρώτους δύο πόδας ἔχον ἐκ τριβραχέος ἤτοι χορείου* (cf. Schneider p. 9, Abel p. 456); P. IV epod. 13: *τὸ ιγ′ τροχαϊκὸν ὅμοιον τῷ ε′. ἑξῆς δ' ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ἔστι δὲ τὸ ᾆσμα ιγ′ στροφῶν*, cfr. Schneider p. 20. Etiam scholia metr. P. I Triclinii recensionem exhibent, quam scholiis veteribus usus concinnavit; cfr. str. 12: *τὸ ιβ′ τροχαικὴ συζυγία ἤτοι μονόμετρον. ἑξῆς ἡ παράγραφος ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ*, prorsus ut Schneider p. 1, Abel p. 430. Haec igitur scholia non contuli.

In codice Ambrosiano 661 (olim Q 5 sup.), de quo conferatur Studemund Anecd. p. 152 sqq., post epitomen Hephaestionis quam edidit Consbruch p. 359—362 sequuntur scholia metrica Pindarica. Incipiunt f. 50ʳ a verbis: *τὸ μέτρον τοῦτο τοῦ Πινδάρου ὑπάρχει τριάς. τριὰς δέ ἐστι ποίημα ἐν ᾧ στροφή, ἀντίστροφος καὶ ἐπῳδός. ὧδε ἄρχονται τῶν ᾠδῶν αἱ στροφαὶ καταριθμεῖσθαι. τῆς πρώτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων.* Reliquum f. 50ʳ et initium f. 50ᵛ vacua relicta; sequitur descriptio membrorum Ol. II—P I, quae desinit f. 55ʳ. — Sunt scholia metrica vetera recen-

sionis ei quae in DQ exstat proximae, sed corruptissima; interspersae sunt explicationes metrorum quae metrica vetera solis nominibus indicant, velut Ol. III post str. 9: *τὸ ἐγκωμιολογικόν ἐστιν ἀπὸ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ πενθημιμεροῦς ὁμοίως.*: — *προσοδιακὸν τὸ ἀπό τε χοριάμβου καὶ ἰωνικοῦ ἢ ἰωνικοῦ καὶ χοριάμβου.* — Librarius haud raro descriptiones duorum membrorum in unum confudit, deinde errorem ita correxit ut postea descriptionem unius membri ex suo ingenio intercalaret; velut Ol. III epod.: *τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον πενθημιμερές* (debuit esse: *τὸ β' δακτυλικὸν πενθημιμερές*). *τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ τοῦ ἀπὸ μείζονος. τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον*; a membro deinde quarto descriptio ordine procedit. Interdum plures descriptiones mire perturbatae, velut initio str. Ol. III; sed cum nihil aliud subsit quam librarii error et somnolentia, talia exemplis illustrare supersedeo. — Eadem scholia metrica quae Ambrosianus, relicto item spatio ad scholia Ol. I excipienda, continet cod. Barberinus 1, 19 (olim 298) f. 75ᵛ sed ea ex Ambrosiano descripta esse ostendit praeter cetera descriptio membri 5 epodi Ol. II, ubi uterque codex haec eodem modo habet: *ἡ δὲ ἀπόδοσις ἐν τῷ λάιον τοῦ ι πά....* (lac.) *ὑφίζησις* (sic!).

Cod. N (Ambr. 310, olim E 103 sup.) post Ol. XIV f. 71ʳ continet tractatum de pedibus, cui suprascriptum est *περὶ μέτρων Πινδαρικῶν.* Incipit: *Πόδες εἰσὶ δισύλλαβοι τέσσαρες, καὶ εἰκότως· ἐπεὶ γὰρ δύο χρόνοι εἰσί, μακρὸς καὶ βραχύς, οἱ τοιοῦτοι* (*τοιοῦτο* cod.) *δύο χρόνοι συμπλεκόμενοι πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους δ' πόδας ἀποτελοῦσι*; desinit f. 71ᵛ: *δισπόνδειος ὀκτάχρονος οἷον Ἡρακλείδης.* Haec neque cum Tzetze neque cum capitulo d, quod infra edidi, consentiunt, nec ego usquam alibi inveni. Sequitur post lacunam versuum 10—12 definitio prosodiaci eadem fere quam supra ex cod. Q 5 sup. citavi; deinde scholia metrica Ol. III—XI, cum inscriptionibus Ol. XI (cf. huius ed. I p. 342, 15—18). Pindarus autem ipse in N scholiis metricis caret. Scholia metrica charta detrita passim aegre leguntur; sunt autem generis vulgati Vaticani, neque ullius pretii.

Eustathii prooemium.

Τοῦ αὐτοῦ ἔτι ἐν διακόνοις ὄντος πρόλογος τῶν Πινδαρικῶν παρεκβολῶν.

Ἅπαντι μὲν ποιητῇ μέμηλε τοῦ ᾄδειν, ὡς οἵ τε πρὸ Ὁμήρου ἱστοροῦνται ποιεῖν διὰ Μουσῶν μέσων καὶ εἴ τι κατ᾽ ἐκείνας ἄλλο δαιμόνιον φῦλον πρὸς μέλος ἁρμόττεται, καὶ αὐτὸς δὲ ὁ κορυφαῖος ἐν ἐκείνοις Ὅμηρος. καὶ τὸ τοιοῦτον ᾄδειν, εἴτ᾽ οὖν ὁ μεμελισμένος λόγος, ὃ δὴ καὶ ᾠδῆς ἐστιν ὅρος, παρήγαγεν ὡς οἷα καί τις πρωτοτυπία τοὺς ῥαψῳδούς, τοὺς στιχῳδούς, τοὺς ἀρνῳδούς, τοὺς κιθαρῳδοὺς καὶ ὅσοι ἕτεροι τοιαύταις ἐναγλαΐζονται κλήσεσιν. ὅπως δὲ ᾄδοντες ἦσαν ὡς ἕκαστοι καὶ καθ᾽ οἵας ἁρμονίας, ὧν προεῖχον τέσσαρες αὗται μάλιστα, ἡ κατὰ Ἴωνας, ἡ τῶν Δωριέων, ἡ Αἰολικὴ καὶ ἡ Λυδιστί· τὰς γὰρ ἀπ᾽ αὐτῶν μίξεις καὶ τῆς ἀρχαίας ἐν ἁρμονίαις ὁδοῦ ἀποπλανήσεις, καὶ ὅσαι δὲ ἀπὸ βαρβάρων ὡς εἰς κληρονομίαν παρενεγράφησαν τοῖς Ἕλλησιν, οὐ πάνυ τι ἐφίλουν οἱ εὐγενεῖς ᾄδειν· θεωροῦσιν ἐν τοῖς παλαιοῖς ἄνδρες πολλοί τε καὶ σοφοί, οὓς εἴ τις αἱροῖτο, ἐπερχέσθω τοῦ ψιλῶς εἰδέναι χάριν· ἐπιστήμην γὰρ ἐκεῖθεν ἀναλαβέσθαι πρὸς ἀκρίβειαν οὐκ ἂν οἶμαι ῥᾴδιον εἴη, ὀκνῶ γὰρ εἰπεῖν ὡς καὶ ἀδυνάτου ἐγγύς, τοῖς καὶ αὐτὰ τὰ δάκτυλα πρὸς ἐμμελῆ κίνησιν ἀρρύθμοις καὶ οὐδὲ οἵοις τε οὖσι μουσικῆς κρατῆσαι τέχνης ὡς ἐξ ὑπαρχῆς· εἰ καὶ αὐτοὶ ἀνατεταμένοι πρὸς ὄγκον ἢ κόμπον μὴ μόνον κατὰ περιγείους μουσικῆς νόμους, ἀλλὰ καὶ κατὰ οὐρανίαν ἐμμέλειαν ᾄδειν ἂν τερθρεύοιντο, ὁποίαν τινὰ ὁ τὴν σοφίαν αἰθέριος Πυθαγόρας εἰς γῆν ἐκεῖθεν καταγαγεῖν ἐσεμνύνατο καὶ πρὸς αὐτὴν τὰ πλῆκτρα χειρίζεσθαι. οὔκουν ἐν τοῖς νῦν ἐπιστήμην ἔστιν ἀναλαβέσθαι παλαιτάτην ᾠδικήν· ταὐτὸν γὰρ ἄρτι ἐνευστοχῆ-

8 Strab. 1, p. 18 (cf. Eust. Il. p. 9, 5) 10 Sch. N. II 1, p. 31, 3 et 14

10 ἁρμωδοὺς **C**[2] **15** *καὶ* (alt.) s. v. **C**

σαι τοῖς παλαιοῖς μεθοδευταῖς τῆς ᾠδῆς ἔν γε τοῖς κρυφιωδεστέροις, καὶ αὐτόν τινα μελικὴν ἐκκαινῆς γλαφυρὰν ἐπιστήμην ἐξευρεῖν. τὸ γὰρ ἀτριβὲς καὶ ἐκ μακροῦ ἀδιασάφητον καὶ σεσιγημένον τῶν μεθόδων, ὅθεν ἡ τέχνη κατέδυ ὡς οἷα καὶ τεθνηκυῖα, εἰς ταὐτὸν ἤγαγεν ἐν τοῖς καθ' ἡμᾶς τό τε ἐξευρεῖν ἀρχαιοπρεπεῖς ᾠδὰς καὶ τὸ συνιέναι ὧν ἐπ' αὐταῖς βαθέα τεχνολογοῦσιν οἱ παλαιοί. ἀλλ' οὕτω μὲν ποιητὴς ἅπας ᾠδικὸς κατὰ μέθοδον ἦν εἴτε αὐτὸς ἐξευρὼν διωργάνωσεν εἴτε καὶ ἑτέρωθεν παρειληφὼς ἠκριβώσατο· (2.) ἡ δὲ λυρικὴ διαχείρισις, ἐν ᾗ προλάμπει ὁ κατὰ τοὺς σεμνολογοῦντας μεγαλοφωνότατος Πίνδαρος, ἐξαίρετόν τινα ἑτεροιότητα ᾠδικὴν ἔχει παρά γε τὰς παλαιάς, οὐ ποικίλως ἐγκροαίνουσα, καθὰ τρέχοι ἂν Ὅμηρος καὶ οἱ κατ' αὐτόν, ἀλλ' ὁδὸν ἁπλουστέραν ἑλομένη τινὰ καὶ ὀλιγοσχιδῆ, καὶ οὐδὲ ὡραϊζομένη πανηγυρικῶς οἷς ποικιλείμων πρόεισι καὶ τανύπεπλος, ἄλλως δέ πως καινοφανέστερον σφιγκτὸν ἑαυτῇ πέπλον σεμνὸν καὶ οὐδὲ εὐπάρυφον ἐκφανῶς ἐξυφαίνουσά τε καὶ ῥάπτουσα, καὶ οὔτε τὸν αὐτῆς ἀνδρῶνα εἰς πολυκλίνους τόπους εὐρύνουσα, οὐδὲ μήν, εἴ τις παρ' αὐτῇ σεμνὴ γυναικωνῖτις, εἰς θαλάμους οὐδ' αὐτὴν διϊστῶσα οἳ λίαν προσήκοιεν ἂν προσώποις γυναικικοῖς εἰς κόσμον διαπρεπῶς. μισθοῦ γάρ τινος οἱ λυρῳδοὶ χοραυλοῦντες καὶ ἀπολαμβάνοντες πρόσωπα ἐν οἷς δώρων ἁλίσκονται λαλοῦσι, γλίσχρως μέντοι πρὸς λῆψιν, καὶ τὰς γλώσσας ὡς οἷον ἐκδήσαντες τῶν τοιούτων πονοῦνται πρὸς αὐτοῖς καὶ μόνοις· ὅθεν οὐκ ἔχουσι πολυειδῆ θαμὰ τρωπᾶν ῥητορείαν κατὰ τὸν πολύφωνον Ὅμηρον, ἀλλὰ κατὰ μισθωτούς τινας ἑνί τινι προσέχουσιν ὡς τὰ πολλὰ προσώπῳ, καὶ ὡς πρὸς ὕδωρ αὐτὸ ᾄδοντες ταχὺ ἀπορρέουσι τοῖς μελίσμασι, καὶ τοῦ Ὁμηρικοῦ ὠκεανοῦ μακρὰν μένοντες ἀγαπητὸν εἰ καὶ εἰς ἀξιόλογα λιβάδια καταστάζοιεν. (3.) αὐχοῦσι δὲ ὅμως καὶ ἐν τοῖς τοιού-

10. 11 Athen. XIII p. 564d? 25 cfr. I 521

2 (ἐκκαινῆς C; prius κ expunxisse vid. C²) 6 ante ᾠδὰς duas cruces et ad mg. crucem C 15 τανύπεπλος] υ ex corr. C²? 22 ἐν οἷς δώρων ἁλίσκονται obscura 28 ἀπορέουσι C¹

τοις πολὺ τὸ σεμνὸν ὅσοι τοῦ κατὰ τὴν τοιαύτην ποίησιν σκοποῦ πρὸς εὐστοχίαν κατατοξάζονται, ὧν ὑπέρκειται Πίνδαρος πολλὰ μὲν, ὥς γε αὐτὸς ἂν εἴποι, βέλεα φωνεῦντα ὑπ' ἀγκῶνος φέρων, οὐδὲν δέ τι τῶν τόσων βελῶν εἰς μάτην ἐπαφιεὶς, βαθὺς τὰς μεθόδους τῶν ῥητορειῶν, πόριμος ἐμπλατύνεσθαί τε καιρίως οἷς φράζει καὶ αὖθις ἀποστενοῦν, τὸ σῶμα τοῦ λόγου ἰσχαίνων ὅποι δέον ἐστὶν, καὶ τοῦτο πολυειδῶς· οἷον ποτὲ μὲν παρεκβαίνων ἔνθα προγόνων ἄλση χώραν αὐτῷ ὑφαπλοῖ περιϊέναι τὰ ἐκεῖσε κατ' ἀρετὴν κάρπιμα, ποτὲ δὲ στενολεσχῶν ἔνθα ψίλωσιν εὑρίσκοι ἐν τοῖς ἐπαινουμένοις τοῦ ἀνθολογεῖν τὰ χρηστότερα· ποιῶν δὲ, φασὶ ταῦτα καὶ ἄλλως, τὸ μὲν μῆκος τοῦ λόγου διὰ βαρεῖαν ὁλκὴν δωρεᾶς, οὐδὲ γὰρ ἐλύριζεν οὐδ' αὐτὸς ἀδώρητα, τὸ δὲ ὀλιγόμηκες διὰ βραχύτητα δόσεως, οἷα συμμετρῶν τοὺς λόγους οἷς ἐλάμβανε καὶ ὡς εἰπεῖν πρὸς χεῖρας δωροφόρους λαλῶν καὶ αὐταῖς τὸ σῶμα παρεξισῶν. (4.) ἔστι δὲ αὐτοῦ θαυμάζειν ὥσπερ τὰ βραχυλογικὰ, οὕτω καὶ τὰ τοῦ πλατυσμοῦ· καθ' ὃν εὐροῶν μὲν ἐπαίνοις ὅποι ἐγχωρεῖ πλατὺς ῥέει, δυσπορίστως δὲ ἔχων ἐγκωμιάζειν ἢ ἐπιτέμνει τὸν ἐπίνικον σχάσας τὸ γραφεῖον, ὡς οἷα μηδὲ βάπτειν ἔχων αὐτὸ εἰς ἀντίχαριν χρυσοῦ ἤ τινος δωρεᾶς, ἢ ἀλλὰ παρεκβαίνει τὰ πολλὰ εἰς μακρὸν, ὡς εἶναι ἔστιν οὗ τὴν παρέκβασιν, τὸ πάρεργον, τοῦ ἔργου τῆς ᾠδῆς μείζονα, καὶ προκοιλιοῦσθαι τὸ σῶμα τοῦ μέλους τῇ παρεκβάσει δίκην προγάστορος. καὶ ἔστιν οὐδὲ τοῦτο ἁμάρτημα γραφῆς τῷ Πινδάρῳ, ἀλλὰ τέχνης μέθοδος παρεκβατικὴ χαρτὰ ποιούσης αὐτῷ καὶ τὸ τοῦ λόγου ἅρμα ἐλαυνούσης μακρότερον, πρὸς ἔνδειξιν πολυμαθείας τε καὶ ἰσχύος γραφικῆς. (5.) διττῆς δὲ οὔσης τῆς παρεκβάσεως, καὶ τῆς μὲν ἀπηρτημένης πάντη καὶ ἀσυμφυοῦς πρὸς τὰ τοῦ νικητοῦ, τῆς δὲ κολλωμένης εἰς τὰ αὐτοῦ καὶ συμβαλλομένης εἰς τὸν τοῦ νικητοῦ ἔπαινον, αὕτη μὲν

3 O. II 83

7 ἰσχναίνων Abel 11 ποιῶν] εἰπεῖν Schneidewin, cl. p. 297, 15 (parum recte) 26 μακρότερ(ον) s. μακροτέρ(αν) C; μακροτέραν edd.

ὡς μέρος ἐστὶ τῆς ᾠδῆς, ἐκείνη δὲ ἄλλως ἀποσεμνύνει τὸν νικηφόρον, ἀρκούμενον εἰ τοὔδαφος τῆς Πινδαρικῆς ᾠδῆς συγκατακείμενον καὶ αὐτὸν ἔχει προσώποις ἡρωϊκοῖς, ἢ καὶ ἄλλως ἐὰν θεῖος καί πως οὕτω σύνναος ὁ νικητὴς ἐν μιᾷ ᾠδῇ γίνοιτο προσώποις μεγάλοις καὶ ὑπὲρ αὐτόν, καὶ τὰ τῆς τιμῆς συμμερίζοιτο. λογιστέον δὲ εἰς παρεκβάσεων σύναρσιν καὶ τὰς τῶν φυλῶν ἤτοι φατριῶν μνήμας καὶ τὰς περὶ αὐτῶν ἱστορίας, ἔτι δὲ καὶ τὰς τοπογραφίας εἴ που καὶ αὐταὶ παραπέσαιεν, καὶ τὰ ἐκ μύθων δὲ καὶ ἱστοριῶν παραδείγματα, δι' ὧν ἡ παρεκβατικὴ μέθοδος τῷ Πινδάρῳ ἐξανύεται. (6.) δῆλον δὲ ὡς καὶ ἀσάφειαν ἐπιτηδεύεται ἐν πολλοῖς, καὶ οὕτω πλουτῶν ἐν τῷ γράφειν ὅμως καὶ ταυτολογεῖ νόμῳ ῥητορικῷ, ποτὲ μὲν ἐν τοῖς ἔγγιστα, ποτὲ δὲ πορρώτερον. (7.) κατείληπται δὲ καὶ ἄριστα γνωμολογῶν, τὰ μὲν καὶ ἐκ παλαιτέρων παραποιῶν, τὰ δὲ καὶ αὐτὸς ἀποφαινόμενος. φιλοτιμεῖται δὲ καὶ μύθοις καὶ ἱστορίαις, ἐκεῖνο μὲν ποιητικώτερον, τοῦτο δὲ πρὸς ἀλήθειαν, ἧς ἐφίενται οἱ σοφοί. (8.) καὶ μὴν εἰ καὶ δωρίζει, οὐχήκιστα δὲ καὶ αἰολίζει, ὅμως οὐδὲ τῶν ἄλλων διαλέκτων ἀπέχεται λόγῳ κοινῆς, καθάπερ οὐδὲ γλωσσῶν τῶν ἰδίως· ποιεῖ δὲ αὐτὸ μετεωριζόμενος εἰς πολυειδὲς μέγεθος λυρικῷ χαρακτῆρι. διὸ καὶ ἀττικίζων, φιλῶν δὲ καὶ τὴν σαφήνειαν τὴν τῶν Ἑλληνικῶν λαλιῶν οἷον ψυχήν, ἵνα μὴ ἄψυχα γράφῃ καὶ πάντη ἀγλευκῆ ἀνθολογήματος τοιοῦδε γλυκέος ἀποστερῶν τὰ σίμβλα τῆς αὐτοῦ ποιήσεως, ὅμως βραχέα τοῖς τοιούτοις ἐντρέχων ταχὺ μεταπηδᾷ, διαλέκτοις τε φίλαις αὐτῷ ἰδιάζων τοὺς λόγους, καὶ μὴν καὶ τοὺς κοινοὺς παρεκκλίνων σχηματισμούς· δι' αὐτὸ δὲ οὐδὲ τῇ γοργότητι κατακόρως χρώμενος καὶ μάλιστα τῇ κατὰ κόμματα καὶ ὅση δὲ περὶ λέξεις γλισχρεύεται. (9.) καὶ τὴν σκωπτικὴν δὲ φιλῶν πολύτροπον καὶ ταύτην διαχειρίζεται γλυκασμοῦ χάριν, πῇ

6 εἰς] ς s. v. C 7 καὶ τὰς — 8 ἔτι δὲ repet. C (in init. nov. pag.) 8 τοπογρα[φίας εἴ π]ου C (perforata charta); suppl. C² 13 πορρώτερ(ον) s. πορρωτέρ(ω) C 15 αὐ[τὸς ἀποφ]αινόμενος C; rescr. C² 19 λόγῳ κοινῆς non intellego; λ. κοινῶν Schr. 27 γοργότητι s. γοργοτάτῃ C^cp; -τάτῃ edd.

μὲν κατὰ ὁμοτέχνων, πῇ δὲ καὶ ἑτεροίως. ὡς δὲ καὶ ἐπιχειρηματικός ἐστιν ὅτι μάλιστα καὶ εὔπορος ἐπὶ πᾶν· καὶ ὡς ἀπρόσιτος μὲν καὶ θύρας ἐπιτεθειμένας ἔχων τοῖς ὅ φασι βεβήλοις τὰ εἰς ἀγροικίαν, τοῖς γε μὴν συνετοῖς ἀείδων χαρίεντα, οἳ τὸ λαβυρινθῶδες τῆς ἐν αὐτῷ φράσεως καὶ τοῖς πολλοῖς ἀδιόδευτον ἀπευθύνουσι καὶ τὰς ἕλικας περιοδεύοντες ἕως καὶ ἐνδοτάτου εἶτ' αὖθις ἀνελίττουσι καὶ οἴκοι κατ' ἔμφρονα νοῦν ἀποκαθίστανται· καὶ ὡς ἱλαρύνει μὲν ἀκοὴν οἷς καὶ ξυνετὰ λαλεῖ καὶ πρὸς γλύκασμα, ἐκπλήττει δ' αὖθις οἷς καὶ τὴν φράσιν κατὰ πολυτροπίαν στρυφνοῖ ἑτέρωθι, καὶ λέξεις δὲ τὰς ἐκ τριόδων ἀπορρίπτων παρεμπλέκει που καὶ ἃς ὁ τὴν ἀρχὴν ἀκούσας πάνυ ἐπαπορεῖ· ἔτι δὲ καὶ ὡς τοῖς ἐπιθέτοις παμποίκιλός ἐστι, καὶ ὅσα δὲ ἄλλα πρὸς ἀρετὴν ποιήσεως ἔστιν αὐτῷ ἐπιγράψαι, ἡ τῆς ἀναγνώσεως ἐκκαλύψει διέξοδος· ἧς προληπτέον καὶ ταῦτα πάνυ ἀναγκαίως εἴς τε σαφήνειαν πλείονα τῶν προσεχῶς δεδηλωμένων καὶ εἰς θεωρίαν ἐντελεστέραν, ἣν οὐκ ἂν ἐρεῖ τις ἀπᾴδειν πρὸς τὰ τοῦ λυρικοῦ.

(10.) Ὁ προκεχειρισμένος εἰς παρεκβολὴν μελικός, οὗ τὸ τῆς μεταλλείας πολύσχημον φαίνεται, πολύνους ὢν ἐφ' ἅπασιν ἐν μὲν διηγήσεσι καὶ ἑτέραις οὐκ ὀλίγαις ἐννοίαις ἀσαφέστερον διάκειται, καὶ ὡς αὐτός πού φησιν ἑρμηνέων ἐς τὸ πᾶν χατίζει, πᾶν ἐκεῖνος ἐνταῦθα λέγων οὐ τὸ ἁπλῶς καθόλου, ἀλλὰ τὸ μεθ' ὑπεξαίρεσιν τῶν συνετῶν, ὅ ἐστι συνιέντων ὡς λογιωτέρων, ὧν περιαιρεθέντων τῆς τῶν ἀκροατῶν ὁλότητος τὸ ἐπίλοιπον ἀλλὰ καὶ αὐτὸ πᾶν ἐστιν, ἀπέριττον μέντοι κατὰ γνῶσιν, καὶ δι' αὐτὸ ἑρμηνέων χατίζει. καὶ οὕτω μὲν ἐν ἄλλοις ὁ Πίνδαρος ἀσαφῶς ἐθέλει γράφειν ὡς ἑρμηνέων δεῖσθαι ἐς τὸ πᾶν, καθὰ εἴρηται· ὅτε δὲ θαυμαστῶς γνωμολογεῖν δεήσει καὶ ἄλλως δὲ εἰπεῖν τι ἀστεῖον, τότε δὴ βιάζεταί πως εἰς τὰ πολλὰ ἠρέμα πρὸς σαφήνειαν ἑαυτόν, ὡς ἂν τὸ καλὸν εἴη κάλλιον παρ' αὐτῷ καὶ μὴ λανθάνοι

3 cfr. Plat. conv. p. 218b 21 O. II 85

7 ἐνδοτάτου Tafel: ἐνδότ(α)τ(α) C, ut vid. 12 ὡς s. v. C

ἀσαφείᾳ βαθείᾳ ἐπηλυγαζόμενον ὅσα καὶ φῶς νέφει τινί. (11.) γίνεται δὲ αὐτῷ ἡ ἀσάφεια, ἣν ἐπίτηδες πολλὴν ἐπισύρεται, ἔκ τε συντάξεων ἀσυνήθων κατ' ἰδιότητα σχήματος φίλην αὐτῷ, ἃς ἀναστρέφειν χρὴ πρὸς ὀρθότητα φράσεως, καὶ ἐκ τοῦ χρᾶσθαι ἀντὶ ὅλων τοῖς μερικοῖς, ὃ ζηλοῖ ὡς μάλιστα καὶ Λυκόφρων ἐν τοῖς ὕστερον. παραδείγματα τοῦ μὲν Λυκοφρονείου ζήλου ἐν τοῖς ἑξῆς μυρία Πινδαρικὰ φανεῖται, τοῦ δὲ τάσσειν ἀσυνήθως καθ' ὑποταγὴν τῶν ὀφειλόντων προτάττεσθαι τὸ ἐνίκησαν οἵ, ἤγουν οἵτινες ἐνίκησαν· καὶ τὸ ἔπαθον αἳ μεγάλα, ἤγουν αἵτινες ἔπαθον· καὶ καμόντες οἳ πολλά, ἤγουν οἱ καμόντες· καὶ ἐν καὶ θαλάσσῃ· καὶ ἐν καὶ τελευτᾷ· καὶ τελεῖν μή τινα, καὶ ὅσα τοιαῦτα. (12.) ἔτι δὲ ἀσαφὲς αὐτῷ σὺν ἄλλοις καὶ τὸ ἐν στοιβῇ ἀποφάσεων μίαν παραλείπειν ὡς νοουμένην κατὰ κοινοῦ καὶ αὐτὴν ἐκ τῶν ἐφεξῆς ἐκπεφωνημένων· οἷον ἄδικον οὔτε ὑπέροπλον ὕβριν δρέπων, ἤγουν οὔτε ἄδικον ὕβριν οὔτε ὑπέροπλον· καὶ πάλιν ναυσὶ δ' οὔτε πεζὸς ἐὼν εὕροις ἐς Ὑπερβορέους ὁδόν, ἤγουν οὔτε ναυσὶν οὔτε πεζῇ ὁδεύσοις ἂν ἐς Ὑπερβορέους· καὶ ἑτέρωθι δὲ νόσοι οὔτε γῆρας οὐλόμενον κέκραται γενεᾷ, ἤγουν οὔτε νόσοι οὔτε γῆρας. τοῦτο δὲ τὸ σχῆμα καὶ τοῖς ὕστερον ἐξήλωται, οἷον ξίφος οὐδὲ πῦρ οὐδ' αἰκισμοί, ἤγουν οὐ ξίφος, οὐ πῦρ, οὐκ αἰκίαι. τοιοῦτόν τι καὶ τὸ βαρουμένη γαστὴρ οὐ μόνον πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία· τὸ γὰρ ἐντελὲς οὐ μόνον οὐ πρὸς δρόμον ἐπιτηδεία. ἔχοι δ' ἂν οὕτω συμβιβάσαι τις καὶ τὸ ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων [οὐκ] ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων· ἀρνήσεως γὰρ ἔνδειαν τὸ πρῶτον ἔχειν δόξοι ἂν κόμμα νοουμένης ἀπὸ κοινοῦ ἐκ τῆς

9 fr. 12 10 O. II 23. — O. II 8 11 O. II 28. — O. VII 26 12 O. II 93 15 P. VI 47 17 P. X 29 19 P. X 41

5 (χρᾶσθαι C; cfr. p. 303, 23) 8 ἀσυνήθως rescr. C² 12 τεκεῖν Pind. 15 ὕβριν] ἥβαν Pind. 17 ἰὼν Pind. 18 ὁδεύσαις Hermann 21 αἰκισμός edd. 25 οὐκ del. Schneidewin, recte, credo, quamvis verba obscura sint

κειμένης ἐν τῷ δευτέρῳ. Πινδαρικὸν δὲ καὶ τὸ Διΐ ⟨καὶ⟩ σὺν Αἰακῷ, ἤγουν σὺν Διῒ καὶ σὺν Αἰακῷ· καὶ ἐν αὐτῷ γὰρ ἀπὸ κοινοῦ λαμβάνεται ὡς καὶ ὀπίσω τὸ τεθὲν ἔμπροσθεν, ἤγουν ἡ σύν πρόθεσις. (13.) *ἔστι δὲ καὶ διὰ τὸ λίαν περιφραστικὸν ἀσαφὴς ὁ Πίνδαρος, ὃ τεχνᾶται δεξιώτατα, εἰς ἑαυτόν τε τοῦτο ποιῶν καὶ εἰς τὰ τῶν ἄλλων.* (14.) *ὅτι δὲ ὥσπερ ἡ πυκνὴ περίφρασις παρ' αὐτῷ ἀσάφειαν ποιεῖ, οὕτω καὶ ἡ συντομία, καθ' ἣν στενολεσχεῖ που ὁ ἐν πολλοῖς πλατύνεσθαι τεχνώμενος,* (15.) *καὶ ἡ καινότης δὲ τῶν διαλέκτων, δι' ἧς καινοφραδής ἐστι καὶ ἀλλόκοτος εἰς ἀκοήν, ἡ τοῦ βιβλίου δηλώσει ἀναγνώρισις.*

(16.) *Καὶ ἐπιθέτων δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διεκπέφηνεν, ὡς ὅτε δίχα μυρίων ἄλλων τὸ γενναῖον κρατησίμαχον λέγει· καὶ ἵππον κρατησίποδα τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ χαλκόποδες ἵπποι καὶ τοῦ κραταίποδες· καὶ πόλεμον χαλκεντέα· καὶ λαὸν ἵππαιχμον, ὡς πρὸς τὸ ἱπποκορυστήν· καὶ φόβον ἀνδροδάμαντα, ὡς εἴ τις εἴποι λαοδάμαντα· καὶ Δία εὐρύζυγον ἄλλως παρὰ τὸ ὑψίζυγον, τὸν δ' αὐτὸν καὶ ὀρεσίκτυπον καὶ ἐρισφάραγον καὶ ὀρσινεφῆ καὶ αἰολοβρόντην καὶ φοινικοστερόπαν· καὶ Ἀθηνᾶν δὲ ἐγχείβρομον καλεῖ ἐπιθετικῶς· καὶ αἰχμὴν δαμασίμβροτον· καὶ ἁλιερκέα Αἴγιναν, ὡς εἴπερ ἔφη ἀμφίαλον· καὶ κρατησιβίαν χερσί, τὸν ῥωμαλέον· καὶ ἁρμασιδούπους, τοὺς ἱππικωτάτους· καὶ ἐλασίχθονα Ποσειδῶνα, τὸν ἐννοσίγαιον· καὶ ἑλικοβλέφαρον Ἀφροδίτην· καὶ ζωθάλμιον χάριν, καθ' ἣν ζῶν τις θάλλει· καὶ ἀγῶνα δὲ μνησιστέφανον, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύ-*

---

1 P. VIII 99   13 P. IX 86   14 fr. 13   15 Θ 41. — epigr. Hom. 15, 9   16 N. I 16b. — N. I 17. — B 1   17 N. III 39. — Aesch. Sept. 343?   18 fr. 15. — Δ 166   19 O. X 81. — fr. 14. — N. V 34. — O. IX 42   20 O. IX 6. — O. VII 43   21 O. IX 79. — O. VIII 25   22 α 386. — fr. 16   23 fr. 17. — fr. 18   24 fr. 123, 4   25 O. VII 11   26 fr. 19

---

1 *διὶ καὶ* Hermann: *δὶ ΐ* C *δὶ καὶ* Pind.   19 *ὀρσίκτυπον* Pind.   25 *χάριν*] *χάρ* C

τατον μνηστῆρα στεφάνων εἶπεν, ὥς που καὶ αὐλητικὸν νόμον μνηστῆρα ἀγώνων ἔφη, ἤγουν εἰς μνήμην ἄγοντα τοὺς ἀγῶνας· καθὰ καὶ λαὸν μνηστῆρα πολέμου δριμέως πού φησι τὸν μεμνημένον μάχης, παρὰ τὸ μνήσασθε δὲ θούριδος ἀλκῆς. πολλαχοῦ δὲ καὶ δριμέως γράφει μηδεμιᾶς τῶν ῥητορικῶν ἰδεῶν ἀπεχόμενος, ὡς καὶ ὅτε τοὺς ἐνδόξους εὐωνύμους φησί, καὶ λιτὴν δὲ Ἠῶ τὴν εὐκταίαν καὶ ὡς ἄν τις Ὁμηρικῶς εἴποι, πολύλιστον, εἴτε καὶ καθ' ἕτερόν τινα τρίλιστον. τοιοῦτον δέ τι καὶ τὸ στάσιν ἀντιάνειραν φάναι, Ὁμήρου Ἀμαζόνας ἀντιανείρας εἰπόντος. ὅλως δὲ καὶ ἡ φιλοτιμία τῶν καινοφώνων ἐπιθέτων ἐπιτετήδευται τῷ Πινδάρῳ τὰ πλείω ἐκ παραποιήσεων καὶ ὁμοιώσεων παλαιῶν. καὶ δοκεῖ ὁ ἀνὴρ κἀνταῦθα μὴ ἐθέλειν ποιηταῖς ἑτέροις φανερῶς ἐπακολουθεῖν, εἰ δέ που καὶ ἀλῷ ἐφεπόμενος, ἔχειν ἐκτροπάς τινας, δι' ὧν ἄλλην τινὰ τρέπεται παρὰ τὰς λεωφόρους. (17.) ἔστι δὲ πρὸς τούτοις καὶ ἀλληγορικὸς ὁ ἀνὰ χεῖρα μελοποιὸς καθ' ἑκατέραν ἀλληγορίαν, τήν τε κατὰ ῥήτορας, ἣν καὶ Ἑρμογένης οἶδε καὶ οἱ ὁμηρίζοντες, καὶ ἣν πραγματεύονται οἱ τὰ μυθικὰ θεραπεύοντες. εἰ δὲ σκληρῶς ἀλληγορεῖ τὰ πλείω, ἀλλὰ καὶ οὕτως ἡδὺς δοκεῖ, ὡς καὶ ἁπλῶς λυρικὸς καὶ ὡς Πίνδαρος ἰδιότητα σῴζων ἣν αὐτὸς εἵλετο, οὐκ ἐκπίπτων ἄκων εἰς ψυχρίαν, ἀλλὰ σκοπὸν αὐτὸ προθέμενος καὶ εὐστοχῶν εἰς γραφῆς ἰδιότητα δυσμίμητον· καθ' ἣν καὶ τὴν τροπὴν πάνυ φιλῶν, ἧς ἄνευ οὐκ ἂν συσταίη οὔτε λόγος ῥητορικὸς οὔτε ἄλλη τις ὁμιλία, ἐπεκτείνει καὶ τὰ τῆς τροπῆς δι' ἀλληγορίας ἐχούσης τι καὶ σκληρότητος, εἰς παράσημον ἑαυτῷ καὶ τοῦτο τιθέμενος. (18.) ἐμμετριάζει δὲ καὶ ἐκφράσεσι καὶ προθεωρίαις δέ που διαφωτίζει ῥητορικῶς τὰ γραφόμενα. (19.) παρεκβαίνει δὲ καὶ εἰς παλαιὰς ἱστορίας οἷα καὶ πολυΐστωρ, ἔτι δὲ καὶ εἰς μύθους τρόποις πολλοῖς, ἐνίοτε καὶ ὑπὲρ τὸ μέτριον, χρώμενος

1 fr. 20 2 P. XII 24 3 N. I 16b 4 Δ 234 6 O. II 7 7 fr. 21 8 ε 445. — Θ 488 9 O. XII 16. — Γ 189

8 πολύλλιστον Schneidewin 22 αὐτὸ] ἑαυτῷ dubitanter cj. Abel, cl. v. 26 27 (ἐμμετριάζει C)

ταῖς μὲν τῶν παρεκβάσεων οὐ κατά τινα ἐκφανεστάτην συνάρτησιν, ταῖς δὲ διὰ παραδειγματικὴν ἀνάγκην, τισὶ δὲ καὶ πρὸς γνωμολογικὴν πίστωσιν, ταῖς πλείοσι δὲ δι' ἐγκώμια προγόνων ἢ πατρίδος ἢ φατριᾶς τοῦ νικητοῦ. (20.) οὕτω δὲ στρυφνῶς φράζει ταῖς ἐννοίαις κατὰ πολύνοιαν ὡς ἔργον εἶναι πολλαχοῦ μιᾷ τινι σταθερῶς ἐννοίᾳ ἐνευστοχῆσαι τὸν ἀναγινώσκοντα διὰ τὸ οὕτω καὶ οὕτω νοεῖσθαι αὐτὴν κατὰ τὰ ἐν χρησμοῖς ἀμφίβολα. πολλὰ δὲ τῶν τοῦ Πινδάρου καὶ γνωμικῶς δοκοῦντα λέγεσθαι ὅμως καθ' ἑτεροίαν ἐπιβολὴν εἰς ἰδίαν ἔννοιαν ἕλκονται. ἔστι δὲ δεινὸς καὶ οὐ μόνον τὸ ἓν ἐπεκτείνειν παραφράσεσι καὶ περιφράσεσι καί τισιν ἑτεροίαις μεθόδοις, ἀλλὰ καὶ τὰ πολλὰ συναιρεῖν εἰς κομιδῇ βραχύ. Ὁμήρου γοῦν χάλκεον οὐρανὸν φαμένου καὶ θεῶν ἕδος ἀσφαλὲς καὶ χρύσεον δάπεδον, αὐτὸς ἐπιτεμὼν ταῦτα συνεῖλεν εἰς τὸ χαλκόπεδον θεῶν ἕδραν τὸν οὐρανὸν φάναι. ἔστι δὲ καὶ ἐπιτυχὴς ταῖς γνώμαις καὶ ὑψηλός, οἷα μὴ μόνον εὐφυής, ἀλλὰ καὶ μεγαλοφυής.

(21.) Αἰολίζει δὲ τὰ πολλά, εἰ καὶ μὴ ἀτριβῆ δίεισιν Αἰολίδα, καὶ κατὰ Δωριεῖς δὲ φράζει, εἰ καὶ τῆς σκληροτέρας Δωρίδος ἀπέχεται, καθ' ἣν παίζει ὁ Κωμικὸς ἔν τε ἄλλοις καὶ ἐν τῷ Μῶα, πᾶα, ὅ ἐστι Μοῦσα, πᾶσα. εἰ μή τις τοιοῦτόν τι ἐρεῖ παρ' αὐτῷ εἶναι τὸ ἐπιτόσσας, ὅ ἐστιν ἐπιτυχών, καὶ τόσσαι καλῶν, ἤγουν ἐπιτυχεῖν· καὶ τὸ ἀμεῦσαι, ὅ ἐστιν παρελθεῖν καὶ νικῆσαι, οἷον ἀμεύσεσθαι Νάξιον Τίσανδρον· ὅθεν καὶ ἀμευσιεπῆ φροντίδα φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν, καὶ ἀμευσίπορον τρίοδον, καθ' ἣν ἀμείβεται πορεία, ὡς ἄγεσθαι εἰς ταὐτὸν παρὰ τούτῳ τὸ ἀμείβειν καὶ τὸ ἀμεύειν. εἴη δ' ἂν ὁμοίως παρ' αὐτῷ ἀσαφὲς καὶ τὸ αἶτος, ὅπερ ἐστιν

---

13 P 425. — ζ 42 14 Δ 2 15 J. VII 44 21 Lys. 1297. 995 22 P. X 33 23 fr. 22 24 fr. 23 25 fr. 24 26 P. XI 37 28 O. III 17. Cfr. Eust. ad Γ 54, p. 381, 27

---

4 φατριᾶς Schneidewin: πατριᾶς C; cfr. p. 295, 27 15 χαλκόπεδον Pind.: χαλκεόποδα C (corr. Schneidewin) 20 ἔν τε ἄλλοις ad mg. add. C 27 ταὐτὸν Tafel: αὐτὸν C

ἐνδιαίτημα, καὶ τὸ πέδοικος, ὅ ἐστι μέτοικος, καὶ τὸ πεδὰ στόμα φλέγει, ἀντὶ τοῦ κατὰ στόμα, καὶ τὸ πεδασχεῖν ἤτοι μετασχεῖν. τὸ μέντοι ἐρίξαι ἤγουν εἰς ἔριν κινῆσαι, οἷον οὐ ψεῦδος ἐρίξω, ἤγουν οὐ πρὸς ψεῦδος φιλονεικήσω, οὐχ οὕτως ἀσαφὲς, οὐδὲ τὸ τιμῇ καὶ νικῇ ἀντὶ τοῦ τιμᾷ καὶ νικᾷ, ὧν ἀπαρέμφατα εἴη ἂν τιμῆν καὶ νικῆν· οὐδὲ τὸ ὄρνιξ ὄρνιχος, δωρισθὲν καὶ αὐτό. ἀλλὰ ἡ αἱμακουρία καὶ τὸ ἀκασκᾶ, ὃ δηλοῖ τὸ ἡσύχως, ὅθεν ἴσως καὶ ὁ παρ' Ὁμήρῳ ἀκάκητα, κατὰ τὰ πρὸ τούτων δεδώρισται· ὡς καὶ ἡ κατὰ ἔκθλιψιν ἀσυνήθη πέροδος ἤγουν περίοδος· καὶ ὁ κεχλαδὼς δὲ ἡ μετοχὴ, δοκῶν παρακεῖσθαι τῇ χλιδῇ, καινότατα παράκειται, τά τε ἄλλα καὶ διότι μὴ διὰ τοῦ η προάγει τὴν χλιδὴν κατὰ τὸ δᾶμος δῆμος. οὕτω δὲ καὶ τὸ πράν Δωρικὸν ἀποροῖτο ἂν διὰ τί μὴ περιήγαγε τὸ πρίν εἰς τὴν διὰ τοῦ η γραφήν. ἔτι οὐ τέτριπται εἰς κοινὴν σαφήνειαν οὐδὲ τὸ λέγειν Πινδαρικῶς ἄποινα τὴν ἀγαθὴν ἀμοιβήν, ὅ ἐστιν ἀντίχαριν ἔπαθλον. μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ ἁρμῷ ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται, ὡς καὶ παρὰ Λυκόφρονι γινόμενον· ὅθεν καὶ τὸ ἀρτίως· οἷον ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται. καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ, ὥσπερ καὶ ἡ ἔλλειψις τὸ ἇς ἀντὶ τοῦ ἕως, οὗ χρῆσις καὶ παρὰ τῷ εἰπόντι ἇς γόνυ χλωρόν, ἤγουν ἐφ' ἧς ἡλικίας καὶ ἕως νεάζει τις. οὕτω δὲ καὶ παρὰ τῷ Πινδάρῳ καὶ παρ' ἄλλοις ἡ ἔλλειψις καινοποιεῖ καὶ τὸ ὧ ἀντὶ τοῦ καθά, οἷον ὧ τ' ἀπὸ τόξου ἱείς, ἤγουν ᾧ τρόπῳ ἢ νόμῳ, ἵνα λέγῃ ὅτι ὡς τοξεύων

---

1 fr. 25. — fr. 26 2 fr. 27 3. 4 fr. 11 5 N. V 5 6 O. II 88 7 O. I 90. — fr. 28 8 Π 185 9 N. XI 40 10 O. IX 2 13 Theocr. 2, 115 15 N. VII 16 17 cfr. EM 144, 47. Eust. Il. 140, 17. sch. Α 486 18 Lyc. 106 19 fr. 10 20 N. III 54? 21 O. X 51 (61) 22 Theocr. 14, 70 24 N. VI 28

---

2 κατὰ] μετὰ Hermann 5 τιμῇ — 6 οὐδὲ τὸ ad mg. add. C 7 ἀκασκὰ C 11 παράκειται] exspectes προῆκται 12 περιάγει Abel (male) κατὰ τὸ δᾶμος δῆμος a sensu h. l. aliena; scribend. vid. ⟨ἀλλὰ⟩ κατὰ τὸ δ. δ. 16 ἀντίχαρι Tafel, nescio an recte

κατευθὺ λόγοις ἐπαίνων καὶ μὴ πλαγιάζων παρεκβάσεσιν· ἵνα ἦ τὸ ὦ ἀπὸ τόξου ἱεὶς ταὐτὸν τῷ ἦ, ὅπερ ἐστι θηλυκῶς ἀντὶ τοῦ καθά. ἀσύνηθες δὲ καὶ τὸ τὴν Τροίαν Τρωΐαν Πινδαρικῶς λέγεσθαι κατ' ἔκτασιν τῆς ἀρχούσης, καὶ τὸ ἐκεῖθεν ἐπίρρημα Τρωΐαθεν. ἐπὶ πλέον δὲ ἀσύνηθες καὶ τὸ ξυνᾶνα λέγειν τὸν κοινωνὸν ὡς ἀπὸ τοῦ ξυνός ὁ κοινός, ἵνα εἴη ὥσπερ ἐκ τοῦ ἄλκιμος ἀλκιμάν, ὅθεν Ἀλκμάν, οὕτω καὶ ἐκ τοῦ ξυνός ὁ ξυνάν. Ἄκαστον γοῦν τὸν βασιλέα Μαγνήτων βίου ξυνᾶνα λέγει τῇ αὐτοῦ γυναικί. (22.) συχναὶ δὲ καὶ ἀποστροφαὶ παρὰ Πινδάρῳ, ἃς καὶ Ὅμηρος ἐν Ἰλιάδι φιλεῖ, ἔτι δὲ καὶ στροφαὶ ἐννοιῶν, ὃ καὶ ποικιλίαν παραποιητικὴν ἐν αὐτῷ ἐργάζεται. εὕρηται δὲ καὶ περιαυτολόγος ἐν πολλοῖς φιλοτιμότερον καὶ σκωπτικὸς δὲ τῶν ἀντιτέχνων ὁμοίῳ λόγῳ, καὶ ἀμφίγλωσσος δὲ ἐν οὐκ ὀλίγοις· ὅς γε πῇ μὲν τὴν εὐφυΐαν ἐπαινεῖ καὶ τὸ αὐτομαθὲς ὡς καὶ αὐτὸς πολλὰ εἰδὼς φυᾷ, πῇ δὲ τὰ κατὰ μάθησιν διδακτά· καὶ εὐδαιμονίαν δέ που πρὸς τοὺς ἐπαινουμένους μετρῶν ποτὲ μὲν ταύτην λέγει, ποτὲ δ' ἐκείνην, οἷον ποτὲ μὲν πλοῦτον ἢ τιμήν, ποτὲ δὲ σὺν τούτοις καί τι ἄλλο ἀγαθόν. (23.) πλουτεῖ δὲ καὶ πολὺν ὄγκον αὐτῷ ἡ φράσις καὶ οὐδὲ λαλεῖν ἐθέλει κατὰ τοὺς πλείονας, ἀλλ' ἔστιν αὐτῷ ἐξαίρετον τὸ ἐπὶ πᾶσι ξενόφωνον, τάχα που καὶ αὐτῷ θελήσαντι πατεῖν ἑτέρων ἴχνια μὴ καθ' ὁμά, εἴποι ἂν Καλλίμαχος. (24.) φιλοτιμεῖται δέ ποτε καὶ τοὺς ἀλείπτας τῶν ἀθλούντων παρεντιθέναι τοῖς μέλεσι, παρέκβασιν καὶ ταύτην τεχνώμενος, ὅτε ὡς εἰκὸς καὶ ἐκεῖνοι δωροῖντό τι μνείας χάριν τῷ λυρικῷ φιλοῦντι τὸν χρυσόν, ὡς δειχθήσεται, ἴσως δὲ καὶ πλατυσμοῦ μέλους ἕνεκεν· ὃς δὴ πλατυσμὸς καὶ εἰς φατριῶν, ὡς ἐρρέθη, καὶ πατρίδων ἐπαίνους ἐξοκέλλειν τὸν μελοποιὸν ἐν πολλοῖς ποιεῖ, καὶ εἴς τινα ἑτεροῖα, ὧν δόξοι ἂν εἰς λίαν περιττὸν ἐκ παρέργου αὐτὸς μεμνῆσθαι τοῖς μὴ εὖ

---

3 N. IV 25, al. 5 N. VII 41 8 N. V 27 15 O. II 86
22 Callim. fr. 293. Cfr. Eust. ad Ψ 585, p. 1317, 19

---

27. 28 φατριῶν Hermann, cl. p. 288, 7: πατριῶν C; cfr. p. 293, 4

ἐπεσκεμμένοις αὐτόν, ὡς καὶ ὅτε εἰς ἡρωϊκοὺς μύθους παρεκκλίνει κατ' οὐδὲν δέον· ἐν ᾧ δὴ τόπῳ καὶ ἀσάφειαν καινὴν πολλάκις ἔχει, οἷα δυάζων τὰ ἡρωϊκὰ πρόσωπα, ὁποῖόν ἐστι καὶ τὸ ἣν ὁ δεῖνα Κυρήνης στεφάνωμα, ἣν ἥρπασεν Ἀπόλλων. ἐνταῦθα γὰρ ἐνοπτρίζει τῇ ἐστεφανωμένῃ Κυρήνῃ πόλει τὴν ἡρπασμένην ἡρωΐδα κόρην τὸ κύριον, ἧπερ ἡ πόλις ὁμώνυμος. πολλαχοῦ δὲ τοιοῦτον δυαστικὸν ἐμφάντασμα ποιεῖ, ἔχων καὶ αὐτὸ ἴδιόν τι πρὸς χαρακτήρισμα.

(25.) Τοιοῦτος δὲ ὢν τὴν ποίησιν, ὡς ἀμυδρότατα ὑπογράψαι τὸν ἄνδρα, χρῶσαι γὰρ τὸ σκιαγράφημα τοῦτο εἰς ἐντελὲς εἴη ἂν πάνυ ἐργῶδες, ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ κατὰ τὸ Ἐπαμεινώνδας, Κρεώνδας· κατὰ δέ τινας Δαϊφάντου ἢ Σκοπελίνου αὐλητοῦ καὶ Μυρτοῦς. ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί, φασίν, εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα ἤπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ τῷ περιαδομένῳ Λάσῳ τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν διωνυμίας| λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι, ἄλλοι δὲ πάτρων Πινδάρου εἴτε πατρωὸν τὸν Σκοπελῖνον εἶπον γενέσθαι. εἰσὶ δὲ οἳ καὶ οὐ Μυρτὼ ἀλλὰ Κλεοδίκην ἢ κατὰ συναίρεσιν Κλειδίκην μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Ἀβίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. τέθνηκε δὲ ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. ἔσχε

4 P. IX 4sq. (6[a]) 12 τὴν — Πλούταρχον Eust. 15 ὀνοματικῷ — Κρεώνδας Eust. 26 ὁμιλήσας — 27 μεγαλοφωνίας Eust.

1 καὶ s. v. C 5 ἐνοπτρίζει Tafel: ἐνοπρίζει C (spir. add. C[2]) 8 ἔχον edd. 16 ἣν alicubi excidisse susp. Tafel 17 ὃς C[2]: ὃ C 27 καὶ s. v. C

δέ, φασί, θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, καὶ υἱὸν δὲ Διόφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἦ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι
ἔκλαυσαν πινυταὶ Πινδάρου θύγατρες,
Ἀργόθεν ἦμος ἵκοντο κομίζουσ' ἔνδοθι κρωσσοῦ
λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ πῶς ἐν Ἄργει θανὼν ὁ Πίνδαρος εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἔστιν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα καὶ θανὼν κατ' αὐτὸ τὸ Ἄργος ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. τῷ δὲ ῥηθέντι υἱῷ Διοφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ· ὅς, φασί, καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου. (26.) εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιούς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου ἢ νεώτερος πρεσβυτέρου. τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων· ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ' ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν Σικελίαν. καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. λέγεται γὰρ ὅτι Πίνδαρος ἐρωτηθεὶς διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει, ἔφη διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ. (27.) ᾄδεται δὲ καὶ ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. διὰ δὲ τὸ θεοφιλὴς δόξαι καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω, φασίν, αὐτὸν ἐφίλει ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων

8—12 Eust. 18 ἀποδημήσαντες—21 περιφερόμενον Eust.

2 Δαΐφαντον Schneidewin; item 12 9 ἐκεῖθεν ἐκομίσθη C^pc (m. 1): ἐκειμίσθη C^ac 11 ⟨τῇ⟩πατρίδι Hermann (ἀπεδόθη ἐκεῖθεν sine corr. in loco chartae aspero scripta) 18 συρρακουσίων C; corr. Christ 19 σοφοὺς del. Christ 24 ᾄδεται] λέγεται mallet Westermann 25 τοῦ s. v. C

ἐκείνῳ καὶ τὸν ἱερέα δὲ βοᾶν ἐν ταῖς θυσίαις· Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ, ἢ καὶ ἄλλως· Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν κηρύσσει καθ' ἡμέραν· Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών· πενταετηρὶς ἑορτὰ βουπομπὸς, ἐν ᾗ πρῶτον ἐβάσθην ἀγαπατὸς ἐν σπαργάνοις, ὅ ἐστιν ἐλέχθην, ὡς ἀπὸ τοῦ βάζω, ἢ καὶ ἄλλως εὐάσθην, εὐφημήθην, ὡς ἀπὸ τοῦ εὐάζω. λέγεται δὲ καὶ ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή· Ὦ Πὰν Πὰν Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ. τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
 τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
οὐδὲ μάτην ἁπαλὸς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος
 ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
μάρτυς ὁ Μαινάλιος κερόεις θεὸς, ὕμνον ἀείσας
 τὸν σέο καὶ νομίων λησάμενος δονάκων.

λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο νεβρείους μὲν αὐλοὺς τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. δῆλον γὰρ ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. ἡ δὲ χέλυς, ὅ ἐστιν ἡ κιθάρα, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν, ὡς καὶ μετ' ὀλίγα γεγράψεται, καθ' οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. ὁ δὲ ἑσμὸς δη-

6 fr. 95 8 ὅ ἐστιν — 9 εὐάζω Eust. 15–20 Anth. Plan. IV 305 21 – p. 299,19 Eust. 23 cfr. Plut. conv. VII sap. 5 27 p. 304,3

7 πρῶτος Schneidewin εὐνάσθην vit. Ambr. 12 Πὰν alt. del. Boeckh cl. sch. P. 3, 139[a] 17 ἁπαλοῖς Brunck (ξουθὸς περὶ χείλεσιν ἑσμὸς APl.)

λοί μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται· δασύνεται γὰρ ἀπὸ τοῦ ἕζω. κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρ' Ἀριστοτέλει ἐν τῷ περὶ ζῴων ἱστορίας ἀφεσμός. τὸ δὲ κηρόδετον μέλι ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ κηροπλάστῳ δόνακι, ὃς δηλοῖ τὸ σύριγγα. Μαινάλιος δὲ θεὸς ὁ Πὰν ὡς Ἀρκαδικός· ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο Ἀρκαδίας ὄρει. κερόεις δὲ ὁ αὐτὸς, ἐπεὶ κερασφόρος ἐπλάττετο διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντὸς, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. ὅτι δὲ κέρατα ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαὶ, δηλοῖ ὁ γράψας ὑψικέρατα πέτραν, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. ὕμνον δὲ ἀείσας ταὐτόν ἐστι τῷ ᾄσας παιᾶνα, τὸν ὡς δεδήλωται Πινδαρικόν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. δόνακες δὲ νόμιοι, τουτέστι φίλοι τοῖς νέμουσι καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη, διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμούς, ἃ τῷ Πανὶ παντὶ φίλα εἰσί. καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. λέγεται δὲ καὶ ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο εἰ μόνην θεῶν αὐτὴν οὐκ ὕμνησεν, ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν ἀρξάμενος οὕτω· Πότνια θεσμοφόρε· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ, φασί, καὶ Ἴστρος ἱστοροῦσιν ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον μέλισσα τῷ στόματι προσκαθίσασα κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτὸν ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. καὶ οὕτως οἰωνισάμενος ἔπειτα εἰς ποιητικὴν ἐτράπη,

---

1 infra v. 22 4 IX 40 p. 624ᵃ 28; cfr. Eust. Il. p. 178, 74 6 Prom. 575 11 Aristoph. nub. 597 (Pind. fr. 325 non significat Eust.) 21 fr. 37

---

5 *ἀφεσμός* C: *ἀφορισμός* C² 7 *θεὸς* Tafel: *θετὸς* C 10 *καὶ* s. v. C 15 *καὶ* in C aegre legitur 16 *κατὰ κόσμων* C 17 *παντὶ* del. Schneidewin; potius *πανὶ* delend. 20 *εἰ*] *ὅτι* Abel ex vit. Ambr. 23. 24 *θεριοῦντος* Unger Parad. Theb. 1 p. 190

καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους ἢ Ἀπολλοδώρου, ὅν φασι καὶ προϊστάμενον κυκλίων χορῶν καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ παιδὶ ὄντι, τὸν δὲ εὖ τὸ πιστευθὲν διακοσμήσαντα περιβοηθῆναι. τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνήμη τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω. (28.) ἐχθρὰ δέ, φασί, φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι, κατὰ δέ τινας ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ. λέγεται δὲ καὶ ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην ἧς ἦρχε Πανσανίας ὁ σφῶν βασιλεύς, ἀπέσχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον τὸ Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. τοῦτο δέ, φασί, καὶ Ἀλέξανδρος μεταταῦτα πεποίηκε. καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας ἐφύλαξε τὴν οἰκίαν, ἣ καὶ εἰς πρυτανεῖον ὕστερον ἀπετελέσθη. (29.) φέρεται δὲ λόγος καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος αἰτῆσαι Πινδάρῳ οἷα φίλῳ τὸ ἐν ἀνθρώποις ἄριστον, καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὂν καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἕωθεν οὐκέτ' ἦσαν ὡς θανάτῳ ἀπεληλυθότες. καὶ Κλεόβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ

1 p. 296, 20 5 p. 301, 14 7 ὅτι — 9 ἀνωτέρω Eust. 8. 9 p. 298, 13 10 et 11 fr. 76 22 τοῦτο — p. 301, 5 κενόν Eust. 24 sqq. cfr. Plat. Axioch. p. 367 c. Plut. cons. ad Apoll. p. 109 a 27 sqq. Herodot 1, 31

4 πιστευθὲν Westermann (cfr. vit. Ambr. p. 1, 13): πιστωθὲν C 8 μνῆμα Schneidewin (tacite) 20 ἄμμωνος] ἀπόλλωνος Leutsch Philol. XI p. 17

ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν, οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν, ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν, αὐτοὶ δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω οὐδ' αὐτὰ εἰς κενόν.

(30.) Τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου φέρεται εἰς αὐτὸ καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων.

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
γείνατο ναιετάουσα Κυνὸς Κεφαλῆς παρὰ χώρῳ,
οὐκ οἶον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,
εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.
τὸν μὲν ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
ὅς ῥά οἱ κατέλεξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῆς
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
ἀλλὰ τὸ μὲν μετόπισθεν· ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
ἦια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠυκέρως Πὰν
Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.
ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.

7—9 Eust.

---

12 θήρην C[1] 13 πυγμαχίην et παλαισμοσύνην et ἀλεγεινήν C[1]

τῷ δὲ Τιμοξείνῃ παραλέξατο δῖα γυναικῶν,
ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
τῶν πισύρων, μακάρων παιήονας ἀναδεδεγμένος
καὶ μέλος ὀρχηθμοῖο θεῶν τ' ἐρικυδέας ὕμνους
ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
κάτθανεν ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

(31.) Οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθεὶς τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφόσε δὲ ἐρωτηθεὶς τί πάρεστι θύσων, παιᾶνα εἶπε, μονονουχὶ λέγων ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι· πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας ὡς ἄκαπνα θύουσιν ἀοιδοί. πρὸς δὲ τὸν ἐρωτήσαντα διατί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν, οὐ μόνον εὖ πράττοντος ἔφη δεῖσθαι, ἀλλὰ καὶ εὖ πράξαντος. τῷ δὲ πυθομένῳ διατί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται, καὶ γὰρ οἱ ναυπηγοί, ἔφη, πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ οἴδασι. τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστὴν διατί δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων αὐτὸς οὐ δύναται οὕτω ποιεῖν, ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια ὅμως αὐτὴ τέμνειν οὐ δύναται. (32.) ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει ἐν οἷς μνήσεταί τις Αἰνέου χοροστάτου, ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς ὡς κορυφαῖον χοροῦ ἄριστον. (33.) εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη τοὺς φιλοσο-

13 μονονουχί — 16 ἀοιδοί Eust.; cfr. Ath. I p. 8e; Eust. Opusc. p. 235, 32 20 τοῦτο — 24 δύναται Eust. 21 sqq. Plut. vit. Isocr. 31 24—28 Eust. 26 sch. O. VI 148. 149 29 fragm. 209

1 παρελέξατο vit. metr. 9 τούτων Tafel: τούτω C 18 καὶ εὖ in C evan. 23 καὶ s. v. C 27 Αἰνείου edd.

φοῦντας ἀτελῆ σοφίας δρέπειν καρπὸν, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι ὁποῖος καὶ τῷ Κωμικῷ προστέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

(34.) *Ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡςεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν· οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἀλλ' αὐτὸ παραχρήσεως εἶδός ἐστι, καθ' ἣν καὶ τὸ ὑμνεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τὸ ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις. δῆλον δὲ ὡς ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη, τουτέστιν ἰδέαι, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδὸς καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει, ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ ἀναξιφόρμιγγες ὕμνοι καὶ ἑξῆς. εἰ δ' ἴσως ταὐτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. ὡς δὲ λύρα εἴρηται ἢ παρὰ τὸ

1—3 Eust. 2 nub. 334 4—5 ὑπεμνηματισμένα Eust. 8 κατὰ—p. 304, 5 Eust. 13 Aesch. Sept 7 15 cfr. sch. Theocr. p. 5, 10 W. 24 O. II 1 26 sqq. cfr. EG 375, 6. EM 572, 1. — Boisson. Anecd. IV p. 458. Bekker Anecd. II p. 752, 10. Anecd. Oxon. II p. 387, 13

8 κατὰ τὴν στιχομετρίαν Birt Ant. Buchw. p. 165; μετὰ τῶν ἱστοριῶν Vitelli Mus. Ital. di Ant. Class. 1884 I p. 162
9 περιᾴδονται s. πράττονται Bergk[4] p. 371 12 ἄλλο αὐτὸ Christ 13 ὑμνοῖθ' Aesch. 22 τῷ ποιητῇ rescript.

λύειν ἀρὰς οἷς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς λύτρον καταλλακτήριον εὑρεθῆναι ὑπὸ Ἑρμοῦ, ὃς χέλυν, ὅ ἐστι λύραν, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.

(35.) Ἰστέον δὲ καὶ ὅτι τεσσάρων ὄντων περιωνύμων ἀγώνων Ἑλληνικῶν, οἳ καὶ ἱεροὶ ἐκαλοῦντο, οὓς οἱ νικῶντες ἠξιοῦντο λόγου τοῖς λυρικοῖς, πρώτους ἐξέθεντο οἱ τῷ Πινδάρῳ φίλοι πρὸς ἀνάγνωσιν τοὺς Ὀλυμπιονίκας διὰ τὸ τοῦ Ὀλυμπικοῦ ἀγῶνος πάνυ ἔνδοξον, οὗ τὴν θέσιν σεμνολογοῦντες τῶν τινες παλαιῶν εἰς τὰ κατὰ Πέλοπα καὶ Οἰνόμαον αὐτὴν ἀναφέρουσιν, ὡς ἐκεῖθεν χρόνου ἀρξαμένου τοῦ τῶν Ὀλυμπίων ἀγῶνος. πρὸς ὃ οἱ δυσαρεστούμενοί φασιν ὡς αἰσχρὰν οὕτως οὖσαν τῇ αἰτίᾳ τὴν θέσιν οὐκ ἂν διεφύλαξαν οἱ ἀρχαῖοι οὐδ' ἂν παρέμεινεν εἰς οὕτω μακρὸν ἱερὸς λεγόμενος ὁ ἀγών, ἐφ' οἷς οὐ τοιοῦτός ἐστι διὰ τὸ κατ' αἰτίαν αἶσχος ἐφ' ᾗ τέθειται, ἥπέρ ἐστιν ἔρως Ἱπποδαμείας καὶ φόνος Οἰνομάου περίεργος. ἕτεροι δὲ εἰς Ἡρακλῆν ἀνάγουσι τὴν τοῦ Ὀλυμπικοῦ ἀγῶνος καταβολήν, καθὰ καὶ ὁ Πίνδαρος ἐνδοξότερον αὐτὸν κοσμῶν. ἐπεὶ γὰρ τὴν Αὐγέου κόπρον καθήρας οὐκ ἔτυχε τῶν ἐπηγγελμένων, συναγαγών, φασί, στρατόπεδον τόν τε Αὐγέαν ἀπάγει τοῦ ζῆν καὶ τὴν Ἦλιν παρίσταται ἤγουν πορθεῖ, καὶ πολλὰ λάφυρα περιποιησάμενος ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασι· καὶ τὸ ἔθος ἐκεῖθεν διέμεινεν. οἱ δὲ μηδὲ πρὸς τοῦτο εὐαρεστούμενοί φασιν ὡς οὐδὲ αὕτη ἔμεινεν ἂν ἡ διάθεσις, ἐπεὶ δυσχερείας πραγματικῆς ἦν ὑπόμνησις· ἀλλὰ μᾶλλον Ἴφιτος, φασί, καὶ Εὐρύλοχος τοὺς Κιρραίους καταπολεμήσαντες λῃστὰς τὴν παράλιον τῆς Φωκίδος κατέχοντας καὶ πολλὰ ἐξ αὐτῶν λάφυρα συναγαγόντες, ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια κατεβάλετο, τὰ Πύθια δὲ ὁ Εὐρύλοχος, καὶ παρέμεινεν ἡ θέσις αὕτη ὡς ἀπὸ ἐνδόξου αἰτίας ἔχουσα τὴν ἀρ-

6—10 ἔνδοξον Eust. 14 οἱ ἀρχαῖοι — 18 περίεργος Eust.

20 κοσμεῖ edd. ante Abelium 30 ὁ s. v. C

χήν. (36.) ὅτι δὲ κατὰ πενταετηρίδας ἐτελεῖτο τὰ Ὀλύμπια διὰ τὸ πάνυ πόρρωθεν συλλέγεσθαι τῶν ἀθλούντων πολλούς· καὶ ὡς αἵ τοιαῦται πενταετηρίδες καὶ Ὀλυμπιάδες ἐλέγοντο ἐκ τῆς Ὀλυμπίων πανηγύρεως, ἣν ἐπὶ Ὀλυμπίῳ ἦγον Διὶ τῷ τοῦ Ἡρακλέος πατρί· καὶ ὅτι ὅπερ τοῖς ὕστερον πέντε ὁμοῦ ἴνδικτοι, τοῦτο ἑκάστη τῶν Ὀλυμπιάδων τοῖς πάλαι· καὶ ὅσοι δὲ ἆθλοι τὸν Ὀλυμπιακὸν συνετέλουν ἀγῶνα, δηλοῦσι μὲν καὶ οἵ παλαιοὶ σαφῶς, καὶ ἡ προκειμένη δὲ παρεκβολικὴ πραγματεία ἐκφανεῖ ἅπαν τοιοῦτον ἄξιον γνώσεως. (37.) νῦν δὲ ῥητέον ὅτι τὸ λεγόμενον πένταθλον οὕτω περιγράφεται μέτρῳ ἰαμβικῷ·

ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος,

καὶ ἑτέρως δὲ ἡρῴῳ μέτρῳ·

ἅλμα ποδὸς δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ
καὶ δρόμος ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τελευτή.

(38.) Ἔτι ἰστέον καὶ ὅτι τὸ ἐν τοῖς ἐπινίκοις Πινδαρικὸν μέτρον τριὰς ἐκαλεῖτο. ἦν δὲ ἐν τῷ καθόλου τοιαύτη τριὰς ποίημα ἐν ᾧ, καθὰ καὶ ἐν τοῖς τοῦ Κωμικοῦ δηλοῦται, ἔστι στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδός· περὶ ὧν καὶ οἵ τῆς ῥητορικῆς τέχνης ὑπομνηματισταὶ διαλαμβάνουσι σαφέστατα. δῆλον δέ, ἔνθα εἰσὶ τὰ τρία ταῦτα, ἡ στροφὴ δηλαδή, ἡ ἀντίστροφος καὶ ὁ ἐπῳδός, ἐκεῖ καὶ χοροί εἰσι στρεφόμενοι καὶ ἀντιστρεφόμενοι καὶ διὰ μέσων ἐπᾴδοντες καὶ τὸ στάσιμον, εἴτε κύκλιοι οὗτοί εἰσιν, οὓς οἵ ᾄδοντες ᾀσματοκάμπται σκώπτονται τῷ Κωμικῷ, εἴτε καὶ ἑτεροῖοι· ὧν καὶ αὐτῶν ἴδμων πάντων ὁ Πίνδαρος, οὐδὲν δὲ ἧττον αὐτοῦ καὶ ὁ κοσμῶν αὐτὸν χοροποιὸς Αἰνέας, περὶ οὗ πρὸ βραχέων εἴρηται. ὅτι δὲ οἵ Πινδαρικοὶ ἐπινίκιοι τῇ προσεχῶς δεδηλωμένῃ τριάδι ἐναλλάγδην συντελοῦνται κατ' ἀκολουθίαν εὐσύντακτον ἐναρμόνιον,

1—9 Eust. 9—15 cfr. Eust. ad Ψ 521, p. 1320, 18 18 καθὰ—δηλοῦται Eust. — sch. av. 1731? 19 περὶ ὧν — fin. Eust. 24 nub. 333 27 cap. 32

7 ὀλυμπικὸν Abel 22 ἡ ἐπῳδὸς Hermann 24 εἴτε] οἴτε C[ac] οὓς in ras.? 26. 27 κοσμῶν αὐτὸν durum

ἣν οὐκ ἔστι παραβῆναι, καὶ οἵοις ποσὶ καὶ μέτροις ἡ τοιάδε τριὰς ἑκασταχοῦ ἀπαρτίζεται, σαφέστατα ἐκτίθενται οἱ ὑπομνηματισάμενοι, οἷς καὶ ἔστιν εὐμαθῶς ἀκολουθεῖν τοὺς περιελθόντας ἐπισκεπτικῶς τὸ τοῦ Ἡφαιστίωνος μετρικὸν ἐγχειρίδιον. ἀλλ' ἐκεῖνα μὲν ἑτέρου ἔργου· ἐνταῦθα δὲ τὸ προκείμενον ἐπέλευσις οὐκ ἀσυνήθης, τὰ ἐκ τῶν Πινδαρικῶν ἐπινικίων συλλέγουσα χρήσιμα εἰς εἴδησιν εὔχρηστον τοῖς καὶ γράφειν καὶ ἄλλως δέ πως νοεῖν ἐθέλουσι, καὶ τοῦτο οὐ κατὰ ὑπομνηματικὴν ἐξήγησιν, ἀλλ' εἰς ὅσον ἐκ πλατυτάτου λειμῶνος ἀνθολογῆσαι ὅσα οὐκ ἂν πατοῖτο ἢ ἄλλως ἐξαθερίζοιτο τοῖς γε φιλοκάλοις καὶ εἰδόσι τὰ τῶν Μουσῶν στεφανώματα.

Capitula ad praefationem pertinentia.

L a. Ἢ μετὰ ἑνὸς ἵππου ἠγωνίζοντο καὶ ἐλέγοντο κέλλητες, ἢ μετὰ δύο καὶ ἐλέγοντο νικῶντες ἅρματι, ἢ μετὰ τεσσάρων καὶ ἐνίκων τεθρίππῳ, ἢ μετὰ ⟨β'⟩ ἡμιόνων καὶ ἐνίκων ἀπήνῃ.

LΘ b. Ἰστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστρόφῳ καὶ ἐπῳδῷ· στροφῇ μέν, ὅτι ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά, ἥτινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις ἡ ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά. δεξιὰ γὰρ καλεῖ ὁ Ὅμηρος τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικά· ἀντιστρόφῳ δέ, ὅτι ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ἥτινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς· ἐπῳδῷ δέ, ὅτι ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδάς, ἥτινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς. ἐχρῶντο δὲ καὶ τριάσι καὶ δυάσιν, ὡς οὗτος [ὁ ποιητής], ἤγουν στροφῇ, ἀντιστρόφῳ

16 Cfr. Heph. p. 61. Tzetzes p. 18 (p. 66 Cr.). Scholl. recc. p. 44sq. Ab.

1. 2 τοιάδε τριὰς] litterae οιάδε τριὰς in ras.? 13 ἔλεγον L 14 δύο s. δ' incert. L 15 suppl. r 16—p. 307, 5 in L passim aegre leguntur 16—17 Ἐχρῶντο δὲ ἐν τοῖς ποιήμασιν αὐτῶν οἱ λυρικοὶ στροφῇ κτλ. L ἐν om. Θ 17 στροφῇ καὶ ἀντιστρ. Θ ἀντιστροφῇ ubique Θ et recc. μὲν om. L 23 ἀνατολήν L 24 ᾧτινι L 25 καὶ δυάσι καὶ τριάσιν Θ recc. ὁ ποιητής om. L; seclusi ἤγουν L recc: ἢ Θ

καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστρόφῳ· οἱ δ' ἄλλοι καὶ τετράσιν καὶ πεντάσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστρόφῳ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ· πεντάσι δὲ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστρόφῳ, ἐπῳδῷ· ἅτινα ἐλέγοντο προῳδικὰ καὶ ἐπῳδικὰ καὶ μεσῳδικὰ καὶ παλινῳδικά.

c. *Πινδάρου λυρικοῦ Ὀλυμπιονῖκαι.* QYUrb.

Ἐπειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ, κατὰ τριάδας, στροφὴν, ἀντίστροφον καὶ ἐπῳδὸν, καὶ ἐκ κώλων τὰ μέλη συνίστανται· πλὴν ὅσων καὶ ὁποίων ἡ στροφὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος, ἡ δὲ ἐπῳδὸς ἀνόμοιός ἐστι πρὸς αὐτὰς, καὶ εἰκότως· ἐπεὶ κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευταῖς ᾔδετο ἡ στροφή, εἰς δὲ τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν ἡ ἀντίστροφος, ἡ δὲ ἐπῳδὸς ἱσταμένοις διεβιβάζετο, εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν πλανήτων κινήσεως ἀπὸ δύσεως εἰς ἀνατολὰς, καὶ τῆς τῆς γῆς ἀκινησίας. καὶ οὕτω μὲν ἡ τριαδικὴ μελοποιία κατὰ τὰς στροφὰς, τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς. ταῦτα δὲ ἐκ κώλων συνίστανται. τὰ δὲ κῶλα μέτρον διάφορον ἔχουσιν, ἐκ ποδῶν συνιστάμενον.

d. *Λεκτέον περὶ ποδῶν καὶ ἰστέον ὅτι οἱ πάντες πόδες εἰσὶν* QY εἰκοσιοκτώ. τέσσαρες οἱ δισύλλαβοι· ὀκτὼ οἱ τρισύλλαβοι· δεκαὲξ οἱ τετρασύλλαβοι, οἳ δὴ καὶ τέλειον μέτρον καὶ συζυγίαν ἀπαρτίζουσιν· οἱ δ' ἄλλοι πόδες, πλὴν τοῦ καθαροῦ δακτύλου, κατὰ διποδίαν εἰς συζυγίαν συνίστανται καὶ μέτρα λέγονται·

1 οἱ δ' ἄλλοι L: πολλοὶ δὲ Θ recc. 2 καὶ πεντάσιν om. Θ recc. ἤγουν recc.: ἢ Θ pro ἤγουν στροφῇ lac. L 3 στρόφῳ L 4 ἐπῳδῷ] καὶ ἐπῳδῷ L ἐλέγετο Θ recc. προσῳδικὰ Θ καὶ om. Θ recc. 5 καὶ (pr.) om. Θ recc. 7 ᾔδοντο Urb. 8 τὰ αὐτοῦ ποιήματα Q 9 κώλων] + μὲν Q Urb. πλὴν] + καὶ Y 10 καὶ (alt.) om. Urb. 11 ἡ δὲ Y: ὁ δὲ Q εἰκότως ἐπεὶ Y: ἀντίστροφος Q 13 ἡ (alt.) Urb., r: ὁ QY 14 διεβιβ. ἱσταμ. Urb. 18 τὰς ἐπῳδούς] τοὺς ἐπῳδούς Urb. τὰς ἐπῳδάς QY 21 λεκτέον — ἰστέον Q Urb.: ἰστέον δὲ Y 22 οἱ om. Y Urb. utrobique δεκαὲξ Q: καὶ ἑκκαίδεκα Y καὶ δεκαὲξ Urb.

ὥντινων δὴ μέτρων καὶ αἱ καταλήξεις τέσσαρές εἰσιν· ἀκατάληκτον, τὸ μὴ ἔχον ἔλλειμμα τὸ τυχόν· καταληκτικόν, τὸ κατὰ συλλαβὴν λεῖπον· βραχυκατάληκτον, τὸ κατὰ πόδα δισύλλαβον ἢ τρισύλλαβον λεῖπον· καὶ ὑπερκατάληκτον, τὸ ἔχον ἐπέκεινα συλλαβήν. ἀλλὰ πρῶτον περὶ ποδῶν ῥητέον.

Δισύλλαβοι τέσσαρες· πυρρίχιος ἐκ δύο βραχειῶν, ⏑⏑, *οἷον λόγος· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς,* ⏑–, *οἷον λέβης· τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας,* –⏑, *οἷον ἦτορ· σπονδεῖος ἐκ δύο μακρῶν,* ––, *οἷον ἥρως.*

Τρισύλλαβοι ὀκτώ· χορεῖος, ὁ καὶ τρίβραχυς, ⏑⏑⏑, *οἷον ἄατος· δάκτυλος, ἐκ μακρᾶς καὶ δύο βραχειῶν,* –⏑⏑, *οἷον Πίνδαρος· ἀμφίβραχυς, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας,* ⏑–⏑, *οἷον ἄμητος· ἀνάπαιστος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς,* ⏑⏑–, *οἷον ἀπάτωρ· βακχεῖος, ἐκ βραχείας καὶ δύο μακρῶν,* ⏑––, *οἷον δομήτωρ· ἀμφίμακρος, ὁ καὶ Κρητικός, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς,* –⏑–, *οἷον Καικίας· παλιμβάκχειος, ἐκ δύο μακρῶν καὶ βραχείας,* ––⏑, *οἷον συγγνωστός· μολοττός, ὁ ἐκ τριῶν μακρῶν,* –––, *οἷον Πειραιεύς.*

Οἱ δὲ τετρασύλλαβοι δεκαέξ· προκελευσματικός, ὁ ἐκ τεσσάρων βραχειῶν, ⏑⏑⏑⏑, *οἷον ἀνιαρός· παίων πρῶτος, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν,* –⏑⏑⏑, *οἷον ἡμίονος· παίων β΄ ἐκ βραχείας καὶ μακρᾶς καὶ ἑτέρων δύο βραχειῶν,* ⏑–⏑⏑, *οἷον ἀγεύσιος· παίων γ΄ ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας,* ⏑⏑–⏑, *οἷον παράκοιτος· παίων τέταρτος ἐκ βραχειῶν τριῶν καὶ μακρᾶς,* ⏑⏑⏑–, *οἷον παρακαλῶ· ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν,* ––⏑⏑, *οἷον Κλειτώνυμος· ἰωνικὸς*

---

2 *τὸ τυχὸν ἔλλειμμα* Urb. 5 *ἀλλὰ—ῥητέον* om. Y post *συλλαβήν* sequitur in Y cap. f 6 *περὶ ποδῶν. περὶ ποδῶν ῥητέον* praem. Y 11 *ἄατος*] *λόγιος* Urb. (talia non iam notantur) 12 *καὶ* (pr.) om. Y Urb. 13 *ἐκ*] *ὁ ἐκ* Q Urb. (qui ubique fere *ὁ* addidit talibus in locis) 15 *ἐκ—16 καὶ μακρᾶς* om. Q 16 *παλιβάκχ.* Q 16. 17 *ἐκ μακρῶν δύο* Q 19 *δεκαέξ*] *ις΄* Y 20 pro *ἀνιαρός* lac. Y 22. 23 *ἀγεύσιος* QY Urb.: *ἀγεύεος* r *ἀδευκέος* h; et *ἀγεύσιος* inauditum vid. 23 *καὶ* (pr.) om. Y Urb. 25 *ἰωνικὸν* Q; item 26

ἀπ' ἐλάττονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, ⏑⏑––, οἷον κακοδαίμων· διτρόχαιος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, –⏑–⏑, οἷον Κλειτόδημος· διίαμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ⏑–⏑–, οἷον θεηγορῶ· χορίαμβος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ βραχείας καὶ μακρᾶς, ἡ μακρὰ δὲ καὶ ἡ βραχεῖα ἀντὶ χορείου ἐστὶ τριβράχεος, –⏑⏑–, οἷον χειρονομῶ· ἀντίσπαστος ὁ ἐκ βραχείας καὶ μακρᾶς καὶ μακρᾶς καὶ βραχείας τῶν ἀντεσπασμένων καὶ ἐξ ἐναντίας ὄντων, ⏑––⏑, οἷον θεόκλητος. — Οἱ τέσσαρες ἐπίτριτοι. ἐπίτριτοι δὲ λέγονται κατὰ λόγους ἀριθμητικούς· ὁ τέταρτος γὰρ τοῦ τρίτου ἐπίτριτος. ἐπειδὴ τοίνυν ἐκ τετραχρόνου σπονδείου καὶ τριχρόνου ἰάμβου ἢ τροχαίου σύγκειται ὁ ἐπίτριτος, διὰ τοῦτο ἐπίτριτος λέγεται. καὶ πρῶτος ἐπίτριτός ἐστιν ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, ⏑–––, οἷον θεορρήμων· β' ἐπίτριτος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, –⏑––, οἷον τοιχορύκτης· τρίτος ἐπίτριτος ὁ ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, ––⏑–, οἷον αὐτοκράτωρ· τέταρτος ἐπίτριτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, –––⏑, οἷον εἰρήναρχος. δισπόνδειος ὁ ἐκ τεσσάρων μακρῶν, ––––, οἷον εἰρηναρχῶ.

e. Ἰστέον ὅτι ἀντιπαθεῖ τῷ τροχαίῳ ὁ ἴαμβος. διὰ τοῦτο QY Vat. 116 καὶ ἀπὸ τῶν τετρασυλλάβων τινὲς μὲν τῷ τροχαίῳ πρόσκεινται καὶ πρὸς τὰς ἰαμβικὰς συζυγίας ἀπᾴδοντές εἰσι, τινὲς δὲ τῷ ἰάμβῳ καὶ πρὸς τὰς τροχαϊκὰς συζυγίας οὐ συμφωνοῦσιν·

---

5 sq. cfr. sch. Heph. p. 137, 1 Consbr.

---

1 δύο (alt.) om. Q 2 καλοδαίμων Q 4 θεηγορῶ] seq. in Y Urb. antispastus (7—9) 5 βραχείας καὶ μακρᾶς Y βραχείας καὶ μακρᾶς] μακρᾶς καὶ βραχείας Q βραχείας καὶ βραχείας ⏑–⏑⏑ Y 6 τριβράχεος Q: βραχέος Y 6. 7 –⏑⏑– οἷον χειρονομῶ om. Y (in lac.?) 7 ἐκ βραχείας καὶ μακρᾶς] ἐκ δύο βραχειῶν Y 8 post βραχείας add. ⏑⏑–⏑, ἐξ ἰάμβου καὶ τροχαίου Y (hoc ft. recte) ἀντεσπασμένων ὄντων καὶ ἐξ ἐναντίων Y 9 ⏑––⏑] –⏑⏑– Q om. Y οἱ τέσσαρες ἐπίτριτοι om. Urb. 9. 10 ἐπίτριτοι] οἱ ἐπ. Y 10. 11 ὁ τέσσαρα γὰρ τοῦ τρία Urb. 11 ἐπεὶ Q 11. 12 καὶ τοῦ τριχρ. Y καὶ τριχρ. ἢ Urb. 15. 16 τοιχορύκτης Y: χειρολάκτης Q χειροήθης Urb.

ἤγουν πρὸς μὲν τὸν χορίαμβον καὶ πρὸς τὸν ἀντίσπαστον αι ἰαμβικαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ τοὺς ἰωνικοὺς οὐκέτι· πρὸς δὲ τοὺς ἰωνικοὺς πάλιν αἱ τροχαϊκαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ ἐκείνους οὐκέτι. εἰσὶ δὲ ἰαμβικαὶ συζυγίαι ἢ δύο ἴαμβοι ἢ σπονδεῖος καὶ ἴαμβος, καὶ πλέον οὐδέν· αἱ δὲ τροχαϊκαὶ συζυγίαι ἢ δύο τροχαῖοι ἢ τροχαῖος καὶ σπονδεῖος. πολλάκις δὲ κεῖνται καὶ ἀπὸ τῶν τρισυλλάβων. ἐπὶ γὰρ τοῦ ἰαμβικοῦ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐν τῷ πέμπτῳ ἢ ἴαμβος ἢ σπονδεῖος ἢ χορεῖος ἢ δάκτυλος ἢ ἀνάπαιστος· ἐπὶ δὲ τῶν ἀρτίων χωρῶν, τῆς τε δευτέρας καὶ τετάρτης καὶ ἕκτης, ἢ ἴαμβος ἢ χορεῖος ἢ ἀνάπαιστος, οὐδέποτε δὲ ὁ ἀπὸ μακροῦ ἀρχόμενος. ἐπὶ δέ γε τοῦ τροχαϊκοῦ ἐν τῇ δευτέρᾳ καὶ τετάρτῃ καὶ ἕκτῃ ἢ τροχαῖος ἢ σπονδεῖος ἢ δάκτυλος ἢ ἀνάπαιστος ἢ χορεῖος, ἐν δὲ τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ οἱ ἀπὸ μακροῦ ἀρχόμενοι καὶ μόνοι, ἢ τροχαῖος ἢ δάκτυλος ἢ σπονδεῖος, οὐδέποτε δὲ ἀνάπαιστος ἢ χορεῖος. καὶ ταῦτα μὲν περὶ τῶν ποδῶν.

Y Par. 2551 f. *Λυρικοὶ δέ εἰσιν οὗτοι· Ἀλκμὰν Στησίχορος Ἀλκαῖος Ἴβυκος Ἀνακρέων Σιμωνίδης Πίνδαρος Βακχυλίδης. οὕτω δὲ προσηγορεύθησαν διὰ τὸ πρὸς λύραν ᾄδεσθαι τὰ ποιήματα αὐτῶν· διὸ δεῖ ταύτης παρ' αὐτοῖς. μέλη δὲ τὰ ἐν αὐτοῖς ἤτοι διὰ τὸ ἀπὸ τελείων ἀφαιρεῖσθαι μέτρων· καὶ γὰρ ἡμεῖς τὰ ἀπὸ τελείων ἀφαιρούμενα μέτρα μέλη καλοῦμεν ἢ ἀπὸ Μέλας τῆς Ὠκεανοῦ θυγατρός, καθὰ Λυσανίας φησίν· ἢ καθόσον μέλιτι παραπλησίαν ἔχει τὴν ἡδονήν. δύναται δὲ καὶ διὰ τὸ κροῦμα ᾠδὴ καὶ μέλη ὁμωνύμως λέγεσθαι. καὶ κῶλα δὲ ὁμοίως, ἐπεὶ μὴ τέλειά ἐστι μέτρα. τῶν δὲ ᾠδῶν αἱ μέν εἰσι μονόστροφοι, αἱ δὲ τριαδικαί. καὶ μονόστροφοι μὲν αἱ Σαπφοῖ*

---

1 *μὲν* om. Q Vat., s. v. add. Y *πρὸς* (alt.) om. Vat. **2** *χρήσιμαι* Vat. *πρὸς δὲ* — **3** *χρήσιμοι* om. Q **3** *χρήσιμαι* Vat. **15** *ἢ δάκτυλος* — **16** *χορεῖος* om. Y **16** *μὲν* om. Y **21** *ταύτης* Y: *ταῦτα* Par. **22** *διὰ τὸ* Par.: *τὸ* Y **23. 24** *μέλας* inauditum; *μελίας* cj. Boissonnade, probabiliter **24** *τῆς* Y: *τῶν* Par. **24. 25** *παρόσον* Par. **26** *μέλος* Par. **27** *ἐπειδὴ μὴ τέλειόν ἐστι μέτρον* Par.

καὶ Ἀλκαίῳ καὶ Ἀνακρέοντι διὰ τριῶν ἢ τεσσάρων κώλων ὡρισμένην ἔχουσαι τὴν κατάστασιν καὶ ὑπὸ περιγραφῆς διειργόμεναι· τριαδικαὶ δὲ αἱ συνεστῶσαι ἔκ τε στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπῳδοῦ. στροφὴ μὲν οὖν ἐστι κώλων ποσῶν εὔρυθμος σύνθεσις ἑτεροίας στροφῆς ἀντιστρόφου καὶ ἐπῳδοῦ. | κέκληται δὲ ἡ μὲν στροφή, καθό φησι Πτολεμαῖος ἐν Y Par. Urb. 151 τῷ περὶ στατικῆς ποιήσεως, διὰ τὸ τοὺς ᾄδοντας κύκλῳ κινεῖσθαι περὶ τὸν βωμόν, σημαίνοντας τὴν τοῦ βίου κίνησιν· ἀντίστροφος δὲ διὰ τὸ ἀναστρέφοντας αὐτοὺς εὐρύθμως κινεῖσθαι, ἄχρις ἂν ἔλθωσιν ἐπ' ἐκεῖνον τὸν τόπον, ἀφ' οὗ ἤρξαντο πρῶτον κινεῖσθαι· ᾐνίσσοντο δὲ διὰ τούτου τὴν τοῦ ἡλίου κίνησιν, ἐπειδὴ τὴν ἐναντίαν οὗτος δοκεῖ τῷ κόσμῳ ποιεῖσθαι· ἐπῳδὸς δέ, ἐπειδὴ ἱστάμενοι ἐπῇδον, διὰ τούτου τὸ ἔμμονον καὶ στερρὸν τῆς γῆς παριστῶντες.

5 εὔρρυθμος Y 7 τὸ om. Par. 8 βίου] ἡλίου cj. Boissonnade perperam; ft. οὐρανοῦ

INDICES

CONSPECTUS

Inter nomina fabularia vera geographica iis locis asteriscus appictus est, ubi fabula vel historia uberius narratur. Punctis post locos appositis (in sermone technico) locos multo plures afferri potuisse significatur. Linea directa varii homines eiusdem nominis vel variae significationes eiusdem vocis distinguuntur.

I. Auctores cum proverbiis

P. V 10 a; (265) O. VII 115 b; (277) O. VI 37 a, 179 a; P. XI (2); (376) O. III 81 a; (*Δ* 2) Eust. 20; (37) N. IX 30 b; (45) P. XII 3 b; (51) N. X 1 c; (166) Eust. 16; (234) Eust. 16; (320) O. VIII 16; (328) N. I 24; (384) N. IV 43 a; (433) P. VIII 103 c; (436) P. I 137 b; (437) O. I 5 f.; (535) P. I 8; J. I 26 a; (*E* 158) O. X 106 b; (253) P. VIII 61; (358) O. V 15 b; (397) O. IX 44 a, 46; (429) P. IX 16 c; (446) O. VIII 55 a; J. VI 45 a; (531) N. IX 85 a; (638 sqq.) O. VIII 60 c; (640) J. V 44 b; (723) P. II 73 b; (774) P. IV 318 b; (799) P. II 20 b; (800) O. I 55 c; X 26 c; N. X 147 a; (831) P. II 140 b; (*Z* 132) P. IV 144; (152) P. X 85 a; N. VI 44, VII 53; (153) O. XIII 69 b; (155 sq.) O. XIII 128 c; (191) O. XIII 82 e; (194) J. I 83; (201) O. XIII 130 b; (205) P. II 13; N. I inscr. b; (209) O. VII 168 c; (300) P. IV 9; (468) O. VIII 51; (484) N. I 85 a; (*H* 171) O. VII 110 d; (198) N. II 22 a; (218) O. IX 128 a, 129; (475) O. V 56; (479) P. IV 144; (*Θ* 41) Eust. 16; (86) P. VI 31; (203) N. V 67 a; (480) N. IV 32; (488) Eust. 16; (560) P. IV 427 a; (*I* 141) P. IV 14; (225) N. III 132 a; (249) O. II 31; (389) O. VIII 1 c; (404 sq.) P. IV 94 b; (632) N. I 108; (*K* 216) O. VII 6 d; (305) O. I 9 b; (316) N. II 32 a; (521) P. XI 55; (*Λ* 11) O. IX 163 a; (20) P. II 27 c, 28; N. VIII 28; (244) P. II 40 b; (269) O. VIII 111 a; (270) N. VII 1 a; (532) P. III 48 b; N. II 22 a; (547) N. IX 63; (573) N. VI 85 c; (648) N. X 114 a; (846) P. IV 394; (*N* 20) P. III 75; (281) N. III 72 c; (339) J. VI 58 a; (354) P. VIII 53 a; (370) O. IX 158 c. (374) P. VIII 57 a; (492) P. II 31 c; (636) N. VII 76; (663) O. XIII 82 a; (689) N. II 28 a; (730) O. IX 158 c; N. I 36; (*Ξ* 16) P. IV 373 a; (19) P III 128; (174) P. V 74 b; (201) O. I 1 e; (255) N. IV 42 b; J. VI 45 a; (351) O. VI 92 c; (*O* 11) N. III 23; (28) N. IV 42 b; J. VI 45 a; (37) O. VII 119 b; (47) P. III 119; (87) O. X 28 g; (207) P. IV 493; (217) O. VI 12 d; (305) O. VI 122 b; P. II 85 b; (316) N. VI 85 c; (639) O. III 50 c; (*Π* 33) O. VIII 64 b; N. III 92; (34) J. hyp. b; (89) O. IX 115 d, 118 c; (179) O. VI 48 c; (185) Eust. 21; (187) N. VII 1 a; (375) O. VIII 65 a, b; (630) N. I 39; (717) O. IX 96 b; (847) O. XIII 43 a; (*P* 32) J. I 56; (56) N. XI 1 a; (425) Eust 20; (550) P. IV 263 b; (*Σ* 10) O. IX 107 a; (309) N. IV 50 a; (392) J. VI 53 b; (418) O. VII 95 b; (432) N. IV 101 b; (492) O. IV 3 h, VII 23 b; (496) P. II 85 b; (597) N. hyp. a; (*T* 91) P. II 52 a; (103) O. III 51 b; (131) O. X 86 d, (87); (390) N. III 57; (*Υ* 131) O. VI 107 d, 108; (146) N. I 96; (198) J. I 56; (234) O. X 123 b; (247) P. IV 501 b; (258) P. IX 61 a; (*Φ* 319) P. VI 13 a; (*X* 359) N. VII 58; (405) N. I 104; (469) O. V 15 b, VII 118 b; J. II 2; (470) P. I 1 b; (*Ψ* 144) P. IV 145; (183) N. III 1 a; (255) O. I 14 b; (273) O. I 5 b; (387) O. I 33 a; (519) N. II 17 c; (634) O. VII 163 b; (*Ω* 62) P. III 165; (235) O. VII 6 d; (527 sqq.) P. III 141 a, V 74 a; (640) O. XIII 62 b; (703) O. III 17 e; (*α* 53) O. VI 1 d; (155) O. II 1 c; P. I 7 a; (161) P. hyp. c; (259) N. VII 53; (351) O. IX 74 a, c; (386) Eust. 16; (440) O. I 26 h;

proverbia

II. Historia litteraria et philosophica

III. Inventiones

IV. Nomina fabularia.

V. Nomina vera

VI. Nomina geographica

VII. Zoologia, botanica, mineralogia

VIII. Chronologia, astronomia

IX. Antiquitates

a) *publicae*

b) *privatae*

X. Grammatica

a) *soni*

b) *accentus*

c) *declinatio*

d) genera substantivorum

e) coniugatio

f) genera verborum

g) tempora et modi verborum

h) casus

i) numeri

4, 100a, 266, VIII 10a, 94; N. VII 47, 53.

singularis pro plurali O. III 19c, VIII 10e, IX 82c, XI 5, XIV 27c, g; P. II 85b, IV 438, X 110b; N. I 34c; J. I 58a, 60, V 9, 73.

k) *varia*

ἔζευξεν pro ζευχθῆναι ἐποίησεν P. X 102.

οἷοι θαυμαστικῶς N. VIII 6.
ὅσσα θαυμαστικῶς N. II 26.

σφέτερος pro ἑός P. IV 148b.

---

comparativus pro positivo P. V 119.

interpunctio O. II 82a; P. II 101b; N. VII 46b.
inversio O. II 51a, 68a, VI 72.

nomen pro patronymico N. IV 32.

patronymicum pro nomine simplici P. VI 5a; N. VI 30.
pleonasmus O. I 91b.

XI. Dialecti

a) *Aeolica*

γεγάνειν pro γεγωνεῖν O. III 17e.

ὠρανῶ pro οὐρανοῦ N. III 16a.

inter duo vocales ϝ interponitur P. II 52a, c.

b) *Attica*

ἄνθην pro ἄνθησιν N. IX 16a.

βλάστην pro βλάστησιν N. IX 16a.

ἰόντων pro πορευέσθωσαν J. VIII 88.

κατάκειμαι c. dat. J. I 58b.
καύχην pro καύχησιν N. IX 16a.

ὑψινεφές pro ὑψινεφής O. V 39a.

c) *Boeotica*

αἱμακουρία O. I 146a.

d) *Cyprica*

πρύλις pro πυρρίχη P. II 127.

e) *Delphica*

κραταίπους pro ταῦρος O. XIII 114b.

f) *Dorica*

ἀμᾶ pro ἅμα P. III 65.
ἀννείμῃ J. II 68.

γαρύεν pro γαρύειν O. I 5e, f.

διαβολιᾶν pro διαβολῶν P. II 140c.
διαυλοδρομᾶν pro διαυλοδρομῶν P. X 12b.

εἴην O. III 81c.
ἐντί pro εἰσί J. II 44c.
ἐσλός pro ἐσλούς N. I 34c, cfr. III 49b.

θέμιδες pro θέμιτες O. X 28g.

κακαγόρος pro κακαγόρους O. I 84c.
κεινός O. III 81c.
Κλεωνᾶν pro Κλεωνῶν O. X 37a.
κρυφᾶ pro κρύφα O. I 75b; P. III 65.
κτεάτεσσιν O. V 56.

λ in ν vertitur ante θ et τ O. VI 37a, f.

μένοντι pro μένουσι N. III 6b.

XII. Differentiae

XIII. Homonymiae (metonymiae)

(*μετάγει ὁ Π. τὸν λόγον* P. IX 6 a, *τὰς ὁμωνυμίας* N. I 4 a, *συμπλέκει τὰ ὀνόματα* P. IV 25 b)

a) urbs (regio, mons, flumen) et heroine (heros)

XIV. Etymologiae

XV. Lectiones

ἐάν: ἑάν N. VII 35a.
ἐγγέγραπται vid. γέγραπται.
ἔκνιξ': ἔκνιξαν J. V 73.
ἔμβολον: εὔβολον O. VII 33a.
ἔμολον: ἔμολεν N. VII 47.
ἔν vid. ἄν.
ἐπᾶλτο: ἔπαλτο N. VI 83.
ἐπεδείξαντο: ἐπεδέξαντο O. VI 44d.
ἐποικίᾳ vid. ἀποικίᾳ.
ἐς ἀφανές: σαφανές O. X 67g.
εὐηράτων: εὐηλάτων O. V 21b.
εὔθυν': εὐθύν O. VII 61d.
εὐφόρων: εὐφρόνων N. X 39.

ἥμενος: ἧμενον: ἡμένος (-ους) N. X 114a.
ἡ τάχος vid. ᾳ τάχος.

θαμά: θ' ἅμα N. I 25b.
θαύματα: θαυματά O. I 43b, d, e.
θερειᾶν vid. ὀρειᾶν.
Θηβᾶν: Ἀθηνᾶν P. II inscr.

Ἴδα: ἴδῃ N. X 132a.
ἰδίᾳ τ' ἐρεύνασε: διά τ' ἐρεύνασε N. III 42b.
ἶπον: ἵππον O. IV 11b.
Ἰστριανήν: Ἰστρίαν νιν O. III 45d, 46a, c, d.

κᾶδος: κῦδος O. I 173.
κενός: κεινός O. III 81a, b.
κλυτάς: κλυτᾶς N. III 40.
κρύφιον: κρύφον O. II 177a, d.
colon damnat Aristophanes O. II 48c, cfr. 48f.

λιταῖς: λιταί O. VIII 10e, i.

μέρος vid. γέρας.
μόρσιμος: μόριμος O. II 70b, c.

ναίων: ναίοντα: τ' ἀΐων P. VII 4b, 6a.
νίκαν: νικᾶν (νικῶν) N. IX 127b.
νόον: ἄνοον P. I 186.

ὀβελίσκος O. II 48e.
οἷον: οἶον O. IX 134c, d.
ὀρειᾶν: θερειᾶν N. II 17c.
ὀρθήν vid. ἀθρόαν.
οὐρανῷ: οὐρανῶ (-οῦ) N. III 16a.

Πελιαοφόνον: Πελιαοφονόν: Πελίαο φόνον P. IV 446.
πόσις: πόσιος O. II 140a.
προπίνων: προπέμπων O. VII 5b.
πρός: πρό O. II 42e.
προσέρπει: προσέλκοι O. VI 142d.
προσιδέσθαι vid. πυθέσθαι.
προτυχών: προτυχόν P. IV 61.
πρώτῳ: τριτάτῳ P. III 75.
Πυθέα: Πυθέας N. V 78c.
πυθέσθαι: προσιδέσθαι P. I 49.

Ῥείας πόρος vid. Ἀρείας πόρος.

σᾶμα: Σᾶμος: Σῆρος O. X 83b, f.
σαφανές vid. ἐς ἀφανές.
Συρακόσιον ἱππιοχάρμαν· Συρακοσίων ἱππιοχαρμᾶν O. I 35c, cfr. 35d.

τελέσας: τέλεσε O. II 72d.
τέλεσσεν: τέλεσσαν P. IV 438.
τελεύτασαν: τελεύταθεν O. VII 124e.
τέρψιες ἕψονται ἐρίτιμοί τ' ἀοιδαί: Τερψίᾳ θ' ἕψονται Ἐριτίμῳ τ' ἀοιδαί O. XIII 58d.
τετράκναμον: τετρακνήμον' P. IV 381a.
τιμᾷ: τιμά J. VII 34b.
τριτάτῳ vid. πρώτῳ.

φάτις: φάτιν: φασί. O. I 44b, c.
φίλει: φιλεῖν P. V 33.
φωνᾶεν: φωνᾷ ἐν O. IX 2.

ὧν εἰς μὲν Κάμειρον πρεσβύτατον O. VII 131d.

XVI. Figurae

XVII. Iudicia

XVIII. Metrica et musica

ληκτικόν) O. IV epod. ϑ'. — διπλοῦς τροχαῖος O. VII epod. ϛ', IX epod. η'; P. V epod. δ', VIII epod. δ'; N. VII str. δ'. — διπλοῦς τροχαῖος ἢ Γλυκώνειον N. IV str. ϛ'. — ἐπίτριτος τροχαῖος O. IX str. ι'; N. X str. ϛ'. — π. διπλῆ N. VII str. δ'. — διπλῆ π., ἣ καλεῖται τροχαῖος ἀπὸ ἰάμβου N. VI str. δ'. — διπλῆ π., καὶ διπλοῦς ἴαμβος ἀρχόμενος O. XIII str. ε'. — ἰαμβέλεγος λείπων μιᾷ ἐν ἀρχῇ, ἢ π. N. X str. γ', (ε'). — μέσος ἴαμβος N. VII str. δ'. — ἰαμβικὴ ἀπὸ βακχείου ἢ Γλυκώνειον λελυμένον N. IV str. ιβ'. — δωδεκάσημος ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου P. XII α', (β', δ', ε', ϑ'). — ἐξ ἰάμβων καὶ τροχαίων P. XI epod. δ', (ε').

Πινδαρικόν P. II epod. ζ', ιγ', [III epod. β'], VI ϑ'; J. II epod. β'. — ἐπιχορ. Π. ἢ ἰαμβέλεγος O. VIII str. δ'. — τροχ. τριμ. βραχ. εἰς ἴαμβον Π. ἔϑει O. XI str. ε'. — ἔστι δὲ ἐγκωμ. P. IX epod. α'. — Π. ἐγκωμ. (debuit ἰαμβέλεγος) τὴν τελευταίαν συλλ. μεταϑὲν εἰς τὴν πρώτην J. V str. α', (γ', ε'; epod. α', ϛ'). — ἰαμβέλ. λείπων τῇ ἀρχῇ, καὶ πάλιν ἰαμβικὸν πενϑ. λεῖπον τῷ τέλει, ὃ καλεῖται ἀμφιλειπές N. XI str. α' (epod. γ'). — Π. ἐκ Σαπφικοῦ P. I str. δ', ζ', (ι'), epod. δ', (ι'); (P. III epod. ε'); N. I str. η'; J. II str. δ', epod. ϛ', V epod. γ', ζ'. — παρὰ τὸ πρῶτον Σαπφικὸν καὶ ἰαμβέλεγος P. IX epod. ι'. — ἐκ Σ. τοῦ ἑνδεκασυλλ. Π. J. VI epod. α'; cfr. epod. ι'. — Π. ἐκ Σ. πλεονάσαν χοριάμβῳ καὶ συστεῖλαν τὴν παρατέλευτον J. I str. ϛ'. — Π. ἀπὸ (ἐκ) Στησιχορείου O. VI epod. γ' (def.), XII epod. η', XIII str. ε'.

ποσότης P. V 168.

Πραξίλλειον J. II epod. γ'.

προανάκρουσις P. I 4 d, 5 c.

προκατάρχω P. I 4 a, 5 a. — -ομαι P. XII 39 b.

προκελευσματικός O. I str. ιγ (p. 14, 4).

προοίμιον P. XII 39 c (bis).

προσᾴδω O. IX 21.

πρόσκειμαι Epim. e.

prosodia: ἐκτεταμένον τὸ Ἰαμιδᾶν O. VI 121. — ἡ νου μακρά J. VIII ιϑ'. — τὸ Πίσας συσταλτέον O. I 28 a.

προφέρω P. XII 39 b.

προῳδικά Epim. b.

πυρρίχη P. II 127.

ῥυϑμός P. I 4 a.

Σαπφικὸν ὀκτασύλλαβον P. I str. γ'. — ἐννεασύλλαβον O. IX epod. ι' (def.), XIV str. α'; J. VIII ε', ιδ' (def.). — ἑνδεκασύλλαβον N. I epod. ε', III str. ια'. — πλεονάζον μιᾷ συλλαβῇ N. V epod. ϑ'. — παρὰ τὸ Σ. συστεῖλαν τὴν παρατέλευτον, πλεονάσαν μιᾷ συλλαβῇ J. I str. γ'; cfr. ἰαμβέλεγος.

στάσιμον Eust. 38.

στατικὴ ποίησις Epim. f.

Στησιχόρειον passim. — Σ. τῷ Πινδαρικῷ ἰδιώματι O. VI epod. γ'; cfr. Πινδ. ἐκ Στησ.

στροφή I p. 8; O. IX 3 h, k; N. VII 70; Epim. b, c, f.

σύμφωνος P. III 75.

συναίρεσις: τῆς κεοι συνῃρημένης O IV epod. δ'.

συναλοιφή: δάκτυλος συναλειφόμενος N. VII str. ε'.

σύνϑετον (συγκείμενον; ἐκ; ἀπό; enumeratio partium); cfr. etiam μικτόν. — P. II epod. η', VI α', VII str. γ', X str. δ'; N. XI

XIX. Glossae

ἀθλονικία N. III 10 a.
ἀθύρω J. IV 63 e.
αἰάζω P. IV 420.
αἰανής P. IV 420.
αἴγλα O. XIII 49; P. VIII 136 b; N. I 54.
αἰθά P. VIII 65 a.
αἰθήρ O. VII 122 c.
αἴθων O. VII 86 f, XI 20 b, d, g.
αἱμακουρία O. I 146 a, d.
αἱμύλος N. VIII 54 a.
αἰνίζομαι P. VIII 57 a—P. VIII 57 c.
Αἰοληΐς O. I 164 a.
αἰόλλω P. IV 414 b.
αἰπεινός O. IX 161 a; N. V 58 a.
αἱρέω O. I 142 a—O. I 142 b.
αἰσχύνω P. III 38 a.
ἀΐω P. III 48 b; N. II 22 a.
αἰών O. IX 85 b.
αἰώνιος N. IV 10 a.
ἀκαμαντόπους O. IV 1 a, m, V 6 c.
ἄκατος N. V 4 a.
ἀκέντητος O. I 33 a.
ἀκέρδεια O. I 84 b.
ἀκήρατος P. V 43.
ἀκμά O. I 77 b, cfr. 77 a, II 113 b, e.
ἀκούω N. II 22 c.
ἄκραντος O. I 187 c.
ἀκρόθινα O. II 7 a, b, d; X 69 a.
ἀκροθίνιον O. II 7.
ἄκρον P. XI 84.
ἀκτίς O. VI 91 c, 92 c—O. VI 91 a, d—P. IV 453 a.
ἀλαλάζω O VII 68.
ἀλάομαι O. I 91 c.
ἀλέγω O. II 142, XI 15 a, c; P. V 124 e.
ἀλεξίμβροτος P. V 124 e—P. V 121, 124 e.
ἀλίβατος O. VI 109 b, c.
ἀλίθιος P III 20 a, b.
ἀλίπλακτος P. IV 24 a.
ἀλιτόξενος O. X 8 a.
ἀλλὰ (ἀντὶ τοῦ δέ) O. III 40; P. IV 270 a; N. I 59, II 32 b; J. VI 47 e — (ἀντὶ τοῦ καί) N. II 32 a — (καίπερ, ἀλλ' ὅμως) J. IV 63 a, b.
ἀλλοδαπός N. I 32.
ἄλοχος P. VIII 9.
ἄλπνιστος J. V 14 a.
ἄλσος O. III 31 a, b, V 25 c, 29 f, VII 86 b, 89 a, X 53 c, d; P. V 119.
ἀμαχανία O. V 32.
ἄμαχος O. II 146 a.
ἀμβολάδαν N. X 61.
ἀμβολή P. I 7 a.
ἀμβρόσιος N. VIII 1 b.
ἀμείβομαι P. VI 49.
ἀμεμφής O. VI 78 e.
ἀμευσίπορος P. XI 58 a.
ἀμολγός J. IV 58 b.
ἄμπαλον O. VII 110 d, f.
ἄμπνευμα N. I 1 a, b.
ἄμπνυξ O. VII 118 b; J. II 1, 2.
ἄμπωτις O. IX 78 e.
ἀμύνομαι P. XI 84.
ἀμφέπω O. I 18 c.
ἀμφί P. I 21 c, 152 a, VIII 44 a.
ἀμφιβάλλω O. I 14 a—e.
ἀμφιελίσσομαι N. I 64.
ἀμφιθάλασσος O. VII 61 b.
ἀμφικτύονες N. VI 67 b.
ἀμφιλαφής O. IX 122 c.
ἀμφίπεδος P. IX 94 a—c.
ἀμφιπίπτω O. X 118.
ἀμφιπολέω O. XII 1 e.
ἀμφίπολος O. I 149 b—f.
ἀμφίς P. IV 451.
ἀνά O. I 66 a.
ἀναβωλακίας P. IV 406 b.
ἀναγέομαι O IX 120 b.
ἀναγιγνώσκω O. X 1 c.
ἀναγκαῖος P. XII 27.
ἀνάγω P. V 5 c.
ἀνακρίνομαι P. IV 111.
ἀναξιφόρμιγξ O. II 1 a—c.
ἀναπάσσω O. X 114 a, d, e.
ἀναπνέω N. VII 7—N. VIII 32 a.
ἀναρύω O. XIII 114 c.
ἀνδάνω O. VII 32 f.
ἀνεκάς O. II 38 a—e.

γενναῖος P. VIII 61.
γενόμαι P. IX 61 a.
γέφυρα ποντιάς J. IV 33 b, c.
γῆρυς O. I 5 f.
γίνομαι O. XIV 12 d.
γλαυκός O. VIII 48 b.
γλαυκῶπες O. VI 76 d.
γλαφυρός P. IX 119 c.
γνήσιος O. II 21 a, b.
γνώμη P. III 51 a—P. IV 149 a.
γραμμή P. IX 208 b, cfr. 209.
γυμνός O. III 42 a.

δαιδαλόω O. I 169 a.
δαιμόνιος P. IV 66.
δαμάζω O. II 36 a.
δαμαῖος O. XIII 98 a.
δαμασίφρων O. XIII 111 a.
δαπάνη O. V 34 c.
δάσκιος N. VI 71 d—N. VI 73.
δέ (ἀντὶ τοῦ τε) O. I 114—(ἀντὶ τοῦ γάρ) O. II 106 a, IV 34 b, c, VI 4 b, c, XIII 83; P. III 22 b — (ἀντὶ τοῦ δή) O. II 102; P. IV 97 b, VI 1 f—(ἀντὶ τοῦ ἤδη) O. III 77 a.
δέδορκα O. I 151 c—f.
δεῦρο O. VIII 66, 67.
δεύτατα O. I 80 a, b.
δεύτερος O. I 69.
διαβολία P. II 140 c.
διαιθύσσω O. VII 175.
διαιτάω O. IX 99 c.
διαπλέκω P. II 152 a, b, XII 12 b.
διαπρύσιος N. IV 82 b.
διαστείχω J. III 26 b.
διασωπάω O. XIII 130 a.
δίκαιος ξένος O. II 11 a, b.
δίκη P. I 3 a.
διόπομπος J. VI 53 a.
Διὸς Κόρινθος N. VII 155 b.
διπλοῦς N. V 96.
διχόβουλος O. VIII 113 d, e, f, 114 a, b.
διώκω N. V 42 b.
δοκέων N. VII 44 a—N. VII 44 b.
δόλιος J. VIII 29 a.
δόλος O. IX 138 a.
δορίκτυπος N. VII 9 a.
δρέπω O. I 20 a, b, f; P. V 56.
δρόσος O. VII 3 c.
δύσφορος N. I 85.
Δώριος O. I 26 a, b, c—O. I 26 f, g—J. II 19 c—J. II 19 d.
δωρίτης O. VIII 101 b.

ἕ O. IX 22 d, e, f, 23 a.
ἐγγράφω O. X 2 c.
ἐγγύς P. IV 221 c.
ἐγείρω O. IX 72 e.
ἐγκονητί N. III 61 a.
ἐγχειβρόμος O VII 78.
ἐγχεικέραυνος O. IV 344 b.
ἔγχος O. VII 71 a.
ἕδνον O. IX 15 b, d; P. III 167 a.
ἕδρα O. VII 140 a, b.
εἰ P. I 87.
εἶδος O. VIII 25 b.
ἔκαλος O. IX 87 c.
ἑκατέρωθι O. II 124.
ἐλατήρ O. IV 1 a.
ἐλαχυπτέρυξ P. IV 29 a, e.
ἑλελίζω P. I 7 b.
ἑλίσσω O. IV 3 a, X 13 n.
ἑλκύω N. VII 150 a.
ἐλπίς P. II 89; J. II 63 a.
ἕλσας O. X 51 d.
ἔμβολον O. VII 35 a—P. IV 341 b.
ἔμπαν P. V 74 b.
ἐμπιδόμοχθος O. I 96.
ἔμπρακτος P. III 110 a.
ἔμπυρα J. IV 104 c.
ἐν O. XIII 27 d; P. II 21.
ἐναργής O. VII 76.
ἐνδείκνυμι O. VII 106 b.
ἐνέπω O. I 137 a; N. III 131.
ἐνίπτω P. IV 358 a, b.
ἔντος O. VII 19.
ἐντράπελος P. IV 186 a, b.
ἐντύω O. III 51 a.
ἐξαίρετος P. II 54 a.
ἐξενέπω O VIII 26 a, d, e.
ἑορτή O. III 61.
ἑός O. VII 123.

θυμός O. VI 61 c.
θύσανος P. IV 411.
θύσθλον P. III 177 a.

ἰαίνω P. II 166 a.
ἰαμβίζω P. hyp. a.
ἴδιος O. XIII 69 b.
ἴδρις O. I 165 b, c.
ἱερομηνία N. III 4.
ἱερονουμηνία N. III 4.
ἵζω O. X 46 e.
ἵημι O. IX 17 d.
ἱκνέομαι O. I 16 b.
ἰκών O. V 20 d.
ἶλαι N. V 70 a.
ἱλάσκομαι O. VII 12 c, 15.
ἱππιοχάρμας O. I 35 a.
ἱππόκροτος P. V 123.
ἴσον O. IX 27 a.
ἴυγξ N. IV 56 a.
ἰύζω P. IV 422 a.

καγχλάζω O. VII 3 a.
κᾶδος O. VII 8 d.
κάζω O. I 42 b.
καθαρός O. VI 39 h.
καιρός P. IV 508 a.
κακάγορος O. I 84 d.
κάλπις O. VI 67.
καννόμον O. VIII 103.
κάπετον O. VIII 50.
καρπὸς φρενῶν N. X 21 a.
κάρυκες ὡρᾶν J. II 34 a, b.
καρχήσιον N. V 94 a.
κατά (ὑπό) O. II 107 — (παρά) P. X 5.
καταβαίνω P. III 128, IV 334, VIII 111 a.
καταβολή N. II 1 a.
καταμάρπτω N. III 60.
καταπέσσω O. I 87 a, b.
καυχάομαι O. IX 58.
καχλάζω O. VII 3 d.
κεδνότατος J. VIII 45 a.
κεκαδμένος O. I 42 a, b.
κεκριμένη N. VI 4 c.
κελαδέω O. I 15, II 3.
κελαδῆτις N. IV 138.
κέλευθος O. VII 95 c.
κεφάλαια P. IV 206 b.
κῆλον P. I 21 a, b.
κισσοφόρος O. II 50.
κίων O. II 146 c.
κλαΐστρον P. I 15 b.
κλέπτω O. VI 60 b.
κληϊστός N. IV 37.
κλύω P. IV 22.
κνήμη P. II 73 b, IV 381 a.
κνίζω O. VI 76 a.
κνίση N. XI 5.
κνώδαλον P. X 56 b; N. I 76.
κνώσσω O. XIII 100 b.
κοινός O. VII 170 e; P. III 1 b; N. I 48.
κολλάω O. V 79 b, c, g.
κομίζω O. II 28 a, b; P. IV 284.
κόρος O. I 89 a, II 173 e, h; N. X 37 a, b.
κορύσσω P. VIII 103 a.
κορυφά O. II 24 b, VII 6 c.
κορυφόω O. I 181.
κόσμος P. II 18 b.
κουφότερος O. VIII 80 a.
κραίνω O. VI 137.
κραταιός P. II 148 b.
κρατέω O. X 121 a; P. IV 436 a.
κρατησίπους P. X 25.
κρατήσιππος N. IX 8.
κράτος O. I 33 c, 34.
κρημνός O. III 39 a, b; P. III 60 a.
κρηπίς P. IV 133 b.
κροκόεις P. IV 412 a.
κροκωτός N. I 58.
Κρόνιος O. II 22 a, e.
κρυφαῖος J. I 96 a.
κρύφος O. II 177 c.
κτιλεύομαι P. II 31 a.
κτίλος P. II 31 a, c.
κτίσαι P. II 31 c.
κυάνεος O. VI 69 b.
Κυπρία O. I 119 b, c, d.
κύριος O. VI 52 a—d; P. II 106.
κῶμα P. I 19 b.
κωμάζω P. IV 1 c; N. II 37 b.
κῶμος N. II 37 b.

σοέω P. XII 42.
σοφιστής J. V 36 a.
σπέρμα O. VII 86 c.
σπερχθεῖσα N. I 60 a, b.
στάδιος O. V 29 a, f.
σταθμάω O. X 53 a, b.
στάθμη P. II 166 b; N. VI 7 e.
σταθμός O. V 21 a, X 110; P. IV 135 d.
στέλλω O. II 126 a, b, g.
στέφανος P. II 107; N. hyp. a.
στίξ P. IV 373 a.
στίχος N. II 1 d.
στιχῳδός N. II 1 d.
στόλος P. VIII 140 d; N. III 27 a, b.
συγγενής N. I 39.
σύμβολον O. XII 10 b (cfr. d).
συμμίγνυμι O. III 16.
σύμπειρον N. VII 9 a.
σύν N. VII 9 a.
συνάορος N. IV 9.
σύνδικος O. IX 148 c, e—O. IX 148 h—P. I 3 a.
συντελέθω P. IX 100 a, b.
σφέτερος O. IX 118 a.
σφισίν P. IV 123.
σχεδόν O. I 118.
ἐν σχερῷ J. VI 32 b.

τανύω O. VIII 65 a, b.
ταξιόω O. IX 118 b.
ταράσσω O. VIII 51; P. XI 66 a.
τατωμένος N. X 146 a.
τάχα P. II 53, IV 148 a.
τέγγω O. IV 28 a, e.
τεθμός O. VIII 33 a (cfr. d), XIII 39 c.
τείνω P. XI 82 b—τέταται J. I 69 c.
τειχόεις N. IV 37.
τέλειος N. X 31.
τελεταί O. III 74 b.
τελευτάω O. II 61; VII 124 c.
τελέω O. VI 23 b, c, f.
τέλλομαι O. I 122 a.
τέμενος P. V 44 a.
τέμνω J. VI 32 a.
τενάγη N. III 43 a.
τετραορία O. II 8 b, e; N. IV 43 e.
τετυχεῖν N. IV 45 a.
τέχνη O. IX 78 g; N. I 36; J IV 52 e.
τηλαυγής O. VI 4 e.
τηλόθεν O. I 151 b.
τίκτω P. IV 174 a.
τιμάω O. II 78.
τίμιος O. II 117 a.
τλῆναι P. IV 489 e.
τοκάς P. IV 253 a.
τοκεύς P. IV 266.
τόσσαις P. III 48 a.
τούνεκα O. I 105 a.
τουτάκι P. IV 49.
τουτάκις P. IX 25 a.
τρέφω O. I 180 a.
τριπλόος O. IX 3 a—g.
τριταῖος N. VII 25 a, b, 26.
τρίχα O. VII 138 a.
τρόπῳ O. XIV 23 c.
τυγχάνω O. VII 48; N. VI 45 a.
τύρσις O. II 127 a, b.
τύφω P. I 31 c.

ὕβρις P. X 55 a; N. I 76.
ὑγίεις O. V 54 a.
ὑπαίθριος O. VI 97 d.
ὑπακούω O. III 42 a.
ὑπαντιάζω P. VIII 10 c.
ὕπατος O. I 67.
ὑπέραλλος N. III 57.
ὑπέρβιος O. X 34 f.
ὑπέρδικος P. X 68 a.
ὑπερέρχομαι O. XIII 20 a.
ὑπέρλαμπρος N. VII 97 b.
ὑπερπόντιος P. V 78 b.
ὑπέρτατος N. VI 30.
ὑπέρφατος O. IX 98.
ὑπέχω O. II 96 i.
ὑπό (ἀντὶ τῆς ἀπό) O. VI 73 b—(ἀντὶ τῆς εἰς) N. III 103—(ἀντὶ τῆς μετά) O. IV 3 f, h, VI 73 b, VII 23 b—(ἀντὶ τῆς παρά) N. II 32 b.

XX. Sermo technicus

Cfr. figurae, iudicia

XXI. Formae, vocabula, locutiones rariores